XIII. τῦ παραδ. τῦ Θεῦ] *paradisi* Origen. i. 67. (*paradisi Dei tui* iii. 403.) ἐγενήθης] γεννηθεὶς Cyrill. Alex. iv. 559. πάντα λίθον χρηςὸν] παντα λιθον τιμιον 22, 36, 48, 51, 231. Compl. παλιν λιθον τιμιον 23. ∧ χρηςὸν Theodoret. l. cit. ἐνδέδεσαι] ενδεδυσαι 26, 106, 239. Theodoret. l. cit. ενδεδησαι 62. + σε 147. ἐνδέδυσο Cyrill. Alex. l. cit. σάρδιον καὶ τοπάζιον] ∧ και 26. Alex. præmitt. το 62, 147. καὶ σμάραγδον] + και υακινθον 22, 23, 36, 42, 48, 51, 231. και σμαραγδα 62, 147. ∧ και 106. καὶ ἀργύριον] ∧ και 106. καὶ λιγύριον] ∧ 26. καὶ ἀμέθυςον] και αμεθυσον 23, 26, 51, 62, 68. Compl. ἀμέθυσον Ald. καὶ βηρύλλιον] και βιρυλλιον 22, 48. και βυριλλιον 68. και βιριλλιον και βαριλλιον 238. καὶ χρυσίου] και χρυσιον 22, 23. Ald. ∧ 106. καὶ χρυσίυ—μετὰ χερὺβ in com. seq.] *et auro replesti thesauros tuos: et horrea tua in te a die, qua conditus es, paraverunt, cum cherub uncto a Deo, et habitante in tabernaculo:* Hieron. ἐνέπλησας] ενεπλησα 23.

XIV. Ἀφ' ἧς ἡμέρας] ∧ ημερας 239. ἐκτίσθης σὺ] ∧ συ XII, 22, 23, 36, 42, 48, 49, 51, 62, 68, 86, 87, 88, 90, 91, 106, 147, 228, 231, 238, 239, 306. Compl. Ald. κατεσκευάσθης Theodoret. l. cit. μετὰ τῦ χερὺβ] ητοιμασα μετα τυ χερυβ κεχρυσμενυ τυ κατασκηνυντος XII. κατεσκευασθη μετα τυ χερυβ κεχρισμενος τυ κατασκηνουντος 22. sic, nisi κατεσκευασθης, 23, 51, 231. sic, nisi κατασκευασθης, 36, 48. ητοιμασαν μετα χερυβ κεχρισμενου τυ κατασκηνουντος 62. sic, nisi μετα του χερυβ, sub ※ 88. μετα του χερυβιμ 68, 233. Ald. ητοιμασαν με χερυβ κεχρισμενου τυ κατασκηνουντος 147. καὶ κατεσκευάσθης μετὰ τῦ χερὺβ, κεχρισμένος παρὰ Θεῦ καὶ τῦ κατασκηνῦντος ἐν σκηνώματι Compl. ἡτοίμασαν μετὰ τῦ χερὺβ κεχρισμένου τῦ κατασκηνῦντος (cum ἡτοίμασαν sub × in charact. min. et κεχρισμένου &c in charact. min.) Alex. μετὰ τῦ χερυβεὶμ κεχρισμένος παρὰ Θεῦ τῦ κατασκηνῦντος Theodoret. loc. cit. μετὰ τῦ χερὺβ, ἔθηκά σε] μετὰ τῶν χερυβὶμ τέθεικά σε Cyrill. Alex. vol. i. part. ii. p. 7. ἔθηκά σε] και εδωκα σε XII, 22, 36, 48, 51, 62, 88, 147, 228, 231. præmitt. και 23, 42. Compl. (Alex. in charact. min.) Theodoret. l. cit. εδωκα σε 49, 68, 86, 87, 90, 91, 106, 233, 238, 239, 306. Ald. *et dedi te* Hieron. ἐν ὄρει ἁγίῳ Θεῦ, ἐγενήθης] ἐν ὄρει ἁγίῳ ἐγεννήθης Euseb. l. cit. ἐγενήθης] præmitt. ῷ 23. και εγενηθη 26. + συ 49, 87, 90, 91, 228, 238. εγεννηθης (106. sic infra.) Theodoret. l. cit. ἐγεννήθης σὺ Ald. habet in charact. minore Alex. ἐγενήθης &c. ad fin. com.] adscript. marg. 233.

XV. Ἐγενήθης] επορευθης 22, 23, 36, 48, 51, 231. Compl. Theodoret. l. cit. σὺ ἄμωμος] tr. XII, 22, 26, 36, 48, 51, 62, 86, 88, 90, 91, 106, 147, 231, 233, 239, 306. Compl. Alex. Euseb. Theodoret. l. cit. ∧ συ 23. σὺ ἐκτίσθης] tr. 22, 23, 36, 48, 231. Theodoret. l. cit. ∧ σὺ Compl. ἕως εὑρέθη] εως οὗ ευρεθη 22, 23, 36, 48, 51, 231. Compl. Theodoret. l. cit. ἕως ἡμέρας εὑρέθη Alex. τὰ ἀδικήματα] + σου 62, 147. Alex.

XVI. Ἀπὸ πλήθους] απο γαρ πληθους 22, 23, 36, 48, 51, 231. Compl. Theodoret. l. cit. τῆς ἐμπορίας σου] της περιδρομης σου (XII. marg.) 22, 23, 36, 48, 51, 231. περιδρομῆς σου Theodoret. l. cit. ἔπλησας] επληθυνας III. τὰ ταμεῖά σου] τα ταμιεια σου 22, 42, 49, 90, 147, 306. Compl. Alex. Theodoret. l. cit. τα ταμιεια 51. ἀνομίας] ανομια 239, 306. καὶ ἐτραυματίσθης &c. ad fin. com.] καὶ ἐτραυματίσθης· ἀπὸ ὄρυς τῦ Θεῦ κατήγαγέ σε τὸ χερυβεὶμ τὸ συσκιάζον ἐκ μέσου λίθων πυρίνων. Theodoret. l. cit. καὶ ἤγαγέ σε] κατηγαγε σε (XII. marg.) 22, 36, 48, 51, 231. και ηγαγες 62, 147. τὸ χερὺβ] χερυβ, sine το, marg. XII. + το συσκιαζον 22, 23, 36, 48, 51, (62. ut videtur) (147. scr. συσκιαζων) 231. Compl. (Alex. sub × in charact. minore.) το χερυβιμ 68, 233. Ald. + το σκιαζον sub ※ 88. *cherub obumbrans* Hieron. ἐκ μέσου] εμμεσω III. εν μεσω 26. ἐκ μέσων Compl.

XVII. Ὑψώθη] præmitt. και 26. διεφθάρη] και εφθαρη 22, 36, 48, 51, 231. εφθαρη 106. ἡ ἐπιςήμη σου] ∧ ἡ 91, 238. Ald. μετὰ τῦ κάλλους σου] ∧ σου Euseb. l. cit. διὰ πλῆθος] δια το πλη-

ΚΕΦ. XXVIII.

18. βασιλέων ἔδωκά σε παραδειγματισθῆναι. Διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν σου καὶ τῶν ἀδικιῶν
τῆς ἐμπορίας σου, ἐβεβήλωσα τὰ ἱερά σου, καὶ ἐξάξω πῦρ ἐκ μέσȣ σου, τȣ̃το καταφάγεταί σε·
19. καὶ δώσω σε σποδὸν ἐπὶ τῆς γῆς σου ἐναντίον πάντων τῶν ὁρώντων σε. Καὶ πάντες οἱ ἐπιςά-
μενοί σε ἐν τοῖς ἔθνεσι ςενάξȣσιν ἐπὶ σέ· ἀπώλεια ἐγένου, καὶ ȣ̓χ ὑπάρξεις ἔτι εἰς τὸν αἰῶνα.
20. 21. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων, Υἱὲ ἀνθρώπȣ, ςήρισον τὸ πρόσωπόν σȣ ἐπὶ Σιδῶνα,
22. καὶ προφήτευσον ἐπ᾿ αὐτὴν, Καὶ εἰπὸν, Τάδε λέγει Κύριος, Ἰδȣ̀ ἐγὼ ἐπὶ σὲ Σιδὼν, καὶ ἐνδοξα-
σθήσομαι ἐν σοὶ, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ ποιῆσαί με ἐν σοὶ κρίματα, καὶ ἁγια-
23. σθήσομαι ἐν σοί. Αἷμα καὶ θάνατος ἐν ταῖς πλατείαις σου, καὶ πεσȣ̃νται τετραυματισμένοι
24. μαχαίραις ἐν σοὶ περικύκλῳ σου, καὶ γνώσονται διότι ἐγώ εἰμι Κύριος. Καὶ ȣ̓κ ἔσονται ȣ̓κέτι
ἐν τῷ οἴκῳ τȣ̃ Ἰσραὴλ σκόλωψ πικρίας καὶ ἄκανθα ὀδύνης ἀπὸ τῶν περικύκλῳ αὐτῶν, τῶν ἀτι-
25. μασάντων αὐτȣ̀ς, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος. Τάδε λέγει Κύριος Κύριος, Καὶ συνάξω
τὸν Ἰσραὴλ ἐκ τῶν ἐθνῶν ȣ̃ διεσκορπίσθησαν ἐκεῖ, καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς, καὶ ἐνώπιον τῶν
26. λαῶν καὶ τῶν ἐθνῶν· καὶ κατοικήσȣσι ἐπὶ τῆς γῆς αὐτῶν, ἣν δέδωκα τῷ δȣ́λῳ μου Ἰακὼβ, Καὶ
κατοικήσȣσιν ἐπ᾿ αὐτῆς ἐν ἐλπίδι, καὶ οἰκοδομήσουσιν οἰκίας, καὶ φυτεύσουσιν ἀμπελῶνας, καὶ
κατοικήσουσιν ἐν ἐλπίδι, ὅταν ποιήσω κρίμα ἐν πᾶσι τοῖς ἀτιμάσασιν αὐτȣ̀ς ἐν τοῖς κύκλῳ αὐ-
τῶν· καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν καὶ ὁ Θεὸς τῶν πατέρων αὐτῶν.

ΚΕΦ. XXIX.

1. ΕΝ τῷ ἔτει τῷ δωδεκάτῳ, ἐν τῷ δεκάτῳ μηνὶ, μιᾷ τȣ̃ μηνὸς, ἐγένετο λόγος Κυρίȣ πρὸς μὲ, λέ-

θος 22, 23, 26, 36, 42, 48, 51, 106, 231. Compl. Alex. Origen. iii. 436. Theodoret. l. cit. ἁμαρτιῶν σου] των αμαρτιων σου 22, 23, 26, 36, 42, 48, 49, 51, 68, 86, 90, 91, 106, 228, 231, 238. Compl. Ald. Alex. Origen. l. cit. σου ἐπὶ τὴν γῆν] ∧ 233. παραδειγματισθῆναι] *ut dehonestareris* Hieron.

XVIII. τῶν ἁμαρτιῶν σου] των ανομιων σου 22, 23, 36, 48, 51. Theod. iv. 409. καὶ τῶν ἀδικιῶν] ∧ των 23, 26, 42, 49, 86, 90, 91, 106. 228, 233, 238. Ald. Alex. τῆς ἐμπορίας—ἱερά σου] *ex negociatione tua polluisti sancta tua* Origen. l. cit. ἐβεβήλωσα] εβεβηλωσας 22, 23, 26, 42, 49, 51, 62, 68, 86, 90, 106, 147, 228, 233, 238, 239, 306. Compl. Ald. Alex. τὰ ἱερά σου] το αγιασμον σȣ XII. marg. τον αγιασμον σου 22, 23, 36, 48, 51, 231. ἁγιασμόν σȣ Theodoret. l. cit. καὶ ἐξάξω] ἐξάγω Theodoret. l. cit. ἐκ μέσȣ σȣ] εν μεσω σου XII. Theodoret. l. cit. εκ μεσων σου 36, 90. ∧ σȣ 233. σποδὸν] præmitt. εις 22, 23, 26, 36, 42, 48, 49, 51, 62, 68, 86, 87, 88, 90, 91, 106, 147, 228, 231, 233, 238, 239, 306. Compl. Ald. Alex. *in cinerem* Hieron. ἐπὶ τῆς γῆς σȣ] ∧ σȣ 26. Compl. επι την γην 239, 306. *super terram* Hieron.

XIX. οἱ ἐπιςάμενοί σε] ∧ σε 233. ςενάξȣσιν] ςυγνασȣσιν XII, 22, 23, 26, 36, 42, 48, 49, 51, 62, 86, 87, 88, 90, 91, 106, 147, (228. ut videtur) 231, 233, 238, 239, 306. Compl. Ald. Alex. γυμνασουσιν 68. *contristabuntur* Hieron. ἐπὶ σέ] επι σοι 22, 23, 36, 48, 51, 231. ἔτι] ∧ Origen. i. 667. iv. 333.

XX. Καὶ ἐγένετο] præmitt. επι Σιδωνα (306. marg.) Alex.

XXI. ςήρισον] ςηριξον 42, 68. Ald. ἐπ᾿ αὐτὴν] επι σε Σιδων 48.

XXII. Καὶ εἰπὸν] και ερεις 22, 36, 231, 233. και ειπε 23, 51. Compl. και ενδοξε 48. Τάδε λέγει Κύριος] ∧ ταδε 48. Κύριος] *Dominus Deus:* Hieron. Σιδὼν] θηρευȣσα XII. marg. καὶ γνώσῃ] και γνωσονται 62, 147. Alex. ὅτι ἐγώ εἰμι] διοτι εγω ειμι 26, 106. ἐν τῷ ποιῆσαί με] præmitt. και 91, 228, 238. Ald. εν τω ποιησαι μοι 106. ἐν σοὶ κρίματα] κριματα εν σοι 62, 147.

XXIII. Αἷμα καὶ θάνατος] και εξαποςελω επι σεαυτην θανατον και αἷμα XII, 26. sic, nisi επι σε, 22, 23, 36, 42, 48, 49, 51, 62, 68, 86, 87, 90, 106, 147, 228, 231, 233, 238, 239, 306. Compl. Ald. sic, nisi εν σοι, 91. και εξαποςελω επι σε αἷμα και θανατον 88. καὶ ἐξαποςελῶ ἐπὶ σεαυτὴν θάνατον, καὶ αἷμα καὶ θάνατος (cum καὶ θάνατος inter uncos) Alex. ἐν ταῖς πλατείαις σου] + εςαι (XII. marg.) 26, 36, 49, 68, 87, 90, 91, 106, 228, 238, 239. Ald. Alex. καὶ πεσȣ̃νται] ∧ και 68, 86, 87, 228, 238. Ald. τετραυματισμένοι] + εν μεσω αυτης 36, 62, (88. sub ※) 147. (Alex. sub × in charact. minore.) τετραυμισμενοι 68. + εν μεσω σου 239, 306. μαχαίραις] + εν μεσω αυτης XII. præmitt. εν 22, 26, 36, 42, 48, 49, 51, 62, 68, 88, 90, 106, 147, 228, 231, 233, 238, 239, 306. Compl. Ald. Alex. περικύκλῳ σου] præmitt. και 22, 23, 51, 231. καὶ γνώσονται] και γνωσῃ III, 26. διότι ἐγώ] οτι εγω XII, 22, 23, 26, 36, 42, 48, 49, 51, 62, 68, 86, 87, 88, 90, 106, 147, 231, 233, 238. Compl. Ald. Alex. εἰμι Κύριος] ∧ ειμι 22, 23, 42, 48, 51, 231.

XXIV. Καὶ ȣ̓κ ἔσονται ȣ̓κέτι] ∧ ȣκ 23, 48. και ȣκετι εσονται 26, 106. Alex. και ουκ εσονται ετι 42, 49, 87, 90, 91, 228, 238. Compl. Ald. ∧ ȣκετι 68. ἐν τῷ οἴκῳ] ∧ εν 22, 23, 26, 36, 48, 49, 51, 68, 90, 91, 106, 228. 231, 233, 239, 306. Ald. Alex. τȣ̃ Ἰσραὴλ] ∧ τȣ XII, 23, 26, 49, 51, 62, 68, 90, 106, 147, 228, 231, 238, 239, 306. Compl. Ald. Alex. τῶν περικύκλῳ αὐτῶν] των κυκλω αυτων III, 26. præmitt. παντων XII, 22, 23, 36, 42, 48, 49, 51, 62, 68, 86, 87, 88, 90, 91, 147, 228, 231, 233, 238. Ald. (Alex. sub × in char. min.) παντων των κυκλω αυτȣ 106. παντων των κυκλω αυτων 239, 306. præmitt. πασῶν Compl. τῶν ἀτιμασάντων αὐτȣ̀ς] των ατιμωσαντων αυτȣς 22, 36, 48, 51, 88, 147. των ετοιμασαντων αυτȣς 228. τῶν ἀτιμησάντων αὐτȣ̀ς Compl. Κύριος] + ὁ Θεος αυτων 26. Alex. + ὁ Θεος 42.

XXV. Τάδε λέγει Κύριος Κύριος] ταδε λεγει Αδωναι Κυριος XII, 22, 23, 36, 48, 49, 51, 88, 90, 91, 228, 231, 233, 238, 306. Compl. Ald. + ὁ Θεος 26. Alex. ∧ 106. *Hæc dicit Dominus:* Iren. p. 455. Καὶ συνάξω] ∧ και 62, 147. *Colligam* Iren. l. cit. τὸν Ἰσραὴλ] οικον Ισραηλ XII. τον οικον Ισραηλ 22, 23, 36, 42, 48, 51, 62, 86, 87, (88. præfixo ※) 106, 147, 231. Compl. τον οικον τȣ Ισραηλ 49, 90, 91, 228, 233, 238, 306. Ald. τον οικον του Ισραηλ 68. ἐκ τῶν ἐθνῶν] εν των χωρων III. *ab omnibus gentibus* Iren. p. 456. καὶ ἁγιασθήσομαι—τῶν ἐθνῶν] *et sanctificabor in eis in conspectu filiorum gentium:* Iren. l. cit. καὶ ἐνώπιον τῶν λαῶν] ∧ και XII, 22, 23, 26, 36, 42, 48, 49, 51, 62, 68, 90, 106, 147, 228, 233, 238, 239, 306. Compl. Ald. Alex. καὶ τῶν ἐθνῶν] ∧ 26. ∧ καὶ Alex. ἣν δέδωκα] ἣν εδωκα XII, 62, 86, 88, 147. Compl. ἧς εδωκα 22, 23, 26, 36, 48, 49, 51, 68, 87, 90, 91, 106, 228, 231, 233, 238, 306. Ald. Alex. ἧς δεδωκα 42.

XXVI. ἐπ᾿ αὐτῆς] ἐπ᾿ αὐτὴν Compl. ἐν ἐλπίδι 1°] επ᾿ ελπιδι (42, 233. sic infra.) Compl. ἐλπίδι 1°—ἐλπίδι 2°] ∧ alterutr. cum intermed. 106. καὶ φυτεύσουσιν] και φυτευσωσιν III. και φυτευσιν 62. καὶ κατοικήσουσιν ἐν ἐλπίδι] και φαγονται τον καρπον αυτων 23. κρίμα] κριματα 23, 51. κρισιν 68, 86, 87, 90, 228, 238. Ald. αὐτȣ̀ς ἐν τοῖς] αυτων εν τοις 86. τους εν τοις 231. καὶ ὁ Θεὸς] ∧ ὁ 22, 36, 48, 90, 228, 231, 238. καὶ ὁ Θεὸς τῶν πατέρων αὐτῶν] ∧ 62. habet sub ÷ Alex.

I. τῷ δωδεκάτῳ] τω δεκατω 26, 36, 42, 49, 86, 90, 91, 106, 228. 238, 306. Compl. Ald. Alex. ἐν τῷ δεκάτῳ μηνὶ] εν τω ενδεκατω μηνι III, 26. εν τω δωδεκατω μηνι 22, 36, 48, 51, 87, 91. τω ενδεκατω μηνι 23. εν τω μηνι τω δεκατω 239, 306.

γων, Υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ Φαραὼ βασιλέα Αἰγύπτου, καὶ προφήτευσον 2.
ἐπ' αὐτὸν καὶ ἐπ' Αἴγυπτον ὅλην, Καὶ εἰπὸν, Τάδε λέγει Κύριος, Ἰδοὺ ἐγὼ ἐπὶ Φαραὼ, τὸν δρά- 3.
κοντα τὸν μέγαν τὸν ἐγκαθήμενον ἐν μέσῳ ποταμῶν αὐτοῦ, τὸν λέγοντα, Ἐμοί εἰσιν οἱ ποταμοὶ,
καὶ ἐγὼ ἐποίησα αὐτούς. Καὶ ἐγὼ δώσω παγίδας εἰς τὰς σιαγόνας σου, καὶ προσκολλήσω τοὺς 4.
ἰχθύας τοῦ ποταμοῦ σου πρὸς τὰς πτέρυγάς σου, καὶ ἀνάξω σε ἐκ μέσου τοῦ ποταμοῦ σου, Καὶ 5.
καταβαλῶ σε ἐν τάχει καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ σου· ἐπὶ πρόσωπον τοῦ πεδίου
πέσῃ, καὶ οὐ μὴ συναχθῇς, καὶ οὐ μὴ περισταλῇς, τοῖς θηρίοις τῆς γῆς καὶ τοῖς πετεινοῖς τοῦ
οὐρανοῦ δέδωκά σε εἰς κατάβρωμα· Καὶ γνώσονται πάντες οἱ κατοικοῦντες Αἴγυπτον, ὅτι ἐγώ εἰμι 6.
Κύριος· ἀνθ' ὧν ἐγενήθης ῥάβδος καλαμίνη τῷ οἴκῳ Ἰσραὴλ, Ὅτε ἐπελάβετό σου τῇ χειρὶ αὐ- 7.
τῶν, ἐθλάσθης· καὶ ὅτε ἐπεκρότησεν ἐπ' αὐτοὺς πᾶσα χεὶρ, καὶ ὅτε ἐπανεπαύσαντο ἐπὶ σὲ, συν-
ετρίβης, καὶ συνέκλασας αὐτῶν πᾶσαν ὀσφύν. Διατοῦτο τάδε λέγει Κύριος, Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ 8.
σὲ ῥομφαίαν, καὶ ἀπολῶ ἀπὸ σοῦ ἀνθρώπους καὶ κτήνη. Καὶ ἔσται ἡ γῆ Αἰγύπτου ἀπώλεια καὶ ἔρη- 9.
μος· καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος· ἀντὶ τοῦ λέγειν σε, Οἱ ποταμοὶ ἐμοί εἰσι, καὶ ἐγὼ
ἐποίησα αὐτοὺς, Διατοῦτο ἰδοὺ ἐγὼ ἐπὶ σὲ, καὶ ἐπὶ πάντας τοὺς ποταμούς σου, καὶ δώσω γῆν Αἰ- 10.
γύπτου εἰς ἔρημον καὶ ῥομφαίαν καὶ ἀπώλειαν ἀπὸ Μαγδωλοῦ καὶ Συήνης καὶ ἕως ὁρίων Αἰθιόπων.
Οὐ μὴ διέλθῃ ἐν αὐτῇ ποὺς ἀνθρώπου, καὶ ποὺς κτήνους οὐ μὴ διέλθῃ αὐτὴν, καὶ οὐ κατοικηθήσε- 11.

II. στήρισον] στηριξον 42. βασιλέα Αἰγύπτου] βασιλεα Αιγυπτω 233. καὶ προφήτευσον—ἐπὶ Φαραὼ in com. seq.] ∧ cum intermed. 62, 147. καὶ ἐπ' Αἴγυπτον ὅλην] ∧ και 68. Ald.

III. Καὶ εἰπὸν] præmitt. λαλησον XII, 49, 68, 87, (88. sub ※) 90, 91, 106, 228, 233, 238, 239, 306. Ald. λαλησον και ειπε 22, 23, 36, 48, 51, 231. Compl. præmitt. προφητευσον 26. præmitt. και λαλησον 42. Alex. Τάδε λέγει Κύριος] Κυριος bis script. (sic infra) XII, 42, 49, 68, 86, 87, 88, 90, 91, 106, 228, 233, 238, 239, 306. Ald. + ὁ Θεος 26. Alex. ἐπὶ Φαραὼ] επι σε Φαραω βασιλευ Αιγυπτου XII, 23, 26, 36, 42, 48, 49, 51, (88. cum ※ ante βασιλευ) 90, 91, 106, 228, 231, 238, 306. Compl. Alex. Origin. iv. 147. sic, nisi βασιλεα, 68, 86. Ald. επι σε Φαραω 22. + βασιλεα Αιγυπτου 87. επι σε βασιλευ Αιγυπτου Φαραω 233. τὸν μέγαν] ∧ 22, 23, 48, 51, 233. τον μεγα 62, 147. τὸν ἐγκαθήμενον] τον καθημενον 42. ποταμῶν αὐτοῦ] præmitt. των 22, 23, 36, 42, 48, 51, 231. Compl. ποταμων Αιγυπτου 49, 68, 87, 90, 91, 228, 238. Ald. ποταμων αυτων 233. *fluminum Ægypti* Origen. iii. 401. αὐτοῦ, τὸν λέγοντα] αὐτὸν λέγοντα Origen. iv. 147. οἱ ποταμοὶ] + μου 62, 147.

IV. Καὶ ἐγὼ δώσω] ∧ εγω 26. Alex. παγίδας] χαλινον (XII. marg.) 23, 36, 48, 51, 231. Compl. χαλινους 22. παγιδα 42, 49, 68, 86, 90, 238, 239, 306. Ald. Origen. iii. 436. præmitt. χαλινον και 62, 147. την παγιδα 233. præmitt. τὰς Alex. τοὺς ἰχθύας] τους ιχθυς 62, 88, 147. τοῦ ποταμοῦ 1°—ἐκ μέσου] ∧ cum intermed. 36. τοῦ ποταμοῦ σου 1°] ∧ σου 106. Origen. iv. 147. πρὸς τὰς πτέρυγάς σου] ∧ σου 62. præmitt. και 68, 91, 228, 238. Ald. καὶ ἀνάξω σε] και αξω σε 239, 306. τοῦ ποταμοῦ σου 2°] + και παντας τους ιχθυας του ποταμου σου· και ταις λεπισι σου προσκολληθησονται· και απορριψω σε εις την ερημον, και παντας τους ιχθυας του ποταμου σου 22, 51. + και παντας τους ιχθυας του ποταμου, και ταις λεπισι σου προσκολληθησονται· και απορριψω σε εις γην ερημον, σε και παντας τους ιχθυας του ποταμου 23. + και παντας τους ιχθυας του ποταμου σου 26, (86. in marg. εν ταις ελπισι σου κολληθησονται sub ※) 91, 228, 233. Origen. l. cit. + και ταις λεπισι σου προσκολληθησονται, και απορριψω σε εις την ερημον και παντας τους ιχθυας του ποταμου σου 36, 48. του ποταμου και παντας τους ιχθυας του ποταμου σου, και ταις λεπισι σου προσκολληθησονται 42. + και παντας τους ιχθυας του ποταμου 49, 68, 87, 90, 238. Ald. + και παντας τους ιχθυας του ποταμου σου, και ταις λεπισι σου προσκολληθησονται· και αποστρεψω εις την ερημον, σε και παντας τους ιχθυας του ποταμου σου 62. ποταμου και παντας τους ιχθυας του ποταμου σου και ταις λεπισι σου προσκολληθησονται· των περικυκλω αυτων των ατιμωσαντων αυτους· και γνωσονται οτι εγω ειμι Κυριος. ταδε λεγει Κυριος· συναξω τον οικον Ισραηλ εκ των εθνων ού διεσκορπισθησαν εκει· και αγιασθησομαι εν αυτοις, και αποστρεψω εις την ερημον σε και παντας τους ιχθυας του ποταμου σου 147. + και παντας τους ιχθυας του ποταμου σου και ταις ελπισι σου προσκολλοθησονται, και απορριψω σε εις την ερημον· και παντας τους ιχθυας του ποταμου σου 231. + και παντες οἱ ιχθυες (sic) του ποταμου σου 306. + καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ ταῖς λεπίσι σου προσκολλήσω Compl. τοῦ ποταμοῦ καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ σου ταῖς λεπίσι σου προσκολληθήσονται (cum ταῖς λεπίσι &c. sub ✕ in charact. min.) Alex.

V. Καὶ καταβαλῶ] ∧ 106. σε ἐν τάχει] εν ταχει σε 87. ∧ 106. καὶ πάντας] ∧ και 48. præmitt. και σε sub ※ 88. τοὺς ἰχθύας] τους ιχθυς 62, 147. τοῦ ποταμοῦ σου] ∧ σου 233. Origen. l. cit. ἐπὶ πρόσωπον] επι προσωπου 36, 48, 231. Compl. Origen. l. cit. τοῦ πεδίου] + σου (86. marg.) 233, 239, 306. Origen. loc. cit. *campi tui* Hieron. καὶ οὐ μὴ περισταλῇς] και οὐ μη συσταλης 26. ουδ' οὐ μη περισταλης 42. Alex. *neque congregaberis* Hieron. τῆς γῆς] του αγρου III, 26, 106. ∧ 239, 306. καὶ τοῖς πετεινοῖς] ∧ τοῖς Compl. εἰς κατάβρωμα] βρωσιν 26. εις βρωμα 49, 68, 86, 87, 90, 91, 228, 233, 238. Ald. εις βρωσιν 106. Alex.

VI. Αἴγυπτον] præmitt. εις 68, 91, 228, 238. Ald. εἰμι Κύριος] ∧ ειμι 106. ἀνθ' ὧν ἐγενήθης] ανθ' εγεινηθης (sic) 22.

VII. Ὅτε ἐπελάβετό σου] οτε επελαβοντο σου 22, 26, 36, 42, 48, 51, 231. Compl. Alex. οτε επελαβοντο σε 23. οτε επελαβον σου marg. 86. οτι επελαβοντο 106. Ὅτε ἐπελάβετό σου—ἐθλάσθης· καὶ] ∧ cum intermed. 233. ἐθλάσθης] præmitt. και 23, 36, 48, 51, 231. Compl. εν θαλασση 147. εκ θαλασσης 239, 306. ἐπεκρότησεν] επεκρατησεν III, (XII. corr. ut in Ed.) 23, 68, 86, 87, 90, 91, 106, 233, 238, 306. Ald. επελαβον σε 22. πᾶσα χεὶρ] ∧ πασα 26. καὶ ὅτε ἐπανεπαύσαντο] οτε επανεπαυσατο 62, 106, 147, 228. συνετρίβης] ∧ 23. συντριβης 238. Ald. καὶ συνέκλασας] ∧ και 23. και συνεθλασας 49, 68, 86, 87, 90, 238. Ald.

VIII. Διατοῦτο τάδε] ιδου εγω, ταδε 68. Ald. λέγει Κύριος] + ὁ Θεος 26. Alex. Κυριος bis script. (sic infra) 49. ἰδοὺ ἐγὼ ἐπάγω] ∧ εγω 106. ἀπὸ σοῦ ἀνθρώπους] ανθρωπους απο σου XII, 23. Compl. απο σου ανθρωπον 26, 49, 68, 86, 87, 90, 91, 106, 228, 238. Ald. Alex. Origen. iii. 437. ανθρωπον απο σου 233, 239, 306. καὶ κτήνη] και κτηνος 26. Alex.

IX. ἡ γῆ Αἰγύπτου] præmitt. πασα 26, 106. Alex. ἀπώλεια καὶ ἔρημος] εις απωλειαν και ερημωσιν 22, 23, 36, 48, 51, 231. ερημος και απωλεια 26. εἰμι Κύριος] ∧ ειμι 62, 147. Οἱ ποταμοὶ ἐμοί εἰσι] εμοι εισιν οἱ ποταμοι 23. præmitt. οτι 26, 42, 106, 233. Alex.

X. Διατοῦτο ἰδοὺ ἐγὼ] αντι τουτου ιδου εγω 26. καὶ δώσω] ∧ και 62. γῆν Αἰγύπτου] præmitt. την 22, 23, 26, 36, 48, 51, 62, (86. marg.) 106, 147, 231. Compl. Alex. γῆν Αἰγύπτου—ἀπωλείαν] *terram Ægypti in solitudines, gladio disperditam* Hieron. καὶ ῥομφαίαν] ∧ και XII, 62, 147. Compl. εις ρομφαιαν 26, 106. και εις ρομφαιαν 239, 306. habet in charact. min. Alex. καὶ ῥομφ. καὶ ἀπώλ.] κενην και ηφανισμενην 22, 23, 36, 48, 51, 231. καὶ ἀπώλειαν] και εις απωλειαν 239, 306. ἀπὸ Μαγδωλοῦ] ἀπὸ Μαγδολοῦ Compl. καὶ Συήνης] και Συινης 68, 228, 238. Ald. καὶ Σουΐνης 106. και Συνης 147. και Σουηνης 233. καὶ Σοήνης Alex. Αἰθιόπων] Αιθιοπιας 26, 106. Alex.

XI. ἐν αὐτῇ] δι' αυτης 42, 49, 68, 86, 87, 90, 91, 228, 238, 239. Ald. ποὺς ἀνθρώπου] ανθρωπος III, 26, 106. ποὺς κτήνους] κτηνος III, 26, 106. πους κτηνων 147. οὐ μὴ διέλθῃ αὐτὴν] ∧ 26, 106. ha-

12. ται τεσσαράκοντα ἔτη. Καὶ δώσω τὴν γῆν αὐτῆς ἀπώλειαν ἐν μέσῳ γῆς ἠρημωμένης, καὶ αἱ πό-
λεις αὐτῆς ἐν μέσῳ πόλεων ἠρημωμένων ἔσονται τεσσαράκοντα ἔτη· καὶ διασπερῶ Αἴγυπτον ἐν
13. τοῖς ἔθνεσι, καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας. Τάδε λέγει Κύριος, Μετὰ τεσσαράκοντα ἔτη
14. συνάξω Αἰγυπτίους ἀπὸ τῶν ἐθνῶν οὗ διεσκορπίσθησαν ἐκεῖ, Καὶ ἀποστρέψω τὴν αἰχμαλωσίαν
τῶν Αἰγυπτίων, καὶ κατοικίσω αὐτοὺς ἐν γῇ Φαθωρῆς, ἐν τῇ γῇ ὅθεν ἐλήφθησαν, καὶ ἔσται ἀρχὴ
15. ταπεινὴ Παρὰ πάσας τὰς ἀρχάς· οὐ μὴ ὑψωθῇ ἔτι ἐπὶ τὰ ἔθνη· καὶ ὀλιγοστοὺς αὐτοὺς ποιήσω,
16. τοῦ μὴ εἶναι αὐτοὺς πλείονας ἐν τοῖς ἔθνεσι. Καὶ οὐκέτι ἔσονται τῷ οἴκῳ Ἰσραὴλ εἰς ἐλπίδα ἀνα-
μιμνήσκουσαν ἀνομίαν, ἐν τῷ ἀκολουθῆσαι αὐτοὺς ὀπίσω αὐτῶν, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύ-
17. ριος. Καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ καὶ εἰκοστῷ ἔτει, μιᾷ τοῦ μηνὸς τοῦ πρώτου, ἐγένετο λόγος Κυρίου
18. πρός με, λέγων, Υἱὲ ἀνθρώπου, Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος κατεδουλώσατο τὴν δύναμιν
αὐτοῦ δουλείᾳ μεγάλῃ ἐπὶ Τύρου, πᾶσα κεφαλὴ φαλακρὰ, καὶ πᾶς ὦμος μαδῶν· καὶ μισθὸς οὐκ
19. ἐγενήθη αὐτῷ καὶ τῇ δυνάμει αὐτοῦ ἐπὶ Τύρον, καὶ τῆς δουλείας ἧς ἐδούλευσαν ἐπ᾽ αὐτήν. Τάδε
λέγει Κύριος Κύριος, Ἰδοὺ ἐγὼ δίδωμι τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος γῆν Αἰγύπτου, καὶ
προνομεύσει τὴν προνομὴν αὐτῆς, καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς· καὶ ἔσται μισθὸς τῇ δυνάμει
20. αὐτοῦ, Ἀντὶ τῆς λειτουργείας αὐτοῦ ἧς ἐδούλευσεν ἐπὶ Τύρον, δέδωκα αὐτῷ γῆν Αἰγύπτου· τάδε λέ-
21. γει Κύριος Κύριος. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνατελεῖ κέρας παντὶ τῷ οἴκῳ Ἰσραὴλ, καὶ σοὶ δώσω
στόμα ἀνεῳγμένον ἐν μέσῳ αὐτῶν, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.

bet in charact. minore Alex. αὐτὴν] επ᾽ αυτην 42. καὶ οὐ κατοικηθήσεται] ουδε κατοικηθησεται 26. Alex. και ου μη κατοικηθησεται 68, 238. Ald.

XII. τὴν γῆν αὐτῆς] την γην αυτην 26. ἀπώλειαν ἐν μέσῳ] præmitt. εις 22, 23, 26, 36, 42, 48, 51, 68, 87, 91, 228, 231, 238. Compl. Ald. Alex. γῆς ἠρημωμένης] της ερημου III, 26. præmitt. της 22, 48, 51. γης ερημου 106. της ερημωμενης 233. Compl. αἱ πόλεις αὐτῆς] αἱ πολεις αυτων III. ἀπολεῖς αὐτῶν (sic) 106. ἔσονται] + και αφανισμος 22, 23, 42, 48, 51, 62, 147. Compl. + αφανισμος εσται 36. Alex. + αφανισμος sub ※ 88. + αφανεις 231. εσται· εσω αφανισμος 239. + εσται αφανισμος 306. τεσσαράκοντα ἔτη] τεσσαρακοντα ετεσι 22, 48, 51, 231. + αφανισμος εσται 26, 49, 68, 86, 87, 90, 91, 106, 228, 238. Ald. habet in charact. min. Alex. Αἴγυπτον] præmitt. την 62, (86. marg.) 147. ἐν τοῖς ἔθνεσι] ἐν μέσῳ ἐθνῶν 12 Codices Sergii. εἰς τὰς χώρας] εν ταις χωραις 22, 23, 36, 48, 51, 62, 147, 231, 233. Compl.

XIII. Τάδε λέγει Κύριος] Κυριος bis script. 26. præmitt. οτι 36, 42, 48, 62, 88, 147. οτι ταδε λεγει Κυριος Κυριος 49, 68, 86, 87, 90, 91, 106, 228, 233, 238, 239, 306. Ald. Alex. συνάξω] αναξω 233. Αἰγυπτίους] præmitt. τους 22, 23, 26, 36, 42, 48, 51, 68, 86, 90, 91, 106, 231, 233, 238, 239, 306. Alex. την Αιγυπτον 62, 147. διεσκορπίσθησαν ἐκεῖ] διεσκορπισαν εκει 62, 147. *dispersi fuerant.* Hieron.

XIV. τῶν Αἰγυπτίων] Αιγυπτου 26, 106. Alex. καὶ κατοικίσω αὐτοὺς] και κατοικιω αυτους XII, 23, 26, 36, 42, 48, 49, 51, 62, 68, 86, 87, 88, 90, 91, 106, 147, 228, 231, 238, 239. Compl. Ald. Alex. και κατασκηνω αυτους 233. ἐν γῇ Φαθωρῆς] εν γη Παθουρης 22, 36, 42, 48, 49, 51, 68, 86, 87, 90, 106, 228, 231, 233, 238, 239, 306. Ald. Alex. εν γη Φαθουρης 23. εν γη Παθουρι 26. ἐν γῇ Βαθωρῆς Compl. *in terra Phatures* Hieron. ἐν τῇ γῇ] ‸ τη 90. καὶ ἔσται] + εκει XII. (88. sub ※.) καὶ ἔσται ἀρχὴ ταπεινὴ] *et erunt ibi in principatum humilem:* Hieron. ἀρχὴ ταπεινὴ] + εκει 22, 23, 36, 48, 51, 231. Compl. præmitt. ἡ 87, 228, 238. Ald.

XV. τὰς ἀρχάς] ‸ τὰς Compl. οὐ μὴ ὑψωθῇ ἔτι] και εσται ταπεινοτατη του μη υψωθηναι ετι 22, 23, 36, 48, 51, 231. Compl. præmitt. εσται ταπεινη, και 62, 147. (Alex. sub × in charact. min.) καὶ ὀλιγοστοὺς] ‸ καὶ Compl.

XVI. Καὶ οὐκέτι ἔσονται] και ουκ εσονται ετι XII, 22, 36, 48, 51, 231. Compl. και ουκ εσονται 23, 62, 88, 147. τῷ οἴκῳ—ἀνομίαν] *domui Israel in spe, ut reducant eos in memoriam iniquitatis* Hieron. τῷ οἴκῳ Ἰσραὴλ] præmitt. επι 62, 88, 147. εν τω Ισραηλ 68, 91, 228, 238. Ald. præmitt. εν 87. τω Κυριω Ισραηλ 106. ἀναμιμνήσκουσαν] αναμιμνησκουσα III, 36. αναμιμνησκων 26. αναμνησκουσαν 106. ἀνομίαν] αμαρτιαν III, 26, 106. ἐν τῷ ἀκολουθῆσαι αὐτοὺς] εν τω αυτους ακολουθησαι 26, 106. Alex. ὀπίσω αὐτῶν] οπισω των καρδιων αυτων 26, 36, 68, 86, 87, 90, 91. 228, 238, 239, 306. Ald. Alex. + καρδιων αυτων 49. οπισω των αμαρτιων αυτων 106. εἰμι Κύριος] + ὁ Θεος 26. Alex. ‸ ειμι 62, 147.

XVII. ἑβδόμῳ καὶ εἰκοστῷ] εικοστω και εβδομω 88. ‸ και εικοστω 239. καὶ εἰκοστῷ ἔτει] + εν τω πρωτω 62, 147. μιᾷ τοῦ μηνὸς] ἐννάτῃ τοῦ μηνὸς Compl. μιᾷ τοῦ μηνὸς τοῦ πρώτου] *in primo, in una die mensis:* Hieron.

XVIII. βασιλεὺς Βαβυλῶνος] præmitt. ὁ 22, 23, 36, 48, 51, 231. Cyrill. Alex. ii. 273. κατεδουλώσατο] + αυτην 42. δουλείᾳ μεγάλῃ] δουλειαν μεγαλην 49, 68, 86, 90, 228, 233, 238, 239, 306. Ald. ἐπὶ Τύρου] επι Τυρω 22, 23, 36, 48, 51, 231. επι Τυρον 42, 106, 147. Alex. Cyrill. Alex. l. cit. φαλακρὰ] φαλακρωμα III, 22, 26, 36, 42, 48, 49, 68, 86, 87, 90, 91, 228, 231, 233, 238, 239, 306. Ald. Cyrill. Alex. l. cit. μακρα 62, 147. μαδῶν] præmitt. ὁ 22. οὐκ ἐγενήθη αὐτῷ] ουκ εγενετο αυτω 23, 36, 48, 51, 231. Compl. ουκ εγενηθη αυτου 233. ἐπὶ Τύρον] ἐπὶ Τύρου Ald. ‸ Cyrill. Alex. loc. cit. καὶ τῆς δουλείας] και τη δουλεια 22, 23, 36, 48, 51, 231. και αντι της δουλειας 42. διὰ τῆς δουλείας Compl. ἀντὶ τῆς δουλείας τῆς σκληρᾶς Cyrill. Alex. l. cit. ἧς ἐδούλευσαν] ἣ εδουλευσεν 22, 23, 36, 48, 51. ἧς εδουλευσεν 62, 106, 147. ἣ εδουλευσαν 231. ἧς εδουλωσαν 239, 306. ἧς ἐδούλωσεν Alex. ἣν ἐδούλευσέν μοι Codex unus Sergii. sic, nisi ἐδούλευσαν, 14 Codices Sergii, cum Venet. ἐπ᾽ αὐτὴν] επ᾽ αυτη 23. ‸ επ᾽ 26. habet ἐπ᾽ in charact. minore Alex. ἐπὶ Τύρου· ἀντὶ τούτου δέδωκα αὐτῷ γῆν Αἰγύπτου. Cyrill. Alex. l. cit.

XIX. Τάδε λέγει] præmitt. διατουτο XII, 22, 23, 26, 36, 42, 48, 49, 51, 62, 68, 87, 90, 91, 106, 147, 228, 231, 233, 238, 239, 306. Compl. Ald. Alex. præmitt. και διατουτο sub ※ 88. Κύριος Κύριος] Αδωναι Κυριος 22, 23, 26, 36, 48, 231. Compl. Alex. semel tantum 62, 147. ἰδοὺ ἐγὼ δίδωμι] ‸ εγω XII, 26, 49, 62, 68, 87, 90, 106, 147, 228, 233, 238. Compl. Ald. habet ἐγὼ in charact. min. Alex. τῷ Ναβουχοδονόσορ] τον Ναβουχοδονοσορ 26. βασιλεῖ Βαβυλῶνος] βασιλεα Βαβυλωνος 26. γῆν Αἰγύπτου] + και ληψεται το πληθος αυτης (XII. sub ※) 22, 26, 42, 49, 68, 86, 87, 88, 90, 91, 228, 231, 233, 238, 306. Ald. Alex. την γην Αιγυπτου και ληψεται το πληθος αυτης 23, 36, 48, 51, 62, 147. Compl. omnes Codices Sergii. Αιγυπτου· και ληψεται το πληθος αυτης 106. καὶ προνομεύσει—σκῦλα αὐτῆς] και σκυλευση τα σκυλα αυτης και προνομευση την προνομην αυτης 88. καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς] ‸ XII, 68. Ald. ponit statim ante και προνομευσει 22, 23, 36, 48, 51, 62, 147, 231, 306. Compl. τὰ σκῦλα αὐτῆς] τα σκυλα αυτου 26.

XX. Ἀντὶ τῆς λειτουργείας αὐτοῦ] αντι της δουλειας III. αντι της δουλειας αυτου 26, (86. marg.) 106. δέδωκα αὐτῷ] δεδωκας αυτω 106. præmitt. καὶ Compl. γῆν Αἰγύπτου] + οσα εποιησε μοι sub ※ XII, 88. præmitt. την 22, 48, 51, 231. + ανθ᾽ ὧν οσα ηργασατο μοι 23. + οσα εποιησαν μοι 26, 42, 49, 86, 87, 90, 91, 228, 233, 238, 239. Alex. την γην Αιγυπτου οσα εποιεις μοι 36. sic, nisi εποιησε μοι, 62, 106, 147. sic, nisi εποιησαν μοι, 306. εις γην Αιγυπτου οσα εποιησαν μοι 68. Ald. τὴν γῆν Αἰγύπτου· ἀνθ᾽ ὧν ὅσα εἰργάσατό μοι Compl. τάδε λέγει] præmitt. λεγει Αδωναι Κυριος 22, 36, 48, 51, 231. Compl. ‸ ταδε 23. Κύριος Κύριος] Αδωναι 23, 26, 36, 42, 48, 231. Alex. semel tantum 62, 147. Compl.

XXI. ἀνατελεῖ κέρας] ανελει κερας 49. παντὶ τῷ οἴκῳ] εν τω

ΚΕΦ. XXX.

ΚΑΙ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων, Υἱὲ ἀνθρώπου, προφήτευσον, καὶ εἰπὸν, Τάδε λέ- 1. 2.
γει Κύριος, Ὦ ὢ ἡμέρα, Ὅτι ἐγγὺς ἡμέρα τοῦ Κυρίου, ἡμέρα νεφέλης, πέρας ἐθνῶν ἔσται· Καὶ 3. 4.
ἥξει μάχαιρα ἐπ' Αἰγυπτίους, καὶ ἔσται ταραχὴ ἐν γῇ Αἰθιοπίᾳ, καὶ συμπεσοῦνται τετραυματι-
σμένοι ἐν Αἰγύπτῳ, καὶ συμπεσεῖται τὰ θεμέλια αὐτῆς. Πέρσαι, καὶ Κρῆτες, καὶ Λυδοὶ, καὶ 5.
Λίβυες, καὶ πάντες οἱ ἐπίμικτοι καὶ τῶν υἱῶν τῆς διαθήκης μου, μαχαίρᾳ πεσοῦνται ἐν αὐτῇ.
Καὶ πεσοῦνται τὰ ἀντιστηρίγματα Αἰγύπτου, καὶ καταβήσεται ἡ ὕβρις τῆς ἰσχύος αὐτῆς ἀπὸ Μαγ- 6.
δωλοῦ ἕως Συήνης, μαχαίρᾳ πεσοῦνται ἐν αὐτῇ, λέγει Κύριος. Καὶ ἐρημωθήσεται ἐν μέσῳ χω- 7.
ρῶν ἠρημωμένων, καὶ αἱ πόλεις αὐτῶν ἐν μέσῳ πόλεων ἠρημωμένων ἔσονται. Καὶ γνώσονται ὅτι 8.
ἐγώ εἰμι Κύριος, ὅταν δῶ πῦρ ἐπ' Αἴγυπτον, καὶ συντριβῶσι πάντες οἱ βοηθοῦντες αὐτῇ. Ἐν τῇ 9.
ἡμέρᾳ ἐκείνῃ ἐξελεύσονται ἄγγελοι σπεύδοντες ἀφανίσαι τὴν Αἰθιοπίαν, καὶ ἔσται ταραχὴ ἐν αὐ-
τοῖς ἐν τῇ ἡμέρᾳ Αἰγύπτου, ὅτι ἰδοὺ ἥκει. Τάδε λέγει Κύριος Κύριος, Καὶ ἀπολῶ πλῆθος Αἰ- 10.
γυπτίων διὰ χειρὸς Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος, Αὐτοῦ καὶ τοῦ λαοῦ αὐτοῦ, λοιμοὶ ἀπὸ 11.
ἐθνῶν ἀπεσταλμένοι ἀπολέσαι γῆν· καὶ ἐκκενώσουσι πάντες τὰς μαχαίρας αὐτῶν ἐπ' Αἴγυπτον,
καὶ πλησθήσεται ἡ γῆ τραυματιῶν. Καὶ δώσω τοὺς ποταμοὺς αὐτῶν ἐρήμους, καὶ ἀπολῶ τὴν 12.

οικω 22, 36, 48, 51, 231. ∧ οικω 26. παντι τω λαω (corr. ab ead. m. οικω) 233. καὶ σοὶ δώσω] και δωσω σοι 26, 42, 106. Compl. Alex. στόμα ἀνεῳγμένον] παν τι ανεωγμενον 23. εἰμι Κύριος] ∧ ειμι 62, 147.

II. καὶ εἰπὸν] και ειπε 22, 23, 36, 48, 51, 231. Compl. Ὦ ὢ ἡμέρα] ὢ ὢ ἡ ημερα XII, 42, 106, 233, 239, 306. præmitt. ολολυζετε 22. præmitt. ολολυξατε 23, 62, 87, 91, 147, 238. ολολυζετε ὢ ὢν ἡ ημερα 36, 48. ὢ semel tantum 49. ολολυξετε ὢ ὢ ἡ ημερα 51. + ολολυξατε 68. Ald. ὢ ἡ ημερα 90. ολολυξατε ὢ ὢ ἡ ημερα 228. (Alex. cum ὀλολύξατε sub × in char. min.) præmitt. ολολυξετε 231.

III. Ὅτι ἐγγὺς] και εγγυς XII. Ὅτι ἐγγὺς—νεφέλης] *quoniam juxta est dies, et juxta via Domini: dies nubis* Hieron. Ὅτι ἐγγὺς ἡμέρα] bis script. 88. ἡμέρα τοῦ Κυρίου] ἡ ημερα· εγγυς ἡ ημερα του Κυριου, 22, 36, 48, 51, 231. præmitt. ἡ 42, 90, 306. ἡ ημερα, και εγγυς ημερα Κυριου 62, 147. ἡ ημερα Κυριου 106. ἡ ἡμέρα τοῦ Κυρίου, καὶ ἐγγίζει ἡμέρα Κυρίου Compl. ἡ ἡμέρα καὶ ἐγγὺς ἡ ἡμέρα τοῦ Κυρίου (cum καὶ ἐγγὺς ἡ ἡμέρα sub × in char. minore) Alex. ἡμέρα νεφέλης] præmitt. και εγγιζει ἡ 22, 36, 48, 51, 231. præmitt. και εγγιζει 23. ∧ 106. πέρας ἐθνῶν] και περας (marg. καιρος) και καιρος εθνων XII. καιρος εθνων 22. και καιρος εθνων 23, 36, 48, 51, 231. Compl. præmitt. καιρος 62, 147. Alex. præmitt. και 239, 306.

IV. Καὶ ἥξει μάχαιρα] και ηξει ἡ μαχαιρα 49, 68, 90, 106, 233, 306. Ald. Alex. ηκει ἡ μαχαιρα (scr. ηχει) 228. ἐπ' Αἰγυπτίους] επ' Αιγυπτον 26. Alex. ἐν γῇ Αἰθιοπίᾳ] εν τη Αιθιοπια 22, 23, 26, 36, 48, 49, 51, 62, 68, 86, 90, 91, 147, 228, 231, 233, 238. Compl. Ald. Alex. ∧ γη 88. *in Æthiopia:* Hieron. καὶ συμπεσοῦνται] και πεσουνται 22, 23, 26, 36, 42, 48, 49, 51, 62, 68, 87, 88, 90, 91, 106, 147, 228, 231, 238, 239, 306. Compl. Ald. Alex. τετραυματισμένοι] τραυματισμενοι 233. ἐν Αἰγύπτῳ] + και ληψονται το πληθος αυτης (XII, 88. sub ※) 26, 42, 49, 62, 68, 86, 87, 90, 91, 106, 147, 228, 233, 238, 239, 306. Compl. Ald. Alex. + και ληφθησεται το πληθος αυτων 22, 23, 36, 48, 51, 231. καὶ συμπεσεῖται] και πεσουνται 106. καὶ συμπ. τὰ θεμ. αὐτῆς] *et auferent multitudinem ejus, et concidentur fundamenta illius.* Hieron. τὰ θεμέλια αὐτῆς] + και καταλυθησεται 22, 23, 36, 48, 51, 228, 231.

V. καὶ Λυδοὶ, καὶ Λίβυες] και Λιβυες, και Αιθιοπες, και Λυδοι, και πασα ἡ Αραβια 22, 23, 36, 48, 51, 231. + και Αιθιοπες και πασα ἡ Αραβια 42. + καὶ Αἰθίοπες Compl. καὶ πάντες οἱ] και σπανοι 68, 87, 228, 238. Ald. καὶ πάντ. οἱ ἐπίμιχ.] καὶ πάντες οἱ ἐπίμικτοι ἐπ' αὐτὴν, καὶ Χοὺβ (cum ἐπ' αὐτὴν inter uncos, et καὶ Χοὺβ sub × in charact. minore) Alex. οἱ ἐπίμικτοι] επιμικτοι επ' αυτην 26. + σου 36, 48, 51. + και χουν 62, 147. + επ' αυτην 106. καὶ τῶν υἱῶν] και εκ των υιων 22, 23, 36, 48, 51. Compl. και απο των υιων 26, 42, 106, 239, 306. + γης 62, 147. ἀπὸ τῶν υἱῶν Alex. τῆς διαθήκης μου] + εν αυτη 68, 86. γῆς διαθήκης μου Alex. μαχαίρᾳ πεσοῦνται ἐν αὐτῇ] εν αυτη μαχαιρα πεσουνται III, 26, 86, 87, 90, 91, 106, 228, 233, 238, 239, 306. Ald. εν αυτη μαχαιρα πεσουνται. ταδε λεγει Αδωναι Κυριος XII. (88. ταδε &c. sub ※.) εν αυτη μαχαιρα πεσουνται μετ' αυτων. ταδε λεγει Αδωναι Κυριος 22, 23, 36, 48, 51, 231. sic, omisso ἐν αὐτῇ, Compl. εν αυτη· και μαχαιρα πεσουνται· ταδε λεγει Κυριος 62, 147. + λεγει Αδωναι Κυριος 68. ἐπ' αὐτῶν, μαχαίρα πεσοῦνται· Τάδε λέγει Κύριος (cum Τάδε λέγει Κύριος sub × in charact. min.) Alex. ἐν τῇ μαχαίρᾳ πεσοῦνται Origen. iii. 437. *gladio cadent. Hæc dicit Adonai Dominus:* Hieron.

VI. Totum comma deest 68. Καὶ πεσοῦνται] και πεσειται 22, 23, 36, 48, 51, 231. ∧ πεσουνται 26. τὰ ἀντιστηρίγματα Αἰγύπτου] υποστηριγμα Αιγυπτου 22, 36, 48, 51, 231. τα υποστηριγματα Αιγυπτου 23. Compl. καὶ καταβήσεται] και καταχθησεται 22, 23, 36, 48, 51, 231. ἡ ὕβρις] ∧ ἡ 233. ἕως Συήνης] præmitt. και 36, 48, 51, 231. εως Ουηνης 86. εως Σουινης 106. εως Συινης 228, 238. και εως Θηνης 233. ἕως Σοήνης Alex.

VII. χωρῶν ἠρημωμένων] χωρων ηφανισμενων XII, 22, 23, 26, 36, 48, 51, 62, 68, (86. marg. πολεων) (88. ηφανισμενων sub ※) 90, 91, 106, 147, 228, 231, 233, 238, 306. Compl. Ald. Alex. καὶ αἱ πόλεις αὐτῶν] και αἱ πολεις αυτης 23, 36, 48, 51, 228, 231. Compl. και αἱ πολεις αυτου 26, 62, 106, (147. αυτου ex corr.) 239, 306. και πολεις αυτους 88. πόλεων ἠρημωμένων] χωρων ηρημωμενων (marg. πολεων) 86.

VIII. Καὶ γνώσονται] + παντες 26, 42. Alex. εἰμι Κύριος] ∧ ειμι 22, 36, 48, 51, 147, 231. καὶ συντριβῶσι] και συντριβησονται III, 26, (86. marg.) 106, 239, 306.

IX. Ἐν τῇ ἡμέρᾳ—ἄγγελοι] *In die illa egredientur nuncii a facie mea* Hieron. ἐξελεύσονται ἄγγελοι] + εκ προσωπου Εσσιμ XII. + προ προσωπου μου εις Σημ 22. + προ προσωπου μου εν Σειμ 23. + eadem, nisi ἐκ προσώπου, Compl. + προ προσωπου Κυριου εν Σημ 36, 48. + προ προσωπου μου εν Σημ 51, 231. + εκ προσωπου μου Εσσειμ 62, 147. + εκ προσωπου μου Εσσεμ sub ※ 88. + ἀπὸ προσώπου μου ἐν Σιεὶμ sub × in char. min. Alex. τὴν Αἰθιοπίαν] + την ελπιδα XII, 22, 23, 36, 48, 51, 62, (88. sub ※) 147, 231. (Alex. sub × in char. min.) τὴν Αἰθιοπίας ἐλπίδα Compl. *Æthiopiæ spem* Hieron. ἐν αὐτοῖς] εν Αιγυπτω III.

X. Κύριος Κύριος] Αδωναι Κυριος (sic infra) 22, 23, 26, 36, 42, 48, 51, 231. Compl. Alex. semel tantum, et sic infra, 62, 147. πλῆθος Αἰγυπτίων] præmitt. το 23, 36, 48, 51, 62, 88, 147, 231. Compl. το πληθος των Αιγυπτιων 42. βασιλέως Βαβυλῶνος] βασιλεως Βαβυλωνιων 62, 147.

XI. Αὐτοῦ—ἀπολέσαι γῆν] *ipsius et populi ejus cum eo: pestilentes; qui de gentibus missi sunt ad perdendam terram:* Hieron. τοῦ λαοῦ αὐτοῦ] + μετ' αυτου 22, 36, 48, 51, 62, (88. sub ※) 147, 231. Compl. ∧ αυτου 233. ἀπολέσαι γῆν] αφανισαι αυτην III, 26, 106. απολεσαι την γην 22, 23, 36, 42, 48, 49, 51, 62, 86, 90, 91, 147, 231, 233, 238, 239, 306. Compl. Ald. Alex. ἐπ' Αἴγυπτον] επ' αυτην 26. επ' Αιγυπτιους (marg. ut in Ed.) 87. ἡ γῆ τραυματιῶν] τραυματιων ἡ γη 26, 106. Alex.

XII. Καὶ δώσω—ἐρήμους] *Et dabo fluvios eorum desertos, et tradam terram in manu pessimorum:* Hieron. ἐρήμους] + και αποδωσομαι την γην εν χειρι πονηρων (XII, 88. sub ※) 26, 42, 49, 62, 68, 86, 87, 90, 91, 106, 147, 228, 238, 306. Compl. Ald. Alex. + eadem, nisi εις χειρας, 22, 23, 36, 48, 51, 231. + και αποδωσομαι την χειρα γην (sic) εν χερσιν πονηρων 239. καὶ ἀπολῶ] και αφανιω 62, 147. Compl. και αποδωσομαι 233. τὴν γῆν] + αυτων 26. Alex. καὶ τὸ πλήρωμα] συν τω πληρωματι III, 26. και το πληρωμα αυτων συν τω πληρωματι αυτης 49, 68, 86, 87, 90, 106, 233, 238, 239, 306. Ald.

13. γῆν, καὶ τὸ πλήρωμα αὐτῆς ἐν χερσὶν ἀλλοτρίων, ἐγὼ Κύριος λελάληκα. Ὅτι τάδε λέγει Κύ-
ριος Κύριος, Καὶ ἀπολῶ μεγιςᾶνας ἀπὸ Μέμφεως, καὶ ἄρχοντας Μέμφεως ἐκ γῆς Αἰγύπτου, καὶ
14. οὐκ ἔσονται ἔτι. Καὶ ἀπολῶ γῆν Φαθωρῆς, καὶ δώσω πῦρ ἐπὶ Τάνιν, καὶ ποιήσω ἐκδίκησιν ἐν
15. Διοσπόλει. Καὶ ἐκχεῶ τὸν θυμόν μου ἐπὶ Σαὶν τὴν ἰσχὺν Αἰγύπτου, καὶ ἀπολῶ τὸ πλῆθος
16. Μέμφεως. Καὶ δώσω πῦρ ἐπ' Αἴγυπτον, καὶ ταραχῇ ταραχθήσεται ἡ Συήνη, καὶ ἐν Διοσπόλει
17. ἔςαι ἔκρηγμα, καὶ διαχυθήσεται ὕδατα. Νεανίσκοι Ἡλιȣπόλεως καὶ Βȣϐάςȣ ἐν μαχαίρᾳ πε-
18. σȣ̃νται, καὶ αἱ γυναῖκες ἐν αἰχμαλωσίᾳ πορεύσονται. Καὶ ἐν Τάφναις συσκοτάσει ἡ ἡμέρα, ἐν
τῷ συντρίψαι με ἐκεῖ τὰ σκῆπτρα Αἰγύπτου· καὶ ἀπολεῖται ἐκεῖ ἡ ὕϐρις ἰσχύος αὐτῆς, καὶ ταύ-
19. την νεφέλη καλύψει, καὶ αἱ θυγατέρες αὐτῆς αἰχμάλωτοι ἀρθήσονται. Καὶ ποιήσω κρίμα ἐν
20. Αἰγύπτῳ, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος. Καὶ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει, ἐν τῷ πρώτῳ
21. μηνὶ, ἑϐδόμῃ τȣ̃ μηνὸς, ἐγένετο λόγος Κυρίȣ πρὸς μὲ, λέγων, Υἱὲ ἀνθρώπȣ, τȣ̀ς βραχίονας Φα-
ραὼ βασιλέως Αἰγύπτου συνέτριψα, καὶ ἰδȣ̀ οὐ κατεδεήθη τȣ̃ δοθῆναι ἴασιν, τȣ̃ δοθῆναι ἐπ' αὐ-
22. τὸν μάλαγμα, τȣ̃ δοθῆναι ἰσχὺν ἐπιλαϐέσθαι μαχαίρας. Διατȣ̃το τάδε λέγει Κύριος Κύριος,
Ἰδȣ̀ ἐγὼ ἐπὶ Φαραὼ βασιλέα Αἰγύπτου, καὶ συντρίψω τȣ̀ς βραχίονας αὐτȣ̃ τȣ̀ς ἰσχυρȣ̀ς, καὶ τȣ̀ς
23. τεταμένους, καὶ καταϐαλῶ τὴν μάχαιραν αὐτȣ̃ ἐκ τῆς χειρὸς αὐτȣ̃, Καὶ διασπερῶ Αἴγυπτον εἰς
24. τὰ ἔθνη, καὶ λικμήσω αὐτȣ̀ς εἰς τὰς χώρας. Καὶ κατισχύσω τȣ̀ς βραχίονας βασιλέως Βαϐυ-
λῶνος, καὶ δώσω τὴν ῥομφαίαν μου εἰς τὴν χεῖρα αὐτȣ̃, καὶ ἐπάξει αὐτὴν ἐπ' Αἴγυπτον, καὶ προ-
25. νομεύσει τὴν προνομὴν αὐτῆς, καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς. Καὶ ἐνισχύσω τȣ̀ς βραχίονας
βασιλέως Βαϐυλῶνος, οἱ δὲ βραχίονες Φαραὼ πεσȣ̃νται· καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος, ἐν

πληρώματι αὐτῆς 12 Codices Sergii. αὐτῆς] αυτων 91. ἐγὼ Κύριος] præmitt. οτι 49, 68, 86, 87, 90, 91, 228, 238. Ald. λελάληκα] ελαλησα 26, 49, 68, 87, 90, 91, 106, 228, 233, 238. Ald. Alex.

XIII. Ὅτι τάδε λέγει] ∧ οτι 22, 23, 36, 48, 51, 231. Κύριος Κύριος] Κύριος ὁ Θεὸς Compl. Καὶ ἀπολῶ] + βδελυγματα, και καταπαυσω 22, 23, 26, 36, 42, 48, 49, 51, 62, 68, 86, (87. in marg. habet αφανιω pro απολω) (88. sub ※) 90, 91, 106, 147, 228, 231. 233, 306. Compl. Ald. Alex. + βδελυγματα και καταπαυσομαι 238. Καὶ ἀπολῶ μεγιςᾶνας] *Et perdam abominationes, et deficere faciam optimates* Hieron. καὶ ἄρχοντας Μέμφεως] ∧ Μεμφεως (XII. marg. Μεμφεως· ςομα) 22, 23, 36, 48, 49, 51, 62, 68, 86, 87, 88, 90, 91, 147, 228, 231, 233, 238, 306. Compl. Ald. και αρχοντας Ταvεως 26, 42, 106. Alex. *et principes* Hieron. καὶ οὐκ ἔσονται ἔτι] + και δωσω φοϐον εν τη γη Αιγυπτȣ sub ※ XII. + και δωσω φονον εν γη Αιγυπτου 22. + eadem, cum φοϐον pro φονον, 23, 48, 51, 62, 147, 228, 231. Compl. και ουκ εσονται ȣκετι, και δωσω φοϐον εν γη Αιγυπτω 26. Alex. + και δωσω φοϐον εν γη Αιγυπτω 36. και ουκ εσονται ȣκετι 42. + και δωσω φοϐον εκ γης Αιγυπτου 88. και ουκ εςαι ȣκετι 106. *et non erunt ultra: et dabo terrorem in terra Ægypti.* Hieron.

XIV. Καὶ ἀπολῶ] και αφανιω 26, 106. (238. marg.) Alex. γῆν Φαθωρῆς] γην Φαθȣρης XII, 23, 86, 88, 106. γην Παθȣρης 22, 26, 36, 42, 48, 49, 51, 68, 87, 90, 91, 228, 231, 233, 238, 306. Ald. Alex. γης Φαθȣρης 147. γῆν Βαθȣρῆς Compl. *terram Phatures* Hieron. ἐπὶ Τάνιν] επι Τανειν 26. ἐπὶ Τανὴν Compl. *super Taphnim* Hieron. καὶ ποιήσω &c. ad fin. com.] καὶ ζητήσω ἐκδίκησιν ἀπὸ Διοσπολιτῶν. omnes Codices Sergii. ἐν Διοσπόλει] εν Διοπολει (68. scr. εκ) 88. Ald.

XV. ἐπὶ Σαὶν] επι Τανιν III. επι πασαν 23. ∧ Σαιν 26. ἐπὶ Σαεὶν Compl. καὶ ἀπολῶ] και απολειται marg. 86, 238. τὸ πλῆθος Μέμφεως] ∧ το 26, 106. habet τὸ in charact. minore Alex.

XVI. ἐπ' Αἴγυπτον] + και απολειται Σαις 239, 306. καὶ ταραχῇ ταραχθήσεται] και απολειται III, 26, 106. ἡ Συήνη] ἡ Σαις XII, 68, 87, 91, 228. (238. marg. Συιvη.) ∧ ἡ 22, 23, 36, 48, 51, 231. Ald. Σȣηνη 26, 233. Alex. Σαις 46, 86, 88, 90, 106. Compl. Σαις· και Συηνη 62. Σαις και Σηνη 147. ∧ 239, 306. ἔςαι ἔκρηγμα] εςαι κηρυγμα 106. ὕδατα] + πονος marg. XII. + ημερας 62, 147.

XVII. Νεανίσκοι Ἡλιȣπόλεως] præmitt. και εν Μεμφι πολεμιοι αυθημερινοι marg. XII. præmitt. eadem, nisi Μεμφει, 22, 36, 48, 51, 231. præmitt. και εν Μεμφει πολεμοι αυθημερινοι 23. præmitt. και 26. præmitt. και Μεμφει πολεμιοι αυθημερινοι 228. ἐν μαχαίρᾳ] ∧ εν 22, 23, 26, 36, 48, 51, 231. habet ἐν in charact. minore Alex. καὶ αἱ γυναῖκες] Αιγυπτος marg. XII. καὶ αἱ γυναῖκες &c. ad fin. com.] και αἱ πολεις αιχμαλωτισθησονται III, 26, 106.

XVIII. ἐν Τάφναις] εν Ταφνας III, XII, 22, 26, 36, 48, 68, 87, 90, 228, 231, 233, 238. Ald. εν Ταφνας 23. εν Ταφνα 239, 306. συσκοτάσει ἡ ἡμέρα] ∧ ἡ 26. ἐν τῷ συντρίψαι με] ∧ με 68, 87, 91, 238. Ald. ἐκεῖ 1°—ἐκεῖ 2°] ∧ alterutr. cum intermed. 147. ἰσχύος αὐτῆς] præmitt. της 23, 26, 36, 42, 48, 49, 51, 62, 68, 90, 91, 106, 147, 228, 231, 233, 238, 239, 306. Compl. Ald. Alex. καὶ ταύτην] και αυτην 22, 23, 26, 36, 42, 48, 49, 51, 68, 86, 87, 90, 91, 106, 228, 231, 233, 238. Ald. Alex. αἰχμάλωτοι ἀρθήσονται] αιχμαλωτοι αχθησονται XII, 22, 23, 26, 36, 48, 49, 62, 88, 90, 106, 147, 231. Compl. Alex.

XIX. Καὶ ποιήσω κρίμα] και ποιησω κριματα 22, 23, 36, 42, 48, 51, 88, 106, 228, 231. Compl. καὶ γνώσονται] + οἱ Αιγυπτιοι 22, 23, 36, 48, 51, 231.

XX. ἐν τῷ ἑνδεκάτῳ ἔτει] εν τω δεκατω ετει 147, 228. ∧ εν τω 233. ἐγένετο λόγος] præmitt. και 147.

XXI. συνέτριψα] ανετριψα 233. συντριψω 239, 306. ȣ κατεδεήθη] + μου III, 26. ȣ κατεδεθη XII, 22, 23, 36, 42, 48, 49, 51, 62, 87, 88, (106. scr. καταιδεθη) 147. (238. corr. ut in Ed.) Compl. Alex. ∧ οὐ 233. οὐ κατεδεηθην 239. τȣ̃ δοθῆναι ἴασιν] τȣ δοθηναι αυτω ιασιν 22, 36, 48, 51, 231. Compl. ∧ 23, 88. ∧ του 87. τȣ̃ δοθῆναι ἐπ' αὐτὸν] τȣ επιτεθηναι αυτω 22, 36, 48, 51, 231. Compl. του δοθηναι αυτω 23. επ' αυτον, τȣ δοθηναι 26. Alex. επ' αυτȣ τȣ δοθηναι 106. ἐπ' αὐτὸν μάλαγμα] ∧ 68. Ald. τȣ̃ δοθῆναι ἰσχὺν] του δοθηναι και κατισχυσαι αυτον 22, 36, 48, 231. sic, nisi δεθηναι, 23, 51. ∧ του δοθηναι 68. Ald.

XXII. Κύριος Κύριος] semel tantum 91. τȣ̀ς βραχίονας—τεταμένους] *brachia ejus fortia, et disposita:* Hieron. καὶ τȣ̀ς τεταμένȣς] και τους τεταγμενους XII, 147. + και συντετριμμενους 22, 36, 48, 51, 231. + και τους συντετριμμενȣς 23. + και τους συντριϐομενȣς 26. Compl. Alex. και τεταμενους καὶ συντετριμμενους 42. και τεταγμενους και τους συντριϐομενους 49, 68, 90, 91, 233, 238. Ald. sic, nisi τεταμενους, 87, 228. και τους τεταγμενους και τους συντετριμμενους 62. και τους τεταγμενους και τους συντριϐομενους (cum και τους συντριϐομενȣς sub ※) 88. και τεταραγμενους και τους συντριϐομενȣς 239. και τεταραγμενους 306. ἐκ τῆς χειρὸς αὐτȣ̃] απο της χειρος αυτȣ 23, 36, 48, 51, 231. ∧ της 106.

XXIII. Αἴγυπτον] præmitt. την (sic infra) XII, 62, 147.

XXIV. Καὶ κατισχύσω] habet καὶ in char. min. Alex. βασιλέως Βαϐυλῶνος] ∧ 62. καὶ δώσω] και θησω III, 26, 106. εἰς τὴν χεῖρα] εις τας χειρας III, 26, 42, 49, 68, 86, 87, 90, 91, 106, 228, 238. Ald. καὶ ἐπάξει αὐτὴν] καὶ ἐπάξει τὴν ῥομφαίαν Compl. *et inducet gladium* Hieron. τὰ σκῦλα αὐτῆς] + ενωπιον αυτȣ 62, 147.

XXV. Καὶ ἐνισχύσω &c. ad fin. cap.] ∧ 233. ἐν τῷ δȣ̃ναι] + με 26, 49, 62, 87, 90, 91, 106, 147, 228, 238. Ald. Alex. τὴν ῥομφαίαν μȣ] ∧ μȣ Ald. βασιλέως Βαϐυλῶνος 2°] + οἱ δε βραχιονες

ΚΕΦ. XXX.

τῷ δοῦναι τὴν ῥομφαίαν μου εἰς χεῖρας βασιλέως Βαβυλῶνος, καὶ ἐκτενεῖ αὐτὴν ἐπὶ γῆν Αἰγύπτου.
Καὶ διασπερῶ Αἴγυπτον εἰς τὰ ἔθνη, καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας, καὶ γνώσονται πάντες 26.
ὅτι ἐγώ εἰμι Κύριος.

ΚΕΦ. XXXI.

ΚΑΙ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει, ἐν τῷ τρίτῳ μηνὶ, μιᾷ τοῦ μηνὸς, ἐγένετο λόγος Κυρίου πρὸς μὲ, 1.
λέγων, Υἱὲ ἀνθρώπου, εἰπὸν πρὸς Φαραὼ βασιλέα Αἰγύπτου καὶ τῷ πλήθει αὐτοῦ, Τίνι ὡμοί- 2.
ωσας σεαυτὸν ἐν τῷ ὕψει σου; Ἰδοὺ Ἀσσοὺρ κυπάρισσος ἐν τῷ Λιβάνῳ, καὶ καλὸς ταῖς παρα- 3.
φυάσι, καὶ ὑψηλὸς τῷ μεγέθει, εἰς μέσον νεφελῶν ἐγένετο ἡ ἀρχὴ αὐτοῦ, Ὕδωρ ἐξέθρεψεν αὐ- 4.
τὸν, ἡ ἄβυσσος ὕψωσεν αὐτὸν, τοὺς ποταμοὺς αὐτῆς ἤγαγε κύκλῳ τῶν φυτῶν αὐτοῦ, καὶ τὰ συστή-
ματα αὐτῆς ἐξαπέστειλεν εἰς πάντα τὰ ξύλα τοῦ πεδίου. Ἕνεκεν τούτου ὑψώθη τὸ μέγεθος αὐτοῦ 5.
παρὰ πάντα τὰ ξύλα τοῦ πεδίου, καὶ ἐπλατύνθησαν οἱ κλάδοι αὐτοῦ ἀφ᾽ ὕδατος πολλοῦ. Ἐν 6.
ταῖς παραφυάσιν αὐτοῦ ἐνόσσευσαν πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὑποκάτω τῶν κλάδων αὐτοῦ
ἐγεννῶσαν πάντα τὰ θηρία τοῦ πεδίου, ἐν τῇ σκιᾷ αὐτοῦ κατῴκησε πᾶν πλῆθος ἐθνῶν. Καὶ 7.
ἐγένετο καλὸς ἐν τῷ ὕψει αὐτοῦ διὰ τὸ πλῆθος τῶν κλάδων αὐτοῦ, ὅτι ἐγενήθησαν αἱ ῥίζαι αὐτοῦ
εἰς ὕδωρ πολύ. Καὶ κυπάρισσοι τοιαῦται ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ, καὶ αἱ πίτυες οὐχ ὅμοιαι 8.
ταῖς παραφυάσιν αὐτοῦ, καὶ ἐλάται οὐκ ἐγένοντο ὅμοιαι τοῖς κλάδοις αὐτοῦ· πᾶν ξύλον ἐν τῷ παρα-
δείσῳ τοῦ Θεοῦ οὐχ ὡμοιώθη αὐτῷ ἐν τῷ κάλλει αὐτοῦ, Διὰ τὸ πλῆθος τῶν κλάδων αὐτοῦ· καὶ ἐζή- 9.
λωσαν αὐτὸν τὰ ξύλα τοῦ παραδείσου τῆς τρυφῆς τοῦ Θεοῦ. Διατοῦτο τάδε λέγει Κύριος, Ἀνθ᾽ ὧν 10.
ἐγένου μέγας τῷ μεγέθει, καὶ ἔδωκας τὴν ἀρχήν σου εἰς μέσον νεφελῶν, καὶ εἶδον ἐν τῷ ὑψωθῆ-

Φαραω πεσουνται, και γνωσονται οτι εγω ειμι Κυριος 106. ∧ βασιλεως 147. καὶ ἐκτενεῖ αὐτὴν] και εκτενω αυτην 22, 36, 48, 51, (228. supra lin.) 231. ἐπὶ γῆν Αἰγύπτου] επι την γην Αιγυπτου 23, 26, 62, 147. Compl.

XXVI. εἰς τὰ ἔθνη] επι τα εθνη 26. εἰς τὰς χώρας] εν ταις χωραις 22, 23, 36, 48, 51, 231. καὶ γνώσονται πάντες] ∧ παντες 22, 36, 48, 51, 231. Compl. + οἱ Αιγυπτιοι 26, 49, 68, 87, 90, 91, 106, 238, 239, 306. Ald. + Αιγυπτιοι 228. καὶ ἐπιγνώσονται πάντες οἱ Αἰγύπτιοι Alex. *et scient* Hieron.

I. ἑνδεκάτῳ ἔτει] δεκατω ετει 62, 106, 147.

II. εἰπὸν] ειπε 22, 23, 36, 48, 51, 231. Compl. καὶ τῷ πλήθει αὐτοῦ] και προς το πληθος αυτου 22, 23, 36, 48, 51, 231.

III. Ἰδοὺ Ἀσσοὺρ] ιδου Σουρ 23. κυπάρισσος] κεδρος 42. κυπαρισσον 147. καὶ καλὸς] και καλλος 91, 147. ∧ καὶ Compl. καὶ καλὸς—τῷ μεγέθει] *speciosus ramis et condensis umbraculis, et excelsus in altitudine.* Origen. ii. 64. ταῖς παραφυάσι] + και πυκνος εν τη σκεπη (XII, 88. sub ※) (26. scr. ποιχνος) 49, 62, 68, 86, 87, 90, 91, 147, 228, 233, 238, 239, 306. Compl. Ald. Alex. εν ταις παραφυασι· και πυκνος εν τη σκεπη 106. τῷ μεγέθει] + και πυκνος τη σκεπη 22, 23, 36, 42, 48, 51, 231. τω γενη (sic) 147. τῷ μεγέθει—τοῦ πεδίου, καὶ com. 5.] ∧ cum intermed. 233. εἰς μέσον νεφελῶν] præmitt. και 22, 23, 26, 36, 42, 48, 51, 62, 147, 231. Compl. καὶ εἰς μέσον τῶν νεφελῶν Alex.

IV. ἐξέθρεψεν αὐτὸν] εθρεψεν αυτον 42, 68, 87, 91, 228, 238. Ald. ἡ ἄβυσσος &c. ad fin. com.] *et abyssus exaltavit eum, et adduxit omnia flumina sua circa eum, et congregationes suas emisit ad omnia ligna campi.* Origen. l. cit. ὕψωσεν αὐτὸν] υψωσεν αυτων 62. τοὺς ποταμοὺς αὐτῆς] τους ποταμους αυτου 49, 68, 90, 91, 238. τους ποταμους αυτους 239. καὶ τὰ συστήματα αὐτῆς] + ηγαγεν 26. και τα συστεμματα (sic) αυτης παντα 106. ἐξαπέστειλεν] præmitt. και 26. απεστειλεν 86. præmitt. παντα 106.

V. Ἕνεκεν—τοῦ πεδίου] ∧ cum intermed. 106. καὶ ἐπλατύνθησαν] και επληθυνθησαν 62, 147. Compl. και υψωθησαν 233. οἱ κλάδοι αὐτοῦ] + και υψωθησαν αἱ παραφυαδες αυτου (XII. sub ※) 22, 23, 26, 36, 42, 48, 49, 51, 62, 68, 86, 87, 88, 90, 106, 147, 228, 231, 238, 306. Ald. Alex. + eadem, omisso αυτου, 91. αἱ παραφυαδες αυτου 233. οἱ κλάδοι αὐτῆς, καὶ ὑψώθησαν αἱ παραχφυάδες αὐτοῦ Compl. ἀφ᾽ ὕδατος πολλοῦ] εφ᾽ υδατος πολλου III, 49, 87, 90, 228, 238. Ald. + εν τω εκτειναι αυτων sub ※ XII. + εν τω εκτειναι αυτον 22, 23, 36, 48, 51, 62, 88, 106, 147, 231, 306. Compl. εφ᾽ υδατος πολλου εν τω εκτειναι αυτον 26. + ἐν τῷ ἐκτείνειν αὐτόν sub × in charact. minore Alex.

VI. ἐνόσσευσαν] ενοσσευσε 22, 23, 36, 48, 51, 231. καὶ ὑποκάτω] και υπο 106. ἐγεννῶσαν] εγεννα 22, 23, 51, 231. ἐγεννῶσαν—κλάδων αὐτοῦ in com. seq.] ∧ cum intermed. 36. τοῦ πεδίου] του αγρου 62. ἐν τῇ σκιᾷ αὐτοῦ] υπο την σκιαν αυτου III, 26, 106. κατῴκησε] κατωκησαν 86. κατωκισαν 233.

VII. καλὸς] καλλος 26, 42, 68, 106, 228, 238. Ald. ἐν τῷ ὕψει αὐτοῦ] ∧ εν 68, 86, 87, 90, 228. διὰ τὸ πλῆθος] δια το μηκος 49, 68, 86, 87, 88, 90, 91, 106, 228, 238. Ald. ὅτι ἐγενήθησαν] οτι εγεννησαν III.

VIII. Καὶ κυπάρισσοι τοιαῦται] κυπαρισσοι ουχ υπερηραν αυτον 22, 23, 36, 48, 51, 231. κυπαρισσοι τοιαυται ουκ εγενηθησαν 26, 106. Alex. ∧ και 42, 68, 87, 90, 91, 238. Ald. και κυπαρισσοι πολλαι 62. Compl. *Cypressi multæ* Origen. l. cit. ἐν τῷ παραδείσῳ] + ουκ εγενοντο 62. præmitt. ουκ εγενηθησαν 239, 306. καὶ αἱ πίτυες] ∧ αἱ XII, 22, 23, 26, 36, 42, 48, 49, 51, 62, 68, 87, 90, 106, 147, 228, 231, 233, 238, 306. Compl. Ald. Alex. ∧ και 86. οὐχ ὅμοιαι] ουχ ομοιοι III, 49, 68, 90, 91, 238. ταῖς παραφυάσιν αὐτοῦ] τοις κλαδοις αυτου 22, 23, 48, 51, 231. κλαδοις αυτου 36. ταῖς παραφυάσιν αὐτοῦ—ὅμοιαι 2°] ∧ cum intermed. 62. καὶ ἐλάτ. οὐκ ἐγέν. ὅμοιαι τοῖς κλάδ. αὐτοῦ] *et abietes non fuerunt similes ei.* Origen. l. cit. τοῖς κλάδοις αὐτοῦ] ταις παραφυασιν αυτου 22, 23, 36, 48, 51, 231. οὐχ ὡμοιώθη—κλάδων αὐτοῦ in com. seq.] *non assimilatum est ei* Origen. l. cit. οὐχ ὡμοιώθη αὐτῷ] ∧ αυτω 26. ἐν τῷ κάλλει αὐτοῦ] ∧ εν 26. + καλον εποιησα αυτον 62. *et pulchritudini ejus* Hieron.

IX. Διὰ τὸ—αὐτοῦ] ∧ cum intermed. 88. τῶν κλάδων αὐτοῦ] + καλον εποιησα αυτον εν τω πληθει των κλαδων αυτου 22, 23, 36, 48, 231. Compl. + eadem, nisi εποιησαν, 51. + eadem, sine αυτου, 228. + οτι εγενηθησαν αἱ ριζαι αυτου εις υδωρ πολυ, και κυπαρισσοι πολλαι ουκ εγενοντο εν τω παραδεισω του Θεου, και πιτες (sic) ουχ ομοιαι τοις κλαδοις αυτου, παν ξυλον εν τω παραδεισω του Θεου ουχ ωμοιωθη αυτω εν τω καλλει αυτου· καλον εποιησα αυτον δια το πληθος των κλαδων αυτου 62. καὶ ἐζήλωσαν αὐτὸν] και εζηλωσεν αυτον XII, 23, 36, 48, 51, 86, 231, 233. Compl. τὰ ξύλα] præmitt. παντα XII, 23, 36, 42, 48, 62, (86. marg.) 231. τὰ ξύλα—τρυφῆς] *omnia ligna deliciarum, quæ erant in paradiso* Hieron. τοῦ παραδείσου τῆς τρυφῆς] της τρυφης του παραδεισου (XII. scr. τριφης) 22, 23, 36, 48, 62, 106, 231. ∧ της τρυφης 233.

X. λέγει Κύριος] Κυριος bis script. XII, 49, 68, 86, 87, 88, 90, 91, 106, 147, 233, 238, 239, 306. Ald. Ἀνθ᾽ ὧν ἐγένου] ανθ᾽ ων εγενετο 22, 23, 36, 48, 51, 231. καὶ ἔδωκας] και εδωκεν 22, 23, 36, 48, 51, 88, 231. και εδωκα 62. τὴν ἀρχήν σου] την αρχην αυτου 22, 23, 36, 48, 51, 231. εἰς μέσον νεφελῶν] εις μεσον των νεφελων και επηρθη ἡ καρδια αυτου επι τω υψει αυτου 22, 23, 36, 48, 51, 231. εις μεσον των νεφελων 26, 42, 233, 239, 306. Alex. καὶ εἶδον] και ιδον XII,

11. ναι αὐτόν· Καὶ παρέδωκα αὐτὸν εἰς χεῖρας ἄρχοντος ἐθνῶν, καὶ ἐποίησε τὴν ἀπώλειαν αὐτȣ̃.
12. Καὶ ἐξωλόθρευσαν αὐτὸν ἀλλότριοι λοιμοὶ ἀπὸ ἐθνῶν, καὶ κατέβαλον αὐτὸν ἐπὶ τῶν ὀρέων· ἐν
πάσαις ταῖς φάραγξιν ἔπεσαν οἱ κλάδοι αὐτȣ̃, καὶ συνετρίβη τὰ στελέχη αὐτȣ̃ ἐν παντὶ πεδίῳ
τῆς γῆς, καὶ κατέβησαν ἀπὸ τῆς σκέπης αὐτῶν πάντες οἱ λαοὶ τῶν ἐθνῶν, καὶ ἠδάφισαν αὐτόν.
13. Ἐπὶ τὴν πτῶσιν αὐτȣ̃ ἀνεπαύσαντο πάντα τὰ πετεινὰ τȣ̃ ȣ̓ρανȣ̃, καὶ ἐπὶ τὰ στελέχη αὐτȣ̃ ἐγί-
14. νοντο πάντα τὰ θηρία τȣ̃ ἀγρȣ̃, Ὅπως μὴ ὑψωθῶσιν ἐν τῷ μεγέθει αὐτῶν πάντα τὰ ξύλα τὰ
ἐν τῷ ὕδατι· καὶ ἔδωκαν τὴν ἀρχὴν αὐτῶν εἰς μέσον νεφελῶν, καὶ οὐκ ἔστησαν ἐν τῷ ὕψει αὐτῶν
πρὸς αὐτά· πάντες οἱ πίνοντες ὕδωρ, πάντες ἐδόθησαν εἰς θάνατον, εἰς γῆς βάθος, ἐν μέσῳ
15. υἱῶν ἀνθρώπων πρὸς καταβαίνοντας εἰς βόθρον. Τάδε λέγει Κύριος Κύριος, Ἐν ᾗ ἡμέρᾳ κατέβη
εἰς ᾅδου, ἐπένθησεν αὐτὸν ἡ ἄβυσσος· καὶ ἐπέστησα τȣ̀ς ποταμȣ̀ς αὐτῆς, καὶ ἐκώλυσα πλῆθος
ὕδατος, καὶ ἐσκότασεν ἐπ' αὐτὸν ὁ Λίβανος, πάντα τὰ ξύλα τȣ̃ πεδίου ἐπ' αὐτῷ ἐξελύθησαν.
16. Ἀπὸ τῆς φωνῆς τῆς πτώσεως αὐτȣ̃ ἐσείσθησαν τὰ ἔθνη, ὅτε κατεβίβαζον αὐτὸν εἰς ᾅδου μετὰ
τῶν καταβαινόντων εἰς λάκκον, καὶ παρεκάλȣν αὐτὸν ἐν γῇ πάντα τὰ ξύλα τῆς τρυφῆς, καὶ τὰ
17. ἐκλεκτὰ τȣ̃ Λιβάνȣ πάντα τὰ πίνοντα ὕδωρ. Καὶ γὰρ αὐτοὶ κατέβησαν μετ' αὐτȣ̃ εἰς ᾅδου ἐν
τοῖς τραυματίαις ἀπὸ μαχαίρας, καὶ τὸ σπέρμα αὐτȣ̃ οἱ κατοικȣ̃ντες ὑπὸ τὴν σκέπην αὐτȣ̃ ἐν
18. μέσῳ τῆς ζωῆς αὐτῶν ἀπώλοντο. Τίνι ὡμοιώθης; κατάβηθι, καὶ καταβιβάσθητι μετὰ τῶν ξύ-

49. præmitt. και επηρθη ἡ καρδια αυτȣ επι τω υψει αυτȣ 228. καὶ εἶδον &c. ad fin. com.] καὶ ἐπήρθη ἡ καρδία αὐτȣ̃ ἐπὶ τῷ ὕψει αὐτȣ̃ Compl. καὶ εἶδον τὸν ὄγκον σȣ 10 Codices Sergii.

XI. Καὶ παρέδωκα αὐτὸν] και παρεδωκας αυτον 233. ἄρχοντος ἐθνῶν] αρχοντων εθνων 26, 68, 91, 228, 238. Ald. καὶ ἐποίησε] και εποιησαν 23, 87, 91, 238. Ald. *et faciam* Hieron. τὴν ἀπώλειαν αὐτȣ̃] + εξεβαλον αυτον ſub ※ XII. + κατα την ασεβειαν αυτȣ, και εξεβαλον αυτον εγω 22, 23, 36, 48, 51, 231. + κατα την ασεβειαν αυτȣ 62. + μετα την ασεβειαν αυτȣ 228. + κατὰ τὴν ἀσέβειαν Αἰγύπτȣ Compl.

I. εἰρην. ἤμ.] *quum in pace essem* Syr. Mediol. εὐθηνῶν] ευθυνων 88.

II. Ἐνύπν. εἶδ.] ^ 88. Quatuor sqq. commatibus apud Theod. nihil apud τοὺς ὁ respondet.

VII. Ἐπὶ τῆς κοίτ. μου] ※ Th. *super cubile meum* 〃 Syr. Mediol. καὶ 1°] ^ Syr. Mediol.

VIII. ἡ ὅρασις] *fractura* in textu, et in margine habet vocem Græcam θράσις (corruptam, ut putem, ex ὅρασις) Syr. Mediol.

ΚΕΦ. IV.
κάτω αὐτοῦ ἐσκίαζον πάντα τὰ θηρία τῆς γῆς, καὶ ἐν αὐτῷ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐνόσσευον· ὁ
καρπὸς αὐτοῦ πολὺς καὶ ἀγαθὸς, καὶ ἐχορήγει πᾶσι τοῖς ζώοις· ÷ καὶ ἡ ὅρασις αὐτοῦ μεγάλη,
ἡ κορυφὴ αὐτοῦ ἤγγισεν ἕως τοῦ οὐρανοῦ, καὶ τὸ κύτος αὐτοῦ ἕως τῶν νεφελῶν, πληροῦν τὰ ὑποκάτω
10. τοῦ οὐρανοῦ· ὁ ἥλιος καὶ ἡ σελήνη ἦν, ἐν αὐτῷ ᾤκουν καὶ ἐφώτιζον πᾶσαν τὴν γῆν. Ἐθεώρουν
11. ἐν τῷ ὕπνῳ μου, καὶ ἰδοὺ Ἄγγελος ἀπεστάλη ἐν ἰσχύϊ ἐκ τοῦ οὐρανοῦ· Καὶ ἐφώνησε, καὶ εἶπεν αὐτῷ,
ἐκκόψατε αὐτὸ, καὶ καταφθείρατε αὐτό· προστέτακται γὰρ ἀπὸ τοῦ ὑψίστου ἐκριζῶσαι καὶ ἀ-
12. χρειῶσαι αὐτό. Καὶ οὕτως εἶπε, ῥίζαν μίαν ἄφετε αὐτοῦ ἐν τῇ γῇ, ὅπως μετὰ τῶν θηρίων τῆς γῆς
13. ἐν τοῖς ὄρεσι χόρτον ὡς βοῦς νέμηται. Καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἀλλοιωθῇ,
14. καὶ ἑπτὰ ἔτη βοσκηθῇ σὺν αὐτοῖς. Ἕως ἂν γνῷ τὸν Κύριον τοῦ οὐρανοῦ ἐξουσίαν ἔχειν πάντων
15. τῶν ἐν τῷ οὐρανῷ, καὶ τῶν ἐπὶ τῆς γῆς, καὶ ὅσα ἂν θέλῃ ποιεῖν, ποιεῖ ἐν αὐτοῖς. Ἐνώπιόν μου
ἐξεκόπη ἐν ἡμέρᾳ μιᾷ, καὶ ἡ καταφθορὰ αὐτοῦ ἐν ὥρᾳ μιᾷ τῆς ἡμέρας, καὶ οἱ κλάδοι αὐτοῦ ἐδόθησαν
εἰς πάντα ἄνεμον, καὶ εἱλκύσθη, καὶ ἐῤῥίφη· καὶ τὸν χόρτον τῆς γῆς ἤσθιε, καὶ εἰς φυλακὴν
παρεδόθη, καὶ ἐν πέδαις, καὶ ἐν χειροπέδαις χαλκαῖς ἐδέθη ὑπ᾽ αὐτῶν. Σφόδρα ἐθαύμασα ἐπὶ
τούτοις, καὶ ὁ ὕπνος μου ἀπέστη ἀπὸ τῶν ὀφθαλμῶν μου· καὶ ἀναστὰς τὸ πρωῒ ἐκ τῆς κοίτης μου,
ἐκάλεσα τὸν Δανιὴλ τὸν ἄρχοντα τῶν σοφιστῶν, καὶ τὸν ἡγούμενον τῶν κρινόντων τὰ ἐνύπνια, καὶ
16. διηγησάμην αὐτῷ τὸ ἐνύπνιον, καὶ ὑπέδειξέ μοι πᾶσαν τὴν σύγκρισιν αὐτοῦ. Μεγάλως δὲ ἐθαύ-
μασεν ὁ Δανιὴλ, καὶ ὑπόνοια κατέσπευδεν αὐτὸν, καὶ φοβηθεὶς, τρόμου λαβόντος αὐτὸν, καὶ
ἀλλοιωθείσης τῆς ὁράσεως αὐτοῦ, κινήσας τὴν κεφαλὴν, ὥραν μίαν ἀποθαυμάσας, ἀπεκρίθη μοι
φωνῇ πραείᾳ, βασιλεῦ, τὸ ἐνύπνιον τοῦτο τοῖς μισοῦσί σε, καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου
17. 18. ἐπέλθοι. Τὸ δένδρον, τὸ ἐν τῇ γῇ πεφυτευμένον, οὗ ἡ ὅρασις μεγάλη, σὺ εἶ, βασιλεῦ. Καὶ
πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ τὰ νοσσεύοντα ἐν αὐτῷ, ἡ ἰσχὺς τῆς γῆς, καὶ τῶν ἐθνῶν, καὶ τῶν
19. γλωσσῶν πασῶν ἕως τῶν περάτων τῆς γῆς, καὶ πᾶσαι αἱ χῶραι σοὶ δουλεύσουσι. Τὸ δὲ ἀνυ-
ψωθῆναι τὸ δένδρον ἐκεῖνο, καὶ ἐγγίσαι τῷ οὐρανῷ, καὶ τὸ κύτος αὐτοῦ ἅψασθαι τῶν νεφελῶν,
σὺ, βασιλεῦ, ὑψώθης ὑπὲρ πάντας τοὺς ἀνθρώπους, τοὺς ὄντας ἐπὶ προσώπου πάσης τῆς γῆς·
ὑψώθη σου ἡ καρδία ὑπερηφανίᾳ καὶ ἰσχύϊ ὑπὲρ τὰ πρὸς τὸν ἅγιον, καὶ τοὺς Ἀγγέλους αὐτοῦ· τὰ
ἔργα σου ὤφθη, καθ᾽ ὅτι ἐξηρήμωσας τὸν οἶκον τοῦ Θεοῦ τοῦ ζῶντος ἐπὶ ταῖς ἁμαρτίαις τοῦ λαοῦ τοῦ
20. ἡγιασμένου. Καὶ ἡ ὅρασις, ἣν εἶδες, ὅτι Ἄγγελος ἐν ἰσχύϊ ἀπεστάλη παρὰ τοῦ Κυρίου, καὶ ὅτι
21. εἶπεν, ἐξᾶραι τὸ δένδρον, καὶ ἐκκόψαι, ἡ κρίσις τοῦ Θεοῦ τοῦ μεγάλου ἥξει ἐπὶ σέ. Καὶ ὁ
22. ὕψιστος, καὶ οἱ Ἄγγελοι αὐτοῦ ἐπὶ σὲ κατατρέχουσιν· Εἰς φυλακὴν ἀπάξουσί σε, καὶ εἰς τόπον ἔρη-
23. μον ἀποστελοῦσί σε. Καὶ ἡ ῥίζα τοῦ δένδρου, ἡ ἀφεθεῖσα, ἐπεὶ οὐκ ἐξεριζώθη, ὁ τόπος τοῦ θρόνου
σου σοὶ συντηρηθήσεται εἰς καιρὸν, καὶ ὥραν· ἰδοὺ ἐπὶ σὲ ἑτοιμάζονται, καὶ μαστιγώσουσί σε,
καὶ ἐπάξουσι τὰ κεκριμμένα ἐπὶ σέ. Κύριος ζῇ ἐν οὐρανῷ, καὶ ἡ ἐξουσία αὐτοῦ ἐπὶ πάσῃ τῇ γῇ.
24. Αὐτοῦ δεήθητι περὶ τῶν ἁμαρτιῶν σου, καὶ πάσας τὰς ἀδικίας σου ἐν ἐλεημοσύναις λύτρωσαι,
ἵνα ἐπιείκεια δοθῇ σοι, καὶ πολυήμερος γένῃ ἐπὶ τοῦ θρόνου τῆς βασιλείας σου, καὶ μὴ κατα-
25. φθείρῃ σε. Τούτους τοὺς λόγους ἀγάπησον· ἀκριβὴς γάρ μου ὁ λόγος, καὶ πλήρης ὁ χρόνος σου.
Καὶ ἐπὶ συντελείᾳ τῶν λόγων Ναβουχοδονόσορ, ὡς ἤκουσε τὴν κρίσιν τοῦ ὁράματος, τοὺς λόγους
26. ἐν τῇ καρδίᾳ συνετήρησε. Καὶ μετὰ μῆνας δώδεκα ὁ βασιλεὺς ἐπὶ τῶν τειχῶν τῆς πόλεως μετὰ
27. πάσης τῆς δόξης αὐτοῦ περιεπάτει, καὶ ἐπὶ τῶν πύργων αὐτῆς διεπορεύετο, Καὶ ἀποκριθεὶς εἶ-
πεν, αὕτη ἐστὶ Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ ᾠκοδόμησα, καὶ οἶκος βασιλείας μου ἐν ἰσχύϊ κράτους
28. μου κληθήσεται εἰς τιμὴν τῆς δόξης μου. Ἔτι τοῦ λόγου ἐν τῷ στόματι τοῦ βασιλέως ὄντος, ἐπὶ

IX. τὸ κύτος] *latitudo* Syr. Mediol. ἐν αὐτῷ ᾤκουν cum ſqq.] ∧ Syr. Mediol. ἦν] hic ponit metobelum, et ſqq. omittit, Syr. Mediol.

XI. ἐφών.] *extulit vocem ſuam* Syr. Mediol. αὐτό ult.] non exprimit Syr. Mediol.

XII. τῶν θηρ.] ∧ τῶν 88.

XIV. θέλῃ] θελει 88.

XV. τῆς γῆς] + *cum beſtiis terræ* Syr. Mediol. ἐπὶ τούτοις] *ſuper omnia hæc* Syr. Mediol. ὕπνος μου] ∧ μου 88. τὸν ἄρχοντα] ∧ τὸν 88.

XVI. κινήσας] *et movens* Syr. Mediol. τὴν κεφ.] + *ſuum* Syr. Mediol. ὥραν] *et hora* Syr. Mediol.

XVIII. δουλεύσουσι] δουλευουσι 88.

XIX. τὸ κύτος] *latitudo* Syr. Mediol. ὑπὲρ τὰ] ∧ ὑπὲρ 88. τοῦ ζῶντ.] ∧ τοῦ 88.

XXI. κατατρέχουσ.] *incurrent* Syr. Mediol.

XXII. ἀπάξουσί] *adducent* Syr. Mediol.

XXIII. ἐπὶ πάσῃ] εν πασῃ 88.

XXIV. καταφθείρῃ σε] *diſperdas*, ſed forte, quod monet Editor, *diſperdaris* legendum, Syr. Mediol.

XXV. τῇ καρδίᾳ] *corde ſuo* Syr. Mediol.

XXVIII. Ἔτι—ὄντ.] ∧ hæc et quæ iis interjacent Syr. Mediol.

συντελείας τοῦ λόγου αὐτοῦ, φωνὴν ἐκ τοῦ οὐρανοῦ ἤκουσε, σοὶ λέγεται, Ναβουχοδονόσορ βασιλεῦ,
ἡ βασιλεία Βαβυλῶνος ἀφήρηταί σου, καὶ ἑτέρῳ δίδοται ἐξουθενημένῳ ἀνθρώπῳ ἐν τῷ οἴκῳ σου·
ἰδοὺ ἐγὼ καθίστημι αὐτὸν ἐπὶ τῆς βασιλείας σου, καὶ τὴν ἐξουσίαν σου, καὶ τὴν δόξαν σου, καὶ τὴν
τρυφήν σου παραλήψεται· Ὅπως ἐπιγνῷς, ὅτι ἐξουσίαν ἔχει ὁ Θεὸς τοῦ οὐρανοῦ ἐν τῇ βασιλείᾳ 29.
τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν βούληται δώσει αὐτήν· ἕως δὲ ἡλίου ἀνατολῆς βασιλεὺς ἕτερος εὐφραν-
θήσεται ἐν τῷ οἴκῳ σου, καὶ κρατήσει τῆς δόξης σου, καὶ τῆς ἰσχύος σου, καὶ τῆς ἐξουσίας σου·
καὶ οἱ Ἄγγελοι διώξονταί σε ἐπὶ ἔτη ἑπτὰ, καὶ οὐ μὴ ὀφθῇς, οὐδ' οὐ μὴ λαλήσῃς μετὰ παντὸς
ἀνθρώπου, χόρτον ὡς βοῦν σε ψωμίσουσι, καὶ ἀπὸ τῆς χλοῆς τῆς γῆς ἔσται ἡ νομή σου. Ἰδοὺ ἀντὶ τῆς
δόξης σου δήσουσί σε, καὶ τὸν οἶκον τῆς τρυφῆς σου, καὶ τῆς βασιλείας σου, ἕτερος ἕξει. Ἕως 30.
δὲ πρωῒ πάντα τελεσθήσεται ἐπὶ σὲ, Ναβουχοδονόσορ βασιλεῦ Βαβυλῶνος, καὶ οὐχ ὑστερήσει ἀπὸ
πάντων τούτων οὐθέν· ἐγὼ Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος ἑπτὰ ἔτη ἐπεδήθην, χόρτον ὡς
βοῦν ἐψώμισάν με, καὶ ἀπὸ τῆς χλοῆς τῆς γῆς ἤσθιον. Καὶ μετὰ ἔτη ἑπτὰ ἔδωκα τὴν ψυχήν 31.
μου εἰς δέησιν, καὶ ἠξίωσα περὶ τῶν ἁμαρτιῶν μου κατὰ πρόσωπον Κυρίου τοῦ Θεοῦ τοῦ οὐρανοῦ, καὶ
περὶ τῶν ἀγνοιῶν μου τοῦ Θεοῦ τῶν θεῶν τοῦ μεγάλου ἐδεήθην· καὶ αἱ τρίχες μου ἐγένοντο ὡς
πτέρυγες ἀετοῦ, οἱ ὄνυχές μου ὡσεὶ λέοντος, ἠλλοιώθη ἡ σάρξ μου, καὶ ἡ καρδία μου, γυμνὸς
περιεπάτουν μετὰ τῶν θηρίων τῆς γῆς. Ἐνύπνιον εἶδον, καὶ ὑπόνοιαί με εἰλήφασι, καὶ διὰ 32.
χρόνου ὕπνος με ἔλαβε πολὺς, καὶ νυσταγμὸς ἐπέπεσέ μοι· καὶ ἐπὶ συντελείᾳ τῶν ἑπτὰ ἐτῶν ὁ
χρόνος μου τῆς ἀπολυτρώσεως ἦλθε, καὶ αἱ ἁμαρτίαι μου καὶ αἱ ἄγνοιαί μου ἐπληρώθησαν ἐναν-
τίον τοῦ Θεοῦ τοῦ οὐρανοῦ, καὶ ἐδεήθην περὶ τῶν ἀγνοιῶν μου τοῦ Θεοῦ τῶν θεῶν τοῦ μεγάλου· καὶ
ἰδοὺ Ἄγγελος εἷς ἐκάλεσέ με ἐκ τοῦ οὐρανοῦ, λέγων, Ναβουχοδονόσορ, δούλευσον τῷ Θεῷ τοῦ οὐρανοῦ τῷ
ἁγίῳ, καὶ δὸς δόξαν τῷ ὑψίστῳ· τὸ βασίλειον τοῦ ἔθνους σου σοὶ ἀποδίδοται. Ἐν ἐκείνῳ τῷ καιρῷ 33.
ἀποκατεστάθη ἡ βασιλεία ÷ μου ἐμοὶ, καὶ ἡ δόξα μου ἀπεδόθη μοι.″ Τῷ ὑψίστῳ ἀνθομολογοῦμαι 34.
καὶ αἰνῶ· τῷ κτίσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὰς θαλάσσας, καὶ τοὺς ποταμοὺς, καὶ πάντα
τὰ ἐν αὐτοῖς, ἐξομολογοῦμαι, καὶ αἰνῶ, ὅτι αὐτός ἐστι Θεὸς τῶν θεῶν, καὶ Κύριος τῶν κυρίων,
καὶ βασιλεὺς τῶν βασιλέων, ὅτι αὐτὸς ποιεῖ σημεῖα καὶ τέρατα, καὶ ἀλλοιοῖ καιροὺς καὶ χρόνους,
ἀφαιρῶν βασιλείαν βασιλέων, καὶ καθιστῶν ἑτέρους ἀντ' αὐτῶν· ἀπὸ τοῦ νῦν αὐτῷ λατρεύσω, καὶ
ἀπὸ τοῦ φόβου αὐτοῦ τρόμος εἴληφέ με, καὶ πάντας τοὺς ἁγίους αὐτοῦ αἰνῶ· οἱ γὰρ θεοὶ τῶν ἐθνῶν
οὐκ ἔχουσιν ἐν ἑαυτοῖς ἰσχὺν ἀποστρέψαι βασιλείαν βασιλέως εἰς ἕτερον βασιλέα, καὶ ἀποκτεῖναι
καὶ ζῆν ποιῆσαι, καὶ ποιῆσαι σημεῖα καὶ θαυμάσια μεγάλα, καὶ φοβερὰ, καὶ ἀλλοιῶσαι ὑπερ-
μεγέθη πράγματα, καθὼς ἐποίησεν ἐν ἐμοὶ ὁ Θεὸς τοῦ οὐρανοῦ, καὶ ἠλλοίωσεν ἐπ' ἐμοὶ μεγάλα
πράγματα. Ἐγὼ πάσας τὰς ἡμέρας τῆς βασιλείας μου περὶ τῆς ψυχῆς μου τῷ ὑψίστῳ θυσίας
προσοίσω εἰς ὀσμὴν εὐωδίας τῷ Κυρίῳ, καὶ τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσω ἐγὼ, καὶ ὁ λαός μου,
τὸ ἔθνος μου, καὶ αἱ χῶραί μου, αἱ ἐν τῇ ἐξουσίᾳ μου. Καὶ ὅσοι ἐλάλησαν εἰς τὸν Θεὸν τοῦ
οὐρανοῦ, καὶ ὅσοι ἂν καταληφθῶσι λαλοῦντές τι, τούτους κατακρινῶ θανάτῳ. Ἔγραψε δὲ ὁ βα-
σιλεὺς Ναβουχοδονόσορ ἐπιστολὴν ἐγκύκλιον πᾶσι τοῖς κατὰ τόπον ἔθνεσι, καὶ χώραις, καὶ γλώσ-
σαις πάσαις ταῖς οἰκούσαις ἐν πάσαις ταῖς χώραις, γενεαῖς καὶ γενεαῖς. Κυρίῳ τῷ Θεῷ τοῦ οὐρανοῦ
αἰνεῖτε, καὶ θυσίαν καὶ προσφορὰν προσφέρετε αὐτῷ ἐνδόξως. Ἐγὼ βασιλεὺς βασιλέων ἀνθο-
μολογοῦμαι αὐτῷ ἐνδόξως, ὅτι οὕτως ἐποίησε μετ' ἐμοῦ. Ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐκάθισέ με ἐπὶ τοῦ
θρόνου μου, καὶ τῆς ἐξουσίας μου, καὶ τῆς βασιλείας μου· ἐν τῷ λαῷ μου ἐκράτησα, καὶ ἡ με-
γαλωσύνη μου ἀποκατεστάθη μοι. Ναβουχοδονόσορ βασιλεὺς πᾶσι τοῖς ἔθνεσι, καὶ πάσαις ταῖς

ἐπὶ συντελ.] και επι συντελ. 88. Syr. Mediol. δίδοται] *dabitur* Syr. Mediol.

XXIX. ἐν οὐρ.] *cœli* Syr. Mediol. ἕως δὲ] *et usque ad* Syr. Mediol. τῆς βασιλείας] *regnum* Syr. Mediol.

XXX. Ἕως δὲ] *et usque ad* Syr. Mediol.

XXXI. αἱ τρίχες μου ἐγένοντο] *coma mea erat* Syr. Mediol.

XXXII. διὰ χρόνου] *ad tempus* Syr. Mediol. ἐπέπεσέ μοι] *cecidit super me* Syr. Mediol. τῆς ἀπολυτρ.] *redemptionis meæ* Syr. Mediol.

XXXIII. ἐκείνῳ τῷ καιρῷ] *illa die* Syr. Mediol. ÷ μου ἐμοὶ, καὶ ἡ δ. μου ἀπεδ. μοι ″] *meum,* ÷ *mihi, et gloria mea reddita est mihi* ″ Syr. Mediol.

XXXIV. αἰνῶ· τῷ κτίσ.] *laudo eum qui creavit* Syr. Mediol. καὶ τὰς θαλ.] ʌ καὶ Syr. Mediol. τῶν Κυρίων] *dominantium* Syr. Mediol. τέρατα] *mirabilia* Syr. Mediol. χρόνους] *ætates* Syr. Mediol. ἀφαιρ. βασιλείαν] *auferens regna* Syr. Mediol. ἁγ. αὐτοῦ αἰνῶ] *sanctos ejus laudabo* Syr. Mediol. λαός μου] ʌ μου 88. τὸ ἔθν.] και το εθν. 88. χώραις, γενεαῖς] *regionibus, in generationibus* Syr. Mediol. τῆς ἐξουσ. μου, καὶ τῆς βασιλ.] *super potesta-*

ΚΕΦ. IV.

χώραις, καὶ πᾶσι τοῖς οἰκοῦσιν ἐν αὐταῖς· εἰρήνη ὑμῖν πληθυνθείη ἐν παντὶ καιρῷ. Καὶ νῦν ὑποδείξω ὑμῖν τὰς πράξεις, ἃς ἐποίησε μετ' ἐμοῦ ὁ Θεὸς ὁ μέγας· ἔδοξε δέ μοι ἀποδεῖξαι ὑμῖν, καὶ τοῖς σοφισταῖς ὑμῶν, ὅτι ἐστὶ Θεὸς, καὶ τὰ θαυμάσια αὐτοῦ μεγάλα· τὸ βασίλειον αὐτοῦ βασίλειον εἰς τὸν αἰῶνα· ἡ ἐξουσία αὐτοῦ ἀπὸ γενεῶν εἰς γενεάς. Καὶ ἀπέστειλεν ἐπιστολὰς περὶ πάντων τῶν γενηθέντων αὐτῷ ἐν τῇ βασιλείᾳ αὐτοῦ, πᾶσι τοῖς ἔθνεσι τοῖς οὖσιν ὑπὸ τὴν βασιλείαν αὐτοῦ.

ΚΕΦ. V.

1. ΒΑΛΤΑΣΑΡ ὁ βασιλεὺς ἐποίησε δοχὴν μεγάλην ἐν ἡμέρᾳ ἐγκαινισμοῦ τῶν βασιλειῶν αὐτοῦ·
ἐκάλεσεν ἄνδρας δισχιλίους. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Βαλτάσαρ ἐνυψούμενος ἀπὸ τοῦ οἴνου, καὶ καυ-
χώμενος ἐπῄνεσε πάντας τοὺς θεοὺς τῶν ἐθνῶν, τοὺς χωνευτοὺς, καὶ γλυπτοὺς ἐν τῷ τόπῳ αὐτοῦ, καὶ
τῷ Θεῷ τῷ ὑψίστῳ οὐκ ἔδωκεν αἴνεσιν· ἐν αὐτῇ τῇ νυκτὶ ἐξῆλθον δάκτυλοι ὡσεὶ ἀνθρώπου, καὶ
ἐπέγραψαν ἐπὶ τοῦ τοίχου οἴκου αὐτοῦ ἐπὶ τοῦ κονιάματος κατέναντι τοῦ λύχνους, Μανὴ, Φάρες,
Θεκέλ· ἐστὶ δὲ ἡ ἑρμηνεία αὐτῶν, Μανὴ, ἠρίθμηται· Φάρες, ἐξῆρται· Θεκὲλ, ἕσταται. Βαλτά-
2. σαρ ὁ βασιλεὺς ἐποίησεν ἑστιατορίαν μεγάλην τοῖς ἑταίροις αὐτοῦ. Καὶ ἔπινεν οἶνον, καὶ ἀνυψώθη
ἡ καρδία αὐτοῦ, καὶ εἶπεν ἐνέγκαι τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ τοῦ οἴκου τοῦ Θεοῦ, ἃ ἤνεγκε
Ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἀπὸ Ἱερουσαλὴμ, καὶ οἰνοχοῆσαι ἐν αὐτοῖς τοῖς ἑταίροις αὐτοῦ.
3. 4. Καὶ ἠνέχθη, καὶ ἔπινον ἐν αὐτοῖς· Καὶ ηὐλόγουν τὰ εἴδωλα τὰ χειροποίητα αὐτῶν· καὶ τὸν Θεὸν
5. τοῦ αἰῶνος οὐκ εὐλόγησαν, τὸν ἔχοντα τὴν ἐξουσίαν τοῦ πνεύματος αὐτῶν. Ἐν αὐτῇ τῇ ὥρᾳ ἐκείνῃ
ἐξῆλθον δάκτυλοι ὡσεὶ χειρὸς ἀνθρώπου, καὶ ἔγραψαν ἐπὶ τοῦ τοίχου τοῦ οἴκου αὐτοῦ ἐπὶ τοῦ κο-
6. νιάματος κατέναντι τοῦ φωτὸς ἔναντι τοῦ βασιλέως Βαλτάσαρ, καὶ εἶδε χεῖρα γράφουσαν. Καὶ
ἡ ὅρασις αὐτοῦ ἠλλοιώθη, καὶ φόβοι καὶ ὑπόνοιαι αὐτὸν κατέσπευδον· ἔσπευσεν οὖν ὁ βασιλεὺς
7. καὶ ἐξανέστη, καὶ ἑώρα τὴν γραφὴν ἐκείνην, καὶ οἱ συνεταῖροι κύκλῳ αὐτοῦ ἐκαυχῶντο. Καὶ ὁ
βασιλεὺς ἐφώνησε φωνῇ μεγάλῃ, καλέσαι τοὺς ἐπαοιδοὺς, καὶ φαρμακοὺς, καὶ Χαλδαίους, καὶ γαζα-
ρηνοὺς, ἀπαγγεῖλαι τὸ σύγκριμα τῆς γραφῆς. Καὶ εἰσεπορεύοντο ἐπὶ θεωρίαν, ἰδεῖν τὴν γραφὴν,
καὶ τὸ σύγκριμα τῆς γραφῆς οὐκ ἐδύναντο συγκρῖναι τῷ βασιλεῖ. Τότε ὁ βασιλεὺς ἐξέθηκε
πρόσταγμα, λέγων, πᾶς ἀνὴρ, ὃς ἂν ὑποδείξῃ τὸ σύγκριμα τῆς γραφῆς, στολιεῖ αὐτὸν πορφύραν,
καὶ μανιάκην χρυσοῦν περιθήσει αὐτῷ, καὶ δοθήσεται αὐτῷ ἐξουσία τοῦ τρίτου μέρους τῆς βα-
8. σιλείας. Καὶ εἰσεπορεύοντο οἱ ἐπαοιδοὶ, καὶ οἱ φαρμακοὶ, καὶ γαζαρηνοὶ, καὶ οὐκ ἠδύνατο οὐδεὶς
10. τὸ σύγκριμα τῆς γραφῆς ἀπαγγεῖλαι. Τότε ὁ βασιλεὺς ἐκάλεσε τὴν βασίλισσαν περὶ τούτου
σημείου, καὶ ὑπέδειξεν αὐτῇ ὡς μέγα ἐστὶ, καὶ ὅτι πᾶς ἄνθρωπος οὐ δύναται ἀπαγγεῖλαι τῷ βα-
11. σιλεῖ τὸ σύγκριμα τῆς γραφῆς. Τότε ἡ βασίλισσα ἐμνήσθη πρὸς αὐτὸν περὶ τοῦ Δανιὴλ, ὃς ἦν
12. ἐκ τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας. Καὶ εἶπε τῷ βασιλεῖ, ὁ ἄνθρωπος ἐπιστήμων ἦν καὶ σοφὸς,
καὶ ὑπερέχων πάντας τοὺς σοφοὺς Βαβυλῶνος, καὶ πνεῦμα ἅγιον ἐν αὐτῷ ἐστι, καὶ ἐν ταῖς ἡμέ-
ραις τοῦ πατρός σου τοῦ βασιλέως συγκρίματα ὑπέρογκα ὑπέδειξε Ναβουχοδονόσορ τῷ πατρί σου.
13. 16. Τότε Δανιὴλ εἰσήχθη πρὸς τὸν βασιλέα· καὶ ἀποκριθεὶς ὁ βασιλεὺς εἶπεν αὐτῷ· Ὦ Δανιὴλ,
δύνῃ μοι ὑποδεῖξαι τὸ σύγκριμα τῆς γραφῆς; καὶ στολιῶ σε πορφύραν, καὶ μανιάκην χρυσοῦν
17. περιθήσω σοι, καὶ ἕξεις ἐξουσίαν τοῦ τρίτου μέρους τῆς βασιλείας μου. Τότε Δανιὴλ ἔστη κατέν-
αντι τῆς γραφῆς, καὶ ἀνέγνω, καὶ οὕτως ἀπεκρίθη τῷ βασιλεῖ· αὕτη ἡ γραφὴ, ἠρίθμηται, κατελο-
23. γίσθη, ἐξῆρται, καὶ ἔστη ἡ γράψασα χεὶρ, καὶ αὕτη ἡ σύγκρισις αὐτῶν. Βασιλεῦ, σὺ ἐποιήσω

tem meam, et super regnum Syr. Mediol. ὑποδείξω] *manifesto* Syr. Mediol. αὐτοῦ μεγ.] μεγ. αυτου 88. εἰς τὸν αἰῶνα] *sempiternum* Syr. Mediol.

I. Βαλτάσαρ 1°—ἕσταται] hæc et quæ his interjacent, conficiunt tantummodo Epigrapham capitis, cum textu ipso τῶν ό conjunctam in Cod. 88, et Syr. Mediol. atque adeo in Ed. τῶν ό Chig. ἐκάλεσε] *et de optimatibus suis vocavit* Syr. Mediol. ἐνυψούμ.] ανυψουμ. 88. καυχώμενος ἐπῄνεσε] *gloriatus esset, laudavit* Syr. Mediol. ἐπέγραψαν] *scripserunt* Syr. Mediol.

II. ἤνεγκε] *asportaverat* Syr. Mediol. καὶ οἰνοχ.] *ut effunderet vinum* Syr. Mediol.

IV. τὴν ἐξουσ.] ^ τὴν 88.

VII. μεγάλῃ] *excelsa* Syr. Mediol. ὑποδείξῃ] υποδειξει 88. στολιεῖ αὐτ. πορφ.] *induetur purpura* Syr. Mediol. μανιάκ. χρυσ. περιθ.] *torques aureus circumponetur* Syr. Mediol.

X. περὶ τούτου σημ.] *propter hoc signum* Syr. Mediol. δύναται] *poterat* Syr. Mediol.

XI. τῆς Ἰουδ.] *Judææ* Syr. Mediol.

XII. ὁ ἄνθρωπ.] *homo ille* Syr. Mediol.

XVI. περιθήσω] *ponam* Syr. Mediol.

ΚΕΦ. V.

ἑστιατορίαν τοῖς φίλοις σου, καὶ ἔπινες οἶνον, καὶ τὰ σκεύη τοῦ οἴκου τοῦ Θεοῦ τοῦ ζῶντος ἠνέχθη
σοι, καὶ ἐπίνετε ἐν αὐτοῖς σὺ, καὶ οἱ μεγιστᾶνές σου, καὶ ᾐνέσατε πάντα τὰ εἴδωλα τὰ χειρο-
ποίητα τῶν ἀνθρώπων, καὶ τῷ Θεῷ τῷ ζῶντι οὐκ εὐλογήσατε, καὶ τὸ πνεῦμά σου ἐν τῇ χειρὶ
αὐτοῦ, καὶ τὸ βασίλειόν σου αὐτὸς ἔδωκέ σοι, ⁓ καὶ οὐκ εὐλόγησας αὐτὸν οὐδὲ ᾔνεσας αὐτῷ.
Τοῦτο τὸ σύγκριμα τῆς γραφῆς, ἠρίθμηται ὁ χρόνος σου τῆς βασιλείας. Ἀπολήγει ἡ βασιλεία 26. 27.
σου· Συντέτμηται, καὶ συντετέλεσται. Ἡ βασιλεία σου τοῖς Μήδοις καὶ τοῖς Πέρσαις δίδοται. Τότε 28. 29.
Βαλτάσαρ ὁ βασιλεὺς ἐνέδυσε τὸν Δανιὴλ πορφύραν, καὶ μανιάκην χρυσοῦν περιέθηκεν αὐτῷ,
καὶ ἔδωκεν ἐξουσίαν αὐτῷ τοῦ τρίτου μέρους τῆς βασιλείας αὐτοῦ. Καὶ τὸ σύγκριμα ἐπῆλθε 30.
Βαλτάσαρ τῷ βασιλεῖ· καὶ τὸ βασίλειον ἐξῆρται ἀπὸ τῶν Χαλδαίων, καὶ ἐδόθη τοῖς Μήδοις καὶ
τοῖς Πέρσαις. Καὶ Ἀρταξέρξης ὁ τῶν Μήδων παρέλαβε τὴν βασιλείαν, καὶ Δαρεῖος πλήρης 31.
τῶν ἡμερῶν, καὶ ἔνδοξος ἐν γήρει.

ΚΕΦ. VI.

ΚΑΙ κατέστησε σατράπας ἑκατὸν εἴκοσι ἑπτὰ ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ. Καὶ ἐπ' αὐ- 1. 2.
τῶν ἄνδρας τρεῖς, ἡγουμένους αὐτῶν· καὶ Δανιὴλ εἷς ἦν τῶν τριῶν ἀνδρῶν, Ὑπὲρ πάντας ἔχων 3.
ἐξουσίαν ἐν τῇ βασιλείᾳ. Καὶ Δανιὴλ ἦν ἐνδεδυμένος πορφύραν, καὶ μέγας καὶ ἔνδοξος ἔναντι
Δαρείου τοῦ βασιλέως, καθότι ἦν ἔνδοξος, καὶ ἐπιστήμων, καὶ συνετὸς, καὶ πνεῦμα ἅγιον ἐν αὐτῷ·
⁜ καὶ εὐοδούμενος ἐν ταῖς πραγματείαις τοῦ βασιλέως, αἷς ἔπρασσε. Τότε ὁ βασιλεὺς ἐβουλεύ-
σατο καταστῆσαι τὸν Δανιὴλ ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας, οὓς κατέστησε μετ'
αὐτοῦ, καὶ σατράπας ἑκατὸν εἴκοσι ἑπτά. Ὅτε δὲ ἐβουλεύσατο ὁ βασιλεὺς καταστῆσαι τὸν Δανιὴλ
ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ, Τότε βουλὴν καὶ γνωμὴν ἐβουλεύσαντο ἐν ἑαυτοῖς οἱ δύο νεανίσκοι, 4.
Πρὸς ἀλλήλους λέγοντες, ἐπεὶ οὐδεμίαν ἁμαρτίαν, οὐδὲ ἄγνοιαν ηὕρισκον κατὰ τοῦ Δανιὴλ, περὶ 5.
ἧς κατηγορήσουσιν αὐτοῦ πρὸς τὸν βασιλέα, καὶ εἶπαν, δεῦτε στήσωμεν ὁρισμὸν καθ' ἑαυτῶν, ὅτι
πᾶς ἄνθρωπος οὐκ ἀξιώσει ἀξίωμα, καὶ οὐ μὴ εὔξηται εὐχὴν ἀπὸ παντὸς Θεοῦ ἕως ἡμερῶν τριά-
κοντα, ἀλλ' ἢ παρὰ Δαρείου τοῦ βασιλέως· εἰ δὲ μὴ, ἀποθανεῖται· ἵνα ἡττήσωσι τὸν Δανιὴλ
ἐναντίον τοῦ βασιλέως, καὶ ῥιφῇ εἰς τὸν λάκκον τῶν λεόντων. Ἤδεισαν γὰρ ὅτι Δανιὴλ προσεύ-
χεται, καὶ δεῖται Κυρίου τοῦ Θεοῦ αὐτοῦ τρὶς τῆς ἡμέρας. Τότε προσήλθοσαν οἱ ἄνθρωποι 6.
ἐκεῖνοι, καὶ εἶπαν ἐναντίον τοῦ βασιλέως· Ὁρισμὸν καὶ στάσιν ἐστήσαμεν, ὅτι πᾶς ἄνθρωπος, ὃς ἂν 7.
εὔξηται εὐχὴν, ἢ ἀξιώσῃ ἀξίωμά τι παρὰ παντὸς Θεοῦ ἕως ἡμερῶν τριάκοντα, ἀλλ' ἢ παρὰ
Δαρείου τοῦ βασιλέως, ῥιφήσεται εἰς τὸν λάκκον τῶν λεόντων. Καὶ οὕτως ὁ βασιλεὺς Δαρεῖος 9.
ἔστησε, καὶ ἐκύρωσεν. Ἐπιγνοὺς δὲ Δανιὴλ τὸν ὁρισμὸν, ὃν ἔστησε κατ' αὐτοῦ, θυρίδας ἤνοιξεν ἐν 10.
τῷ ὑπερῴῳ αὐτοῦ κατέναντι Ἱερουσαλὴμ, καὶ ἔπιπτεν ἐπὶ πρόσωπον αὐτοῦ τρὶς τῆς ἡμέρας, καθὼς
ἐποίει ἔμπροσθεν, καὶ ἐδεῖτο. Καὶ αὐτοὶ ἐτήρησαν τὸν Δανιὴλ, καὶ κατελάβοσαν αὐτὸν εὐχό- 11.
μενον τρὶς τῆς ἡμέρας καθ' ἑκάστην ἡμέραν. Τότε οὗτοι οἱ ἄνθρωποι ἐνέτυχον τῷ βασιλεῖ, καὶ εἶπαν, 12.
Δαρεῖε βασιλεῦ, οὐχ ὁρισμὸν ὥρίσω, ἵνα πᾶς ἄνθρωπος μὴ εὔξηται εὐχὴν, μηδὲ ἀξιώσῃ ἀξίωμα
παρὰ παντὸς Θεοῦ ἕως ἡμερῶν τριάκοντα, ἀλλὰ παρὰ σοῦ, βασιλεῦ, εἰ δὲ μὴ, ῥιφήσεται εἰς τὸν
λάκκον τῶν λεόντων; ἀποκριθεὶς δὲ ὁ βασιλεὺς εἶπεν αὐτοῖς, ἀκριβὴς ὁ λόγος, καὶ μενεῖ ὁ ὁρισ-
μός. Καὶ εἶπον αὐτῷ, ὁρκίζομέν σε τοῖς Μήδων καὶ Περσῶν δόγμασιν, ἵνα μὴ ἀλλοιώσῃς τὸ
πρόσταγμα, μηδὲ θαυμάσῃς πρόσωπον, καὶ ἵνα μὴ ἐλαττώσῃς τι τῶν εἰρημένων, ἀλλὰ καὶ κο-
λάσῃς τὸν ἄνθρωπον, ὃς οὐκ ἐνέμεινε τῷ ὁρισμῷ τούτῳ. Καὶ εἶπεν, οὕτως ποιήσω καθὼς λέγετε,

XXIII. τὰ εἴδωλα] *sculptilia* Syr. Mediol. ⁓ καὶ οὐκ εὐλόγ.] habet sine signo Syr. Mediol.

XXVII. σου] subjicit signum finale, quasi signum aut Asterisci aut Obeli præcessisset, 88.

XXVIII. συντετέλεσται. Ἡ βασιλεία σου τοῖς Μήδοις] συντετελεσται η βασιλεια σου· τοις Μηδοις 88. Syr. Mediol.

XXXI. Καὶ Δαρ.] hic incipit novam sectionem 88.

I. ἑκατ. εἴκ. ἑπτὰ] *centum viginti* tribuere τοῖς ο΄ videtur Hier.

III. συνετὸς] συνεσις 88. ⁜ καὶ εὐοδούμενος ἐν ταῖς πραγματείαις τοῦ βασιλέως, αἷς] *et prospere agebat* ⁜ *in negotiis regis, in quæ* Syr. Mediol.

V. κατηγορήσουσ.] *accusarent* Syr. Mediol. πρὸς τὸν βασ.] *coram rege* Syr. Mediol. προσεύχεται καὶ δεῖται] *oraret et deprecaretur* Syr. Mediol.

VII. ἀξίωμά τι] *petitione* (quasi ἀξιώματι legeretur) Syr. Mediol. Θεοῦ] του θεου 88. ῥιφήσετ.] *projiciatur* Syr. Mediol.

VIII. *Et persuaserunt regi, ut constitueret hanc legem, et non immutaret eam, quia noverant quod Daniel oraret, et deprecaretur ter in die, ut sic reus perageretur coram rege, et projiceretur in lacum leonum* Syr. Mediol. Hæc ex ὁμοιοτελεύτῳ, ut videtur, in textu Græco omissa sunt.

XII. ἀποκρ. δὲ] ∧ δὲ 88. ὁ ὁρισμ.] *lex* Syr. Mediol. ἀλλὰ καὶ κολ.] *et punias* Syr. Mediol. τί] ∧ Syr. Mediol. ὃς οὐκ] *quicunque non* Syr. Mediol.

ΚΕΦ. VI.

13. καὶ ἔϛηκέ μοι τȣ̃το. Καὶ εἶπαν, ἰδȣ̀ εὕρομεν Δανιὴλ τὸν φίλον σου εὐχόμενον καὶ δεόμενον τοῦ
14. προσώπου τȣ̃ Θεȣ̃ αὐτοῦ τρὶς τῆς ἡμέρας. Καὶ λυπȣ́μενος ὁ βασιλεὺς εἶπεν ῥιφῆναι τὸν Δανιὴλ
εἰς τὸν λάκκον τῶν λεόντων, κατὰ τὸν ὁρισμὸν ὃν ἔϛησε κατ' αὐτȣ̃. Τότε ὁ βασιλεὺς σφόδρα
ἐλυπήθη ἐπὶ τὸν Δανιὴλ, καὶ ἐβοήθει τȣ̃ ἐξελέσθαι αὐτὸν ἕως δυσμῶν ἡλίου ἀπὸ τῶν χειρῶν τῶν
15. 16. σατραπῶν. Καὶ οὐκ ἠδύνατο ἐξελέσθαι αὐτὸν ἀπ' αὐτῶν. Ἀναβοήσας δὲ Δαρεῖος ὁ βασιλεὺς
εἶπε τῷ Δανιὴλ, ὁ Θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς τρὶς τῆς ἡμέρας, αὐτὸς ἐξελεῖταί σε ἐκ
17. χειρὸς τῶν λεόντων· ἕως πρωῒ θάῤῥει. Τότε Δανιὴλ ἐῤῥίφη εἰς τὸν λάκκον τῶν λεόντων. Καὶ
ἠνέχθη λίθος, καὶ ἐτέθη εἰς τὸ ϛόμα τȣ̃ λάκκου, καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ
ἑαυτȣ̃, καὶ ἐν τοῖς δακτυλίοις τῶν μεγιϛάνων αὐτȣ̃, ὅπως μὴ ἀπ' αὐτῶν ἀρθῇ ὁ Δανιὴλ, ÷ ἢ ὁ
18. βασιλεὺς αὐτὸν ἀνασπάσῃ ἐκ τȣ̃ λάκκου.″ Τότε ὑπέϛρεψεν ὁ βασιλεὺς εἰς τὰ βασίλεια αὐτοῦ,
καὶ ηὐλίσθη νῆϛις, καὶ ἦν λυπȣ́μενος περὶ τȣ̃ Δανιήλ· τότε ὁ Θεὸς τȣ̃ Δανιὴλ, πρόνοιαν ποιȣ́-
19. μενος αὐτȣ̃, ἀπέκλεισε τὰ ϛόματα τῶν λεόντων, καὶ ȣ̓ παρηνώχλησαν τῷ Δανιήλ. Καὶ ὁ βασι-
λεὺς Δαρεῖος ὤρθρισε πρωῒ, καὶ παρέλαβε μεθ' ἑαυτȣ̃ τοὺς σατράπας, καὶ πορευθεὶς ἔϛη ἐπὶ
20. τȣ̃ ϛόματος τȣ̃ λάκκου τῶν λεόντων. Τότε ὁ βασιλεὺς ἐκάλεσε τὸν Δανιὴλ φωνῇ μεγάλῃ μετὰ
κλαυθμȣ̃, λέγων, ὦ Δανιὴλ, εἰ ἄρα ζῇς, καὶ ὁ Θεός σȣ, ᾧ λατρεύεις ἐνδελεχῶς, σέσωκέ σε ἀπὸ
21. τῶν λεόντων, καὶ οὐκ ἠχρείωκάν σε; Τότε Δανιὴλ ἐπήχουσε φωνῇ μεγάλῃ, καὶ εἶπεν, βασιλεῦ,
22. ἔτι εἰμὶ ζῶν· Καὶ σέσωκέ με ὁ Θεὸς ἀπὸ τῶν λεόντων, καθ' ὅτι δικαιοσύνη ἐν ἐμοὶ εὑρέθη ἐναν-
τίον αὐτȣ̃, καὶ ἐναντίον δὲ σȣ̃, βασιλεῦ, ȣ̓́τε ἄγνοια, ȣ̓́τε ἁμαρτία εὑρέθη ἐν ἐμοί· σὺ δὲ ἤκȣσας
23. ἀνθρώπων πλανώντων βασιλεῖς, καὶ ἔῤῥιψάς με εἰς τὸν λάκκον τῶν λεόντων εἰς ἀπώλειαν. Τότε
συνήχθησαν πᾶσαι αἱ δυνάμεις, καὶ εἶδον τὸν Δανιὴλ, ὡς οὐ παρηνώχλησαν αὐτῷ οἱ λέοντες.
24. Τότε οἱ δύο ἄνθρωποι ἐκεῖνοι οἱ καταμαρτυρήσαντες τȣ̃ Δανιὴλ, αὐτοὶ, καὶ αἱ γυναῖκες αὐτῶν,
καὶ τὰ τέκνα αὐτῶν, ἐῤῥίφησαν τοῖς λέουσι, καὶ οἱ λέοντες ἀπέκτειναν αὐτȣ̀ς, καὶ ἔθλασαν τὰ
25. ὀϛᾶ αὐτῶν. Τότε Δαρεῖος ἔγραψε πᾶσι τοῖς ἔθνεσι, καὶ γλώσσαις, καὶ χώραις, τοῖς οἰκοῦσιν
26. ἐν πάσῃ τῇ γῇ αὐτȣ̃, λέγων· Πάντες οἱ ἄνθρωποι, οἱ ὄντες ἐν τῇ βασιλείᾳ μου, ἔϛωσαν προσ-
κυνȣ̃ντες καὶ λατρεύοντες τῷ Θεῷ τοῦ Δανιήλ· αὐτὸς γάρ ἐϛι Θεὸς μένων, καὶ ζῶν εἰς γενεὰς
27. γενεῶν ἕως τȣ̃ αἰῶνος. Ἐγὼ Δαρεῖος ἔσομαι αὐτῷ προσκυνῶν καὶ δουλεύων πάσας τὰς ἡμέρας
μου· τὰ γὰρ εἴδωλα τὰ χειροποίητα οὐ δύνανται σῶσαι, ὡς ἐλυτρώσατο ὁ Θεὸς τοῦ Δανιὴλ τὸν
28. Δανιήλ. Καὶ ὁ βασιλεὺς Δαρεῖος προσετέθη πρὸς τὸ γένος αὐτοῦ· ÷ καὶ Δανιὴλ κατεϛάθη
ἐπὶ τῆς βασιλείας Δαρείȣ·″ καὶ Κῦρος ὁ Πέρσης παρέλαβε τὴν βασιλείαν αὐτȣ̃.

ΚΕΦ. VII.

1. ΕΤΟΥΣ πρώτου βασιλεύοντος Βαλτάσαρ χώρας Βαβυλωνίας, Δανιὴλ ὅραμα εἶδε παρὰ κεφα-
2. λὴν ἐπὶ τῆς κοίτης αὐτȣ̃· τότε Δανιὴλ τὸ ὅραμα, ὃ εἶδεν, ἔγραψεν εἰς κεφάλαια λόγων. Ἐπὶ
τῆς κοίτης μου ἐθεώρουν καθ' ὕπνους νυκτός· καὶ ἰδȣ̀ τέσσαρες ἄνεμοι τοῦ οὐρανȣ̃ ἐνέπεσον εἰς
3. τὴν θάλασσαν τὴν μεγάλην. Καὶ τέσσαρα θηρία ἀνέβαινον ἐκ τῆς θαλάσσης, διαφέροντα ἓν
4. παρὰ τὸ ἕν· Τὸ πρῶτον ὡσεὶ λέαινα, ἔχουσα πτερὰ ὡσεὶ ἀετȣ̃· ἐθεώρουν ἕως ὅτου ἐτίλη τὰ
πτερὰ αὐτῆς, καὶ ἤρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρωπίνων ἐϛάθη, καὶ ἀνθρωπίνη καρδία
5. ἐδόθη αὐτῇ. Καὶ ἰδȣ̀ μετ' αὐτὴν ἄλλο θηρίον ὁμοίωσιν ἔχον ἄρκου, καὶ ἐπὶ τȣ̃ ἑνὸς πλευροῦ
ἐϛάθη, καὶ τρία πλευρὰ ἦν ἐν τῷ ϛόματι αὐτῆς ※ ἐν μέσῳ ὀδόντων αὐτῆς″ καὶ οὕτως εἶπεν,
6. ἀνάϛα, κατάφαγε σάρκας πολλάς. Καὶ μετὰ ταῦτα ἐθεώρουν θηρίον ἄλλο ὡσεὶ πάρδαλιν,

XIII. τȣ̃ προσώπ.] *in conspectu* Syr. Mediol.

XIV. Καὶ λυπȣ́μ.—κατ' αὐτȣ̃] Iterum Epigrapha sectionis videtur cum textu τῶν ό coaluisse. ἔϛησε] *statuerunt* Syr. Mediol. τὸν Δαν. 2°] τω Δαν. 88.

XVII. εἰς τὸ ϛόμα] *super os* Syr. Mediol. ἐν 1°, 2°] non exprimit Syr. Mediol.

XVIII. ποιȣ́μενος] *habens* Syr. Mediol.

XX. λατρεύεις] συ λατρ. 88.

XXI. ἐπήχουσε] *respondit* Syr. Mediol.

XXII. ἐναντίον αὐτȣ̃] ‸ 88. καὶ ἔῤῥιψ.] ‸ καὶ, sed supplevit Editor, Syr. Mediol.

XXV. γλώσσ. καὶ χώρ.] *regionibus et linguis* Syr. Mediol.

XXVII. δουλεύων] *serviens ei* Syr. Mediol.

XXVIII. πρὸς τὸ γέν.] margo *ad patres* Syr. Mediol.

I. Βαλτάσαρ] *Baltassar* Syr. Mediol. χώρ. Βαβυλ.] *super regionem terræ Babylonis* Syr. Mediol. κεφαλ.] + *suum* Syr. Mediol.

II. καθ' ὕπνȣς] *in somno* Syr. Mediol. τȣ̃ ȣ̓ρ.] ‸ Syr. Mediol.

III. Καὶ 1°] *et ecce* Syr. Mediol. παρὰ τὸ ἕν] *ab alia* Syr. Mediol.

V. ※ ἐν μέσῳ ὀδόντων αὐτῆς ″] ※ *in medio dentium* ″ Syr. Mediol.

καὶ πτερὰ τέσσαρα ἐπέτεινον ἐπάνω αὐτοῦ, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ. Μετὰ δὲ ταῦτα 7.
ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς θηρίον τέταρτον φοβερὸν, καὶ ὁ φόβος αὐτοῦ ὑπερφέρων ἰσχύϊ,
ἔχον ὀδόντας σιδηροῦς μεγάλους, ἐσθίον καὶ κοπανίζον, κύκλῳ τοῖς ποσὶ καταπατοῦν, διαφόρως
χρώμενον παρὰ πάντα τὰ πρὸ αὐτοῦ θηρία· εἶχε δὲ κέρατα δέκα, Καὶ βουλαὶ πολλαὶ ἐν τοῖς 8.
κέρασιν αὐτοῦ. Καὶ ἰδοὺ ἄλλο ἓν κέρας ἀνεφύη ἀναμέσον αὐτῶν μικρὸν ἐν τοῖς κέρασιν αὐτοῦ, καὶ
τρία τῶν κεράτων τῶν πρώτων ἐξηράνθησαν δι᾽ αὐτοῦ· καὶ ἰδοὺ ὀφθαλμοὶ, ὥσπερ ὀφθαλμοὶ ἀν-
θρώπινοι, ἐν τῷ κέρατι τούτῳ, καὶ στόμα λαλοῦν μεγάλα, ÷ καὶ ἐποίει πόλεμον πρὸς τοὺς ἁγίους.˝
Ἐθεώρουν ἕως ὅτε θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο, ἔχων περιβολὴν ὡσεὶ χιόνα, καὶ 9.
τὸ τρίχωμα τῆς κεφαλῆς αὐτοῦ, ὡσεὶ ἔριον λευκὸν καθαρόν· ὁ θρόνος ὡσεὶ φλὸξ πυρὸς, ※ τροχοὶ
αὐτοῦ πῦρ καιόμενον. Ποταμὸς πυρὸς ἕλκων καὶ ἐξεπορεύετο κατὰ πρόσωπον αὐτοῦ ποταμὸς 10.
πυρός· χίλιαι χιλιάδες ἐθεράπευον αὐτὸν, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ, καὶ κριτή-
ριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν. Ἐθεώρουν τότε τὴν φωνὴν τῶν λόγων τῶν μεγάλων, ὧν 11.
τὸ κέρας ἐλάλει· θεωρῶν ἤμην, καὶ ἀπετυμπανίσθη τὸ θηρίον, καὶ ἀπώλετο τὸ σῶμα αὐτοῦ, καὶ
ἐδόθη εἰς καῦσιν πυρός. Καὶ τοὺς κύκλῳ αὐτοῦ ἀπέστησε τῆς ἐξουσίας αὐτῶν, καὶ χρόνος ζωῆς 12.
ἐδόθη αὐτοῖς ἕως χρόνου καὶ καιροῦ. Ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ ἐπὶ τῶν νεφελῶν 13.
τοῦ οὐρανοῦ ὡς υἱὸς ἀνθρώπου ἤρχετο, καὶ ὡς παλαιὸς ἡμερῶν παρῆν, καὶ οἱ παρεστηκότες παρῆ-
σαν ∼ αὐτῷ. Καὶ ἐδόθη αὐτῷ ἐξουσία ※ καὶ τιμὴ βασιλικὴ,˝ καὶ πάντα τὰ ἔθνη τῆς γῆς κατὰ 14.
γένη, καὶ πᾶσα δόξα αὐτῷ λατρεύουσα, καὶ ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ μὴ ἀρθῇ,
καὶ ἡ βασιλεία αὐτοῦ, ἥτις οὐ μὴ φθαρῇ. Καὶ ἀκηδιάσας ἐγὼ Δανιὴλ ἐν τούτοις ἐν τῷ ὁράματι 15.
τῆς νυκτὸς ※ ἐτάρασσόν με οἱ διαλογισμοί μου. Προσῆλθον πρὸς ἕνα τῶν ἑστώτων, καὶ τὴν ἀκρί- 16.
βειαν ἐζήτουν παρ᾽ αὐτοῦ ὑπὲρ πάντων τούτων· ἀποκριθεὶς δὲ λέγει μοι, καὶ τὴν κρίσιν τῶν
λόγων ἐδήλωσέ μοι. Ταῦτα τὰ θηρία τὰ μεγάλα εἰσὶ τέσσαρες βασιλεῖαι, αἳ ἀπολοῦνται 17.
ἀπὸ τῆς γῆς· Καὶ παραλήψονται τὴν βασιλείαν ἅγιοι ὑψίστου, καὶ καθέξουσι τὴν βασιλείαν 18.
ἕως τοῦ αἰῶνος ‸ τῶν αἰώνων. Τότε ἤθελον ἐξακριβώσασθαι περὶ τοῦ θηρίου τοῦ τετάρτου, τοῦ 19.
διαφθείροντος πάντα, καὶ ὑπερφόβου· καὶ ἰδοὺ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, καὶ οἱ ὄνυχες αὐτοῦ χαλ-
κοῖ, κατεσθίοντος πάντας κύκλοθεν, καὶ καταπατοῦντος τοῖς ποσί· Καὶ περὶ τῶν δέκα κεράτων 20.
αὐτοῦ τῶν ἐπὶ τῆς κεφαλῆς, καὶ τοῦ ἑνὸς τοῦ ἄλλου τοῦ προσφυέντος, καὶ ἐξέπεσαν δι᾽ αὐτοῦ τρία,
καὶ τὸ κέρας ἐκεῖνο εἶχεν ὀφθαλμοὺς, καὶ στόμα λαλοῦν μεγάλα· καὶ ἡ πρόσοψις αὐτοῦ ὑπερέφερε
τὰ ἄλλα. Καὶ κατενόουν τὸ κέρας ἐκεῖνο πόλεμον συνιστάμενον πρὸς τοὺς ἁγίους, καὶ τροπούμενον 21.

VI. ἐπέτειν. ἐπάνω] *extendebantur desuper* Syr. Mediol. θηρίῳ] + *et lingua data est ei* Syr. Mediol.

VII. ὑπερφέρ.] *prævalebat* Syr. Mediol. χρώμεν.] *se gerens* Syr. Mediol.

VIII. πολλαὶ] *magnæ* Syr. Mediol. ἐξηράνθ.] *exaruerunt* Syr. Mediol.

IX. ὅτε] ὅτου Just. M. 196. παλαιὸς] ὁ παλ. Just. M. l. c. χιόνα] χιόνα λευκὴν Just. M. l. c. ὁ θρόν.] + αὐτοῦ Just. M. l. c. Syr. Mediol. τροχ.] οἱ τροχ. Just. M. l. c. καιόμεν.] κατακαιομεν. 88. φλέγον Just. M. l. c.

X. ἕλκων] εἷλκεν Just. M. 197. hic signum finale adjungit, quo terminetur vis asterisci qui sub fine commatis præcedentis interponebatur, Syr. Mediol. καὶ ἐξεπορ.] ἐκπορευόμενος Just. M. l. c. κατὰ πρόσωπ.] ἐκ προσώπου Just. M. l. c. *ante faciem* Syr. Mediol. ἐθεράπ. αὐτὸν] ἐλειτούργουν αὐτῷ Just. M. l. c. μυριάδες] *myriadum* Syr. Mediol. αὐτῷ] *ante eum* Syr. Mediol. καὶ κριτ. ἐκάθ. καὶ βίβλ. ἠνεῴχθ.] βίβλοι ἀνεῴχθησαν, καὶ κριτ. ἐκάθ. Just. M. l. c. κριτήριον] *domus judicii* Syr. Mediol.

XI. λόγ. τῶν μεγ.] μεγάλων λόγ. Just. M. 197. θεωρ. ἤμην] ‸ Just. M. l. c. hæc sub ※ habet Syr. Mediol. ἀπετυμπ.] *projecta est* Syr. Mediol.

XII. τοὺς κύκλῳ ἀπέστησε τῆς ἐξουσ.] τὰ λοιπὰ θηρία μετεστάθη τῆς ἀρχῆς Just. M. 197. ἐδόθη αὐτοῖς] τοῖς θηρίοις ἐδόθη Just. M. l. c. χρόν. καὶ καιρ.] καιροῦ καὶ χρόνου Just. M. l. c. καὶ καιροῦ] *et momentum* Syr. Mediol.

XIII. ἐπὶ] μετὰ Just. M. 197, sed ἐπάνω Idem in allusione 76. ἤρχετο] ἐρχόμενος Just. M. l. c. ὡς παλ. τῶν ἡμερ. παρῆν] ἦλθεν ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν, καὶ παρῆν ἐνώπιον αὐτοῦ Just. M. l. c. οἱ παρεστηκ.] *qui stabant ante eum* Syr. Mediol. παρῆσ. ∼ αὐτῷ] προσήγαγον αὐτόν Just. M. l. c. Notandum est signum post παρῆσαν, de quo nihil apud Syr. Mediol.

XIV. ἐξουσία ※ καὶ ⸔ τιμὴ βασ.] *potestas regia* Tert. Cypr. Jul. Firm. πάντα τὰ ἔθνη] *omnes reges* Cypr. κατὰ γένη] *secundum genus* Tert. *per genus* habet in uno l. sed ‸ in alio Cypr. καὶ πᾶσα] *et regnum et omnis* Jul. Firm. αὐτῷ λατρ.] ‸ αὐτῷ Just. M. 197. λατρεύουσα] *serviebat* Syr. Mediol. *servient illi* in uno l. sed in alio *serviens illi*, et *famulabunda* tantum in alio, Tert. ἐξουσία ult.] ‸ in uno l. sed habet in aliis, Tert. ‸ Cypr. Jul. Firm.

XV. ※ ἐτάρασσόν με οἱ διαλογισμοί μου] ※ *conturbabant me* " (sic) Syr. Mediol. Est Versio hæc mutila.

XVI. Προσῆλθ.] καὶ προσῆλθ. Just. M. 198. ἀποκρ. δὲ λέγει] *respondit autem, et dixit* Syr. Mediol.

XVIII. παραλήψ.] οὐ παραλήψ. (sic) Just. M. 198. τὴν βασιλείαν 1°—τὴν βασιλείαν 2°] ‸ alterutra et quæ iis interjacent Just. M. l. c. ἕως] + αἰῶνος καὶ ἕως Just. M. l. c. Syr. Mediol.

XIX. περὶ τοῦ θηρ. τοῦ τετ.] ὑπὲρ τοῦ τετ. θηρ. Just. M. 198. διαφθείρ.] καταφθείρ. Just. M. l. c. ἰδοὺ] ‸ Just. M. l. c. κατεσθίοντος] κατεσθιοντες 88. Syr. Mediol. καταπατοῦντος] καταπατουντες 88. Syr. Mediol.

XX. τῶν ἐπὶ] ‸ τῶν Just. M. 198. κεφαλ.] + *ejus* Syr. Mediol. τοῦ ἑνὸς] ἐκ τοῦ ἑνὸς Just. M. l. c. *de uno* Syr. Mediol. τοῦ ἄλλου] ‸ Just. M. l. c. προσφυέντ.] + *post illa* Syr. Mediol. ἐξέπεσαν] ἐξέπεσον ἐκ τῶν προτέρων Just. M. l. c.

XXI. τροπούμ.] *quod vincebat* Syr. Mediol.

ΚΕΦ. VII.

22. αὐτȣ̃ς, Ἕως τȣ̃ ἐλθεῖν τὸν παλαιὸν ἡμερῶν, καὶ τὴν κρίσιν ἔδωκε τοῖς ἁγίοις τȣ̃ ὑψίςου· καὶ ὁ
23. καιρὸς ἐδόθη, καὶ τὸ βασίλειον κατέσχον οἱ ἅγιοι. Καὶ ἐῤῥέθη μοι περὶ τȣ̃ θηρίȣ τȣ̃ τετάρτȣ,
ὅτι βασιλεία τετάρτη ἔςαι ἐπὶ τῆς γῆς, ἥτις διοίσει παρὰ πᾶσαν τὴν γῆν, ※ καὶ καταφάγεται
24. πᾶσαν τὴν γῆν," καὶ ἀναςατώσει αὐτὴν, καὶ καταλεανεῖ αὐτήν. Καὶ τὰ δέκα κέρατα τῆς βα-
σιλείας, δέκα βασιλεῖς ςήσονται· καὶ ὁ ἄλλος βασιλεὺς μετὰ τȣ́τους ςήσεται, καὶ αὐτὸς διοίσει
25. κακοῖς ὑπὲρ τοὺς πρώτȣς, καὶ τρεῖς βασιλεῖς ταπεινώσει. Καὶ ῥήματα εἰς τὸν ὕψιςον λαλήσει,
καὶ τοὺς ἁγίους τȣ̃ ὑψίςου κατατρίψει, καὶ προσδέξεται ἀλλοιῶσαι καιρȣ̀ς καὶ νόμον, καὶ πα-
26. ραδοθήσεται πάντα εἰς τὰς χεῖρας αὐτȣ̃ ἕως καιρȣ̃ καὶ καιρῶν, καὶ ἕως ἡμίσους καιρȣ̃. Καὶ ἡ
κρίσις καθίσεται, καὶ τὴν ἐξουσίαν ἀπολȣ̃σι, καὶ βȣλεύσονται μιᾶναι, καὶ ἀπολέσαι ἕως τέλȣς.
27. Καὶ τὴν βασιλείαν, καὶ τὴν ἐξουσίαν, καὶ τὴν μεγαλειότητα αὐτῶν, καὶ τὴν ἀρχὴν πασῶν τῶν
ὑπὸ τὸν ȣ̓ρανὸν βασιλειῶν, ἔδωκε λαῷ ἁγίῳ ὑψίςῳ, βασιλεῦσαι βασιλείαν αἰώνιον, καὶ πᾶσαι
28. ἐξουσίαι αὐτῷ ὑποταγήσονται, καὶ πειθαρχήσουσιν αὐτῷ Ἕως καταςροφῆς τȣ̃ λόγȣ· ἐγὼ Δα-
νιὴλ σφόδρα ἐκςάσει περιειχόμην, καὶ ἡ ἕξις μου διήνεγκεν ἐμοὶ, καὶ τὸ ῥῆμα ἐν καρδίᾳ μου
ἐςήριξα.

ΚΕΦ. VIII.

1. ΕΤΟΥΣ τρίτου βασιλεύοντος Βαλτάσαρ, ὅρασις, ἣν εἶδον ἐγὼ Δανιὴλ, μετὰ τὸ ἰδεῖν με τὴν
2. πρώτην· καὶ εἶδον ἐν τῷ ὁράματι τȣ̃ ἐνυπνίου μου, Ἐμοῦ ὄντος ἐν Σȣ́σοις τῇ πόλει, ἥτις ἐςὶν ἐν
3. Ἐλυμαΐδι χώρᾳ ※ καὶ εἶδον ἐν ὁράματι," ἔτι ὄντος μȣ πρὸς τῇ πύλῃ Αἰλάμ. Ἀναβλέψας εἶδον κριὸν
ἕνα μέγαν ἑςῶτα ἀπέναντι τῆς πύλης· καὶ εἶχε κέρατα ※ καὶ τὰ κέρατα ὑψηλὰ, καὶ τὸ ἓν ὑψη-
4. λότερον τȣ̃ ἑτέρου, καὶ τὸ ὑψηλότερον ἀνέβαινε. Μετὰ δὲ ταῦτα εἶδον τὸν κριὸν κερατίζοντα
πρὸς ἀνατολὰς, καὶ πρὸς βοῤῥᾶν, καὶ πρὸς δυσμὰς, καὶ μεσημβρίαν· καὶ πάντα τὰ θηρία οὐκ
ἔςησαν ὀπίσω αὐτȣ̃, καὶ ȣ̓κ ἦν ὁ ῥυόμενος ἐκ τῶν χειρῶν αὐτȣ̃, καὶ ἐποίει ὡς ἤθελε, καὶ ὑψώθη.
5. Καὶ ἐγὼ διενοȣ́μην, καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ δυσμῶν ἐπὶ προσώπου τῆς γῆς· καὶ ἦν
6. τȣ̃ τράγȣ κέρας ἓν ※ θεωρητὸν," ἀναμέσον τῶν ὀφθαλμῶν αὐτῶν." Καὶ ἦλθεν ἐπὶ τὸν κριὸν τὸν τὰ
7. κέρατα ἔχοντα, ὃν εἶδον ἑςῶτα πρὸς τῇ πύλῃ, καὶ ἔδραμε πρὸς αὐτὸν ἐν θυμῷ ὀργῆς. Καὶ εἶδον
αὐτὸν προσάγοντα πρὸς τὸν κριὸν, καὶ ἐθυμώθη ἐπ' αὐτὸν, καὶ ἐπάταξε ※ τὸν κριὸν, καὶ συνέ-
τριψε τὰ δύο κέρατα αὐτȣ̃, καὶ οὐκ ἔτι ἦν ἰσχὺς ἐν τῷ κριῷ ςῆναι κατέναντι τȣ̃ τράγου, καὶ
ἐσπάραξεν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ συνέτριψεν αὐτὸν, καὶ ȣ̓κ ἦν ὁ ῥυόμενος τὸν κριὸν ἀπὸ τοῦ
8. τράγου. Καὶ ὁ τράγος τῶν αἰγῶν κατίσχυσε σφόδρα· καὶ ὅτε κατίσχυσε, συνετρίβη αὐτȣ̃ τὸ
κέρας τὸ μέγα· καὶ ἀνέβη ἕτερα τέσσαρα κέρατα κατόπισθεν αὐτȣ̃ εἰς τȣ̀ς τέσσαρας ἀνέμους τȣ̃
9. ȣ̓ρανȣ̃. Καὶ ἐξ ἑνὸς αὐτῶν ἀνεφύη κέρας ἰσχυρὸν ἓν, καὶ κατίσχυσε, καὶ ἐπάταξεν ἐπὶ μεσημβρίαν,
10. ἐπὶ νότον, καὶ ἐπ' ἀνατολὰς, καὶ ἐπὶ βοῤῥᾶν. Καὶ ὑψώθη ἕως τῶν ἀςέρων τȣ̃ ȣ̓ρανȣ̃· καὶ ἐῤῥάχθη

XXII. ἡμερ.] των ημερ. 88. ἐδόθη] ἐνέςη Just. M. 199. οἱ] ^ Just. M. l. c. ἅγιοι] + ὑψίςου Just. M. l. c.

XXIII. τȣ̃ θηρ. τοῦ τετ.] τοῦ τετ. θηρ. Just. M. 199. ὅτι] ^ Just. M. l. c. πᾶσ. τὴν γῆν 1°] πάσας τὰς βασιλείας ταύτας Just. M. l. c. *præ omnibus regnis* margo Syr. Mediol.

XXIV. τῆς βασιλ.] *e regno* Syr. Mediol. ςήσοντ.] ἀναςήσονται μετ' αὐτȣ̀ς Just. M. 199. καὶ ὁ ἄλλ. βασ. μετὰ τȣ́τ. ςήσ.] ^ Just. M. l. c. Ex ὁμοιοτελεύτῳ factum credo.

XXV. εἰς τὸν ὕψ.] πρὸς τὸν ὕψ. Just. M. 199. *adversus Altissimum* Syr. Mediol. τοὺς ἁγ.] ἑτέρȣς ἁγ. Just. M. l. c. κατατρίψει] καταςρέψει Just. M. l. c. ἀλλοιῶσ.] του αλλοιωσ. 88. νόμον] χρόνους Just. M. l. c. εἰς τὰς χεῖρ.] ^ τὰς Just. M. l. c. *in manibus* Syr. Mediol. αὐτοῦ] ^ Just. M. l. c. καιρȣ̃ 1°] καιροῦ αὐτȣ̃ Just. M. l. c. ἕως ἡμίσους] ἥμισυ Just. M. l. c.

XXVI. καθίσεται] ἐκάθισε Just. M. 199. Notandum porro, quod in hac voce et in reliquo commatis textus, non τῶν ό, sed Theodotionis apud Justinum habeatur.

XXVII. τὴν βασιλ.—τῶν ὑπὸ] ἡ βασιλεία καὶ ἡ ἐξουσία καὶ ἡ μεγαλειότης τῶν τόπων τῶν ὑπὸ Just. M. 199. ἔδωκε] ἐδόθη Just. M. l. c. ὑψίςῳ] ὑψίςου Just. M. l. c. Syr. Mediol. Est merus typothetarum error. ἐξουσ.] 6. αι εξουσ. margo XII. αὐτῷ ὑποταγ.] ὑποταγ. αὐτῷ Just. M. l. c. πειθ. αὐτῷ] hic, nempe ad finem narrationis de visione, est sine dubio plene distinguendum.

XXVIII. ἕως καταςρ. τοῦ λόγου] ἕως ὧδε τὸ τέλος τȣ̃ λόγου Just. M. 199. margo ἕως ὧδε τὸ πέρας τοῦ λόγου 88. Syr. Mediol. σφόδρα ἐκς. περιειχόμ.] ἐκς. περιειχόμ. σφ. Just. M. 200. ἕξις] λέξις corrupte Just. M. l. c. μου 1°] ^ Just. M. l. c. καρδ.] τῇ καρδ. Just. M. l. c. ἐςήριξα] ἐτήρησα Just. M. l. c.

I. Βαλτάσαρ] *Baltassare* Syr. Mediol.

II. Σȣ́σοις] *Susan* Syr. Mediol. Ἐλυμαΐδι] *Elim* Syr. Mediol. Αἰλάμ] *Ulam* Syr. Mediol. *Ulai* tribuit τοῖς ό Hier. in comment. ad l.

III. ὑψηλὰ] subjungit huic voci signum finale quo terminetur vis asterisci præcedentis, Syr. Mediol. τȣ̃ ἑτέρου] *socio suo* Syr. Mediol. Suspicatur Editor doctissimus, quod τοῦ ἑταίρȣ in Græcis legerit Interpres Syrus.

V. τῆς γῆς] + *et non tangebat in terram* Syr. Mediol. αὐτῶν] signum finale, quod subjicitur huic voci, non habet Syr. Mediol.

VII. ※ τὸν κριὸν] *ipsum* ※ *arietem* cum signo terminali subjuncto Syr. Mediol. ςῆναι] *standi* Syr. Mediol.

VIII. κατίσχυσε 1°] *prævalebat* Syr. Mediol.

IX. ἐπὶ νότον] ^ Syr. Mediol. ἐπ' ἀνατολὰς, καὶ ἐπὶ βοῤῥ.] *orientem et aquilonem* Syr. Mediol.

ἐπὶ τὴν γῆν ἀπὸ τῶν ἀστέρων, καὶ ἀπὸ αὐτῶν κατεπατήθη, Ἕως ὁ ἀρχιστράτηγος ῥύσεται τὴν αἰχ- 11.
μαλωσίαν· καὶ δι' αὐτὸν τὰ ὄρη τὰ ἀπ' αἰῶνος ἐῤῥάχθη, καὶ ἐξήρθη ὁ τόπος αὐτῶν, καὶ θυσία·
καὶ ἔθηκεν αὐτὴν ἕως χαμαὶ ἐπὶ τὴν γῆν, καὶ εὐωδώθησαν, καὶ ἐγενήθη· καὶ τὸ ἅγιον ἐρημω-
θήσεται. Καὶ ἐγενήθησαν ἐπὶ τῇ θυσίᾳ αἱ ἁμαρτίαι, καὶ ἐῤῥίφη χαμαὶ ἡ δικαιοσύνη· καὶ 12.
ἐποίησε, καὶ εὐωδώθη. Καὶ ἤκουον ἑτέρου ἁγίου λαλοῦντος, καὶ εἶπεν ὁ ἕτερος ἅγιος″ τῷ φελμουνὶ 13.
τῷ λαλοῦντι, ἕως τίνος τὸ ὅραμα στήσεται, καὶ ἡ θυσία ἡ ἀρθεῖσα, καὶ ἡ ἁμαρτία ἐρημώσεως ἡ
δοθεῖσα, καὶ τὰ ἅγια ἐρημωθήσεται εἰς καταπάτημα; Καὶ εἶπεν αὐτῷ, ἕως ἑσπέρας καὶ πρωῒ 14.
ἡμέραι δισχίλιαι τριακόσιαι, καὶ καθαρισθήσεται τὸ ἅγιον. Καὶ ἐγένετο ἐν τῷ θεωρεῖν με, ἐγὼ 15.
Δανιὴλ, τὸ ὅραμα, ἐζήτουν διανοηθῆναι, καὶ ἰδοὺ ἔστη κατεναντίον μου ὡς ὅρασις ἀνθρώπου. Καὶ 16.
ἤκουσα φωνὴν ἀνθρώπου ἀναμέσον τοῦ Οὐλαΐ· καὶ ἐκάλεσε, καὶ εἶπεν, Γαβριὴλ, συνέτισον ἐκεῖνον
τὴν ὅρασιν· ⸓ καὶ ἀναβοήσας εἶπεν ὁ ἄνθρωπος ἐπὶ τὸ πρόσταγμα ἐκεῖνο ἡ ὅρασις.″ Καὶ ἦλθε, 17.
καὶ ἔστη ἐχόμενός μου τῆς στάσεως· καὶ ἐν τῷ ἔρχεσθαι αὐτὸν ἐθορυβήθην, καὶ ἔπεσα ἐπὶ πρόσω-
πόν μου· καὶ εἶπέν μοι, διανοήθητι, υἱὲ ἀνθρώπου, ἔτι γὰρ εἰς ὥραν καιροῦ τοῦτο τὸ ὅραμα. Καὶ 18.
λαλοῦντος αὐτοῦ μετ' ἐμοῦ, ἐκοιμήθην ἐπὶ πρόσωπον χαμαὶ, καὶ ἁψάμενός μου ἤγειρέ με ἐπὶ τοῦ
τόπου. Καὶ εἶπέ μοι, ἰδοὺ ἐγὼ ἀπαγγέλλω σοι ἃ ἔσται ἐπ' ἐσχάτου τῆς ὀργῆς τοῖς υἱοῖς τοῦ λαοῦ σου· 19.
ἔτι γὰρ εἰς ὥρας καιροῦ συντελείας μενεῖ. Τὸν κριὸν, ὃν εἶδες, τὸν ἔχοντα τὰ κέρατα, βασιλεὺς 20.
Μήδων καὶ Περσῶν ἐστί. Καὶ ὁ τράγος τῶν αἰγῶν, βασιλεὺς τῶν Ἑλλήνων ἐστί· καὶ τὸ κέρας 21.
τὸ μέγα, τὸ ἀναμέσον τῶν ὀφθαλμῶν αὐτοῦ, αὐτὸς ὁ βασιλεὺς ὁ πρῶτος. Καὶ τοῦ συντριβέντος, 22.
καὶ ἀναβάντα ὀπίσω αὐτοῦ τέσσαρα κέρατα, τέσσαρες βασιλεῖς τοῦ ἔθνους αὐτοῦ ἀναστήσονται, οὐ
κατὰ τὴν ἰσχὺν αὐτῶν. Καὶ ἐπ' ἐσχάτου τῆς βασιλείας αὐτῶν, πληρουμένων τῶν ἁμαρτιῶν αὐ- 23.
τῶν, ἀναστήσεται βασιλεὺς, ἀναιδὴς προσώπῳ, διανοούμενος αἰνίγματα. Καὶ στερεωθήσεται ἡ 24.
ἰσχὺς αὐτοῦ, καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ, καὶ θαυμαστῶς φθερεῖ, καὶ εὐοδωθήσεται, καὶ ποιήσει,
καὶ φθερεῖ δυνάστας, καὶ δῆμον ἁγίων. Καὶ ἐπὶ τοὺς ἁγίους τὸ διανόημα αὐτοῦ, καὶ εὐοδωθήσε- 25.
ται τὸ ψεῦδος ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ ἡ καρδία αὐτοῦ ὑψωθήσεται, καὶ δόλῳ ἀφανιεῖ πολλοὺς,
καὶ ἐπὶ ἀπωλείας ἀνδρῶν στήσεται, καὶ ποιήσει συναγωγὴν χειρὸς, καὶ ἀποδώσεται. ⸓ Τὸ ὅραμα 26.
τὸ ἑσπέρας, καὶ πρωῒ, ηὑρέθη ἐπ' ἀληθείας, καὶ νῦν πεφραγμένον τὸ ὅραμα, ἔτι γὰρ εἰς ἡμέρας
πολλάς. Ἐγὼ Δανιὴλ ἀσθενήσας ἡμέρας πολλὰς, καὶ ἀναστὰς ἐπραγματευόμην πάλιν βασι- 27.
λικὰ, καὶ ἐξελυόμην ἐπὶ τῷ ὁράματι, καὶ οὐδεὶς ἦν ὁ διανοούμενος.

ΚΕΦ. IX.

ΕΤΟΥΣ πρώτου ἐπὶ Δαρείου τοῦ Ξέρξου ἀπὸ τῆς γενεᾶς τῆς Μηδικῆς, οἳ ἐβασίλευσαν ἐπὶ τὴν 1.
βασιλείαν τῶν Χαλδαίων· Τῷ πρώτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, ἐγὼ Δανιὴλ διενοήθην ἐν ταῖς 2.
βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, ὅτε ἐγένετο πρόσταγμα τῇ γῇ ἐπὶ Ἰερεμίαν τὸν προφήτην, ἐγεῖ-
ραι εἰς ἀναπλήρωσιν ὀνειδισμοῦ Ἱερουσαλὴμ ἑβδομήκοντα ἔτη. Καὶ ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ 3.
Κύριον τὸν Θεὸν, εὑρεῖν προσευχὴν καὶ ἔλεος ἐν νηστείαις, καὶ σάκκῳ καὶ σποδῷ. Καὶ προσ- 4.
ηυξάμην πρὸς Κύριον τὸν Θεὸν, ἐξωμολογησάμην, καὶ εἶπα, ἰδοὺ Κύριε, σὺ εἶ ὁ Θεὸς ὁ μέγας,
καὶ ὁ ἰσχυρὸς, καὶ ὁ φοβερὸς, τηρῶν τὴν διαθήκην, καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσί σε, καὶ τοῖς φυ-
λάσσουσι τὰ προστάγματά σου· Ἡμάρτομεν, ἠδικήσαμεν, ἠσεβήσαμεν, καὶ ἀπέστημεν, καὶ παρέ- 5.
βημεν τὰς ἐντολάς σου, καὶ τὰ κρίματά σου. Καὶ οὐκ ἠκούσαμεν τῶν παίδων σου τῶν προφητῶν, 6.
οἳ ἐλάλησαν ἐπὶ τῷ ὀνόματί σου ἐπὶ τοὺς βασιλεῖς ἡμων, καὶ δυνάστας ἡμῶν, καὶ πατέρας ἡμῶν,

XI. εὐωδώθησαν] *prospere evenit* Syr. Mediol.
XIII. ὁ ἕτερος ἅγιος ″] *ille* ※ *sanctus* ″ *alter* Syr. Mediol. φελμουνὶ] *phelmoni* Syr. Mediol.
XIV. τριακόσ.] *et* præmittit Syr. Mediol.
XVIII. πρόσωπ. χαμαὶ] *faciem meam super terram* Syr. Mediol. ἁψάμ. μου] *quum appropinquasset mihi* Syr. Mediol.
XIX. ἰδοὺ] *ecce ego* Syr. Mediol. ἐπ' ἐσχ.] απ' εσχ. 88.
XX. Τὸν κρ.] *aries* Syr. Mediol.
XXII. τοῦ συντριβ.] τα συντριβεντα 88. *quod confractum est* Syr. Mediol. ἀναβάντα] *ascenderunt* Syr. Mediol. τοῦ ἔθν.] *de populo* Syr. Mediol.
XXIV. καὶ οὐκ] *sed non* Syr. Mediol. φθερεῖ 1°] θερει (sic) 88. φθερεῖ 2°] φθαρει 88. δυνάστ.] *fortes* Syr. Mediol. δῆμον] *congregationem* Syr. Mediol.
XXVI. ⸓ Τὸ ὅραμα] ⸓ το οραμα 88. *et visio* sine signo Syr. Mediol. γὰρ] ∧ 88.

I. ἐπὶ Δαρ.] *in diebus Darii* Syr. Mediol. τοῦ Ξέρξου] *Achsisis* Syr. Mediol. οἳ ἐβασ.] *qui regnaverunt* Syr. Mediol.
II. τὸν ἀριθμὸν] των αριθμων 88. ἐγεῖραι] ∧ (sic) 88.
III. προσευχ.] *deprecationem* Syr. Mediol.
IV. ἐξωμολ.] *et confessus sum* Syr. Mediol.
VI. δυνάστ.] *principes* Syr. Mediol.

ΚΕΦ. ΙΧ.

7. καὶ παντὶ ἔθνει ἐπὶ τῆς γῆς. Σοὶ, Κύριε, ἡ δικαιοσύνη, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου κατὰ
τὴν ἡμέραν ταύτην, ἀνθρώποις Ἰούδα, καὶ καθημένοις ἐν Ἱερουσαλὴμ, καὶ παντὶ τῷ λαῷ Ἰσραὴλ,
τῷ ἔγγιστα, καὶ τῷ ἀπωτέρω, ἐν πάσαις ταῖς χώραις, εἰς ἃς διεσκόρπισας αὐτοὺς ἐκεῖ, ἐν τῇ
8. πλημμελείᾳ, ᾗ ἐπλημμέλησαν ἐναντίον σου. Δέσποτα, ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου, καὶ τοῖς
9. βασιλεῦσιν ἡμῶν, καὶ δυνάσταις, καὶ τοῖς πατράσιν ἡμῶν, ὅτι ἡμάρτομέν σοι. Τῷ Κυρίῳ ἡ δι-
10. καιοσύνη καὶ τὸ ἔλεος, ὅτι ἀπέστημεν ἀπὸ σοῦ. Καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ
ἡμῶν, κατακολουθῆσαι τῷ νόμῳ σου, ᾧ ἔδωκας ἐνώπιον Μωσῆ καὶ ἡμῶν, διὰ τῶν παίδων σου τῶν
11. προφητῶν. Καὶ πᾶς Ἰσραὴλ ἐγκατέλιπε τὸν νόμον σου, καὶ ἀπέστησαν, τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς
σου· καὶ ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ κατάρα, καὶ ὁ ὅρκος ὁ γεγραμμένος ἐν τῷ νόμῳ Μωσῆ παιδὸς τοῦ
12. Θεοῦ, ὅτι ἡμάρτομεν αὐτῷ. Καὶ ἔστησεν ἡμῖν τὰ προστάγματα αὐτοῦ, ὅσα ἐλάλησεν ἐφ' ἡμᾶς,
καὶ ἐπὶ τοὺς κριτὰς ἡμῶν, ὅσα ἔκρινας ἡμῖν, ἐπαγαγεῖν ἐφ' ἡμᾶς κακὰ μεγάλα, οἷα οὐκ ἐγενήθη
13. ὑπὸ τὸν οὐρανὸν, καθ' ὅτι ἐγενήθη ἐν Ἱερουσαλήμ. Κατὰ τὰ γεγραμμένα ἐν διαθήκῃ Μωσῆ,
πάντα τὰ κακὰ ἐπῆλθεν ἡμῖν· καὶ οὐκ ἐξεζητήσαμεν τὸ πρόσωπον Κυρίου Θεοῦ ἡμῶν, ἀποστῆναι
14. ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ διανοηθῆναι τὴν δικαιοσύνην σου, Κύριε. Καὶ ἠγρύπνησε Κύριος
ὁ Θεὸς ἐπὶ τὰ κακὰ, καὶ ἐπήγαγεν ἐφ' ἡμᾶς, ὅτι δίκαιος Κύριος ὁ Θεὸς ἡμῶν ἐπὶ πάντα ὅσα ἂν
15. ποιήσῃ, καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ. Καὶ νῦν, Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐξαγα-
γὼν τὸν λαόν σου ἐξ Αἰγύπτου τῷ βραχίονί σου τῷ ὑψηλῷ, καὶ ἐποίησας σεαυτῷ ὄνομα, κατὰ τὴν
16. ἡμέραν ταύτην, ἡμάρτομεν, ἠγνοήκαμεν. Δέσποτα, κατὰ τὴν δικαιοσύνην σου, ἀποστραφήτω ὁ θυ-
μός σου, καὶ ἡ ὀργή σου, ἀπὸ τῆς πόλεώς σου Ἱερουσαλὴμ ὄρους τοῦ ἁγίου σου· ὅτι ἐν ταῖς ἁμαρ-
τίαις ἡμῶν, καὶ ἐν ταῖς ἀγνοίαις τῶν πατέρων ἡμῶν, Ἱερουσαλὴμ, καὶ ὁ δῆμός σου, Κύριε, εἰς ὀνει-
17. δισμὸν ἐν πᾶσι τοῖς περικύκλῳ ἡμῶν. Καὶ νῦν ἐπάκουσον, Δέσποτα, τῆς προσευχῆς τοῦ παιδός
σου, καὶ ἐπὶ τὰς δεήσεις μου, καὶ ἐπιβλεψάτω τὸ πρόσωπόν σου ἐπὶ τὸ ὄρος τὸ ἅγιόν σου τὸ ἔρη-
18. μον, ἕνεκεν τῶν δούλων σου, Δέσποτα. Πρόσχες, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσόν μου· ἄνοιξον
τοὺς ὀφθαλμούς σου, καὶ ἴδε τὴν ἐρήμωσιν ἡμῶν, καὶ τῆς πόλεώς σου, ἐφ' ἧς ἐπεκλήθη τὸ ὄνομά
σου ἐπ' αὐτῆς· οὐ γὰρ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν ἡμεῖς δεόμεθα ἐν ταῖς προσευχαῖς ἡμῶν ἐνώ-
19. πιόν σου, ἀλλὰ διὰ τὸ σὸν ἔλεος, Κύριε, Σὺ ἱλάτευσον· Κύριε, ἐπάκουσον, καὶ ποίησον, καὶ μὴ
χρονίσῃς ἕνεκα σεαυτοῦ, Δέσποτα, ὅτι τὸ ὄνομά σου ἐπεκλήθη ἐπὶ τὴν πόλιν σου Σιὼν, καὶ ἐπὶ
20. τὸν λαόν σου Ἰσραήλ. Καὶ ἕως ἐγὼ ἐλάλουν προσευχόμενος, καὶ ἐξομολογούμενος τὰς ἁμαρτίας
μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου Ἰσραὴλ, καὶ δεόμενος ἐν ταῖς προσευχαῖς ἐναντίον Κυρίου
21. Θεοῦ μου, καὶ ὑπὲρ τοῦ ὄρους τοῦ ἁγίου τοῦ Θεοῦ ἡμῶν, Καὶ ἔτι λαλοῦντός μου ἐν τῇ προσευχῇ μου,
καὶ ἰδοὺ ὁ ἀνὴρ, ὃν εἶδον ἐν τῷ ὕπνῳ μου τὴν ἀρχὴν, Γαβριὴλ, τάχει φερόμενος προσήγγισέ μοι
22. ἐν ὥρᾳ θυσίας ἑσπερινῆς. Καὶ προσῆλθε, καὶ ἐλάλησε μετ' ἐμοῦ, καὶ εἶπεν, Δανιὴλ, ἄρτι
23. ἐξῆλθον ὑποδεῖξαί σοι διάνοιαν. Ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθε πρόσταγμα παρὰ Κυρίου,
24. καὶ ἐγὼ ἦλθον ὑποδεῖξαί σοι, ὅτι ἐλεηνὸς εἶ, καὶ διανοήθητι τὸ πρόσταγμα. Ἑβδομήκοντα
ἑβδομάδες ἐκρίθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν Σιὼν, συντελεσθῆναι τὴν ἁμαρτίαν,
καὶ τὰς ἀδικίας σπανίσαι, καὶ ἀπαλεῖψαι τὰς ἀδικίας, καὶ διανοηθῆναι τὸ ὅραμα, καὶ δοθῆναι
δικαιοσύνην αἰώνιον, καὶ συντελεσθῆναι τὰ ὁράματα ※ καὶ προφήτην, καὶ εὐφρᾶναι ἅγιον ἁγίων.
25. Καὶ γνώσῃ, καὶ διανοηθήσῃ, καὶ εὐφρανθήσῃ, καὶ εὑρήσεις προστάγματα ἀποκριθῆναι, καὶ οἰκο-
26. δομήσεις Ἱερουσαλὴμ πόλιν Κυρίῳ. Καὶ μετὰ ἑπτὰ, καὶ ἑβδομήκοντα καὶ ἑξήκοντα δύο ἀποσα-

VII. κατὰ τὴν ἡμ. ταύτ.] *in die hac* Syr. Mediol. ἐκεῖ] *illuc* Syr. Mediol. σου. Δέσποτα,] *tuo, Domine.* Syr. Mediol.

VIII. δυνάς.] τοις δυν. 88.

X. σου 1°] αυτου 88. καὶ ἡμῶν] *et coram nobis* Syr. Mediol.

XI. ἐπῆλθ.] *venit* Syr. Mediol.

XII. ἐφ' ἡμ. καὶ ἐπὶ] *ad nos et ad* Syr. Mediol.

XIV. ὅσα] *quæ* Syr. Mediol.

XVI. ὁ δῆμός] *congregatio* Syr. Mediol. εἰς ὀνειδ.] *in opprobrium facta est* Syr. Mediol. ἐν ult.] ^ Syr. Mediol.

XVII. ἐπὶ τὰς] ^ ἐπὶ Syr. Mediol.

XVIII. σου 1°] μου (sic) 88. ἐπ' αὐτῆς] ^ Syr. Mediol. ἐπὶ ταῖς δικ. ἡμ.] *propter justitiam nostram* Syr. Mediol.

XIX. ἱλάτ.] + *nobis* Syr. Mediol.

XX. ταῖς προσευχ.] *deprecationibus* Syr. Mediol.

XXI. ὁ ἀνὴρ] ^ ὁ 88. τάχει φερόμ.] *veniens cito* Syr. Mediol.

XXIII. πρόσταγμα ult.] + *et consideravi ipsum mandatum* Syr. Mediol.

XXIV. καὶ τὰς ἀδ. σπαν.] *et imminuatur iniquitas* Syr. Mediol. καὶ δοθ. δικ. αἰών.] ÷ *et detur justitia sempiterna* ⸓ Syr. Mediol. τὰ ὁράματα ※ καὶ προφήτην καὶ εὐφρ.] *visio* ※ *et prophetæ, et lætetur* ⸓ (sic) Syr. Mediol.

XXV. εὑρήσεις] ευρησης 88.

XXVI. δύο] margo *hebdomadas* Syr. Mediol.

ΚΕΦ. IX.

θήσεται χρίσμα, καὶ οὐκ ἔϛαι, καὶ βασιλεία ἐθνῶν φθερεῖ τὴν ϖόλιν, καὶ τὸ ἅγιον μετὰ τοῦ
Χριϛȣ̃· καὶ ἥξει ἡ συντέλεια αὐτȣ̃ μετ' ὀργῆς, καὶ ἕως καιρȣ̃ συντελείας, ἀπὸ ϖολέμου ϖολε-
μηθήσεται. Καὶ δυναϛεύσει ἡ διαθήκη εἰς ϖολλούς, καὶ ϖάλιν ἐπιϛρέψει, καὶ ἀνοικοδομηθή- 27.
σεται εἰς ϖλάτος καὶ μῆκος, καὶ κατὰ συντέλειαν καιρῶν· καὶ μετὰ ἑπτὰ καὶ ἑβδομήκοντα και-
ρούς, καὶ ἑξήκοντα δύο ἐτῶν, ἕως καιρȣ̃ συντελείας ϖολέμου, καὶ ἀφαιρεθήσεται ἡ ἐρήμωσις ἐν
τῷ κατισχῦσαι τὴν διαθήκην ἐπὶ ϖολλὰς ἑβδομάδας, καὶ ἐν τῷ τέλει τῆς ἑβδομάδος ἀρθήσεται
ἡ θυσία, καὶ ἡ σπονδὴ, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων ἔϛαι ἕως συντελείας, καὶ συν-
τέλεια δοθήσεται ÷ ἐπὶ τὴν ἐρήμωσιν.

ΚΕΦ. X.

ΕΝ τῷ ἐνιαυτῷ τῷ ϖρώτῳ Κύρου τοῦ βασιλέως Περσῶν ϖρόσταγμα ἐδείχθη τῷ Δανιὴλ, ὃς 1.
ἐπεκλήθη τὸ ὄνομα Βαλτάσαρ· καὶ ἀληθὲς τὸ ὅραμα, καὶ τὸ ϖρόσταγμα· καὶ τὸ ϖλῆθος τὸ
ἰσχυρὸν διανοηθήσεται τὸ ϖρόσταγμα, καὶ διενοήθην ÷ αὐτὸ ἐν ὁράματι.″ Ἐν ταῖς ἡμέραις 2.
ἐκείναις ἐγὼ Δανιὴλ ἤμην ϖενθῶν τρεῖς ἑβδομάδας. Ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέας 3.
καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ ϛόμα μου, ἔλαιον οὐκ ἠλειψάμην, ἕως τȣ̃ συντελέσαι με τὰς τρεῖς
ἑβδομάδας τῶν ἡμερῶν. Καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ καὶ εἰκάδι τȣ̃ μηνὸς τȣ̃ ϖρώτου, καὶ 4.
ἐγὼ ἤμην ἐπὶ τȣ̃ χείλους τȣ̃ ϖοταμȣ̃ τοῦ μεγάλȣ, ὅς ἐϛι Τίγρης. Καὶ ἦρα τούς ὀφθαλμȣ́ς μȣ, 5.
καὶ εἶδον, καὶ ἰδȣ̀ ἄνθρωπος εἷς ἐνδεδυμένος βύσσινα, καὶ τὴν ὀσφὺν ϖεριεζωσμένος βυσσίνῳ, καὶ
ἐκ μέσου αὐτȣ̃ φῶς, καὶ τὸ ϛόμα αὐτȣ̃ ὡσεὶ θαλάσσης. Καὶ τὸ ϖρόσωπον αὐτοῦ ὡσεὶ ὅρασις 6.
ἀϛραπῆς, καὶ οἱ ὀφθαλμοὶ αὐτȣ̃ ὡσεὶ λαμπάδες πυρὸς, καὶ οἱ βραχίονες αὐτȣ̃, καὶ οἱ πόδες ὡσεὶ
χαλκὸς ἐξαϛράπτων, καὶ φωνὴ λαλιᾶς αὐτȣ̃ ὡσεὶ φωνὴ θορύβȣ. Καὶ εἶδον ἐγὼ Δανιὴλ τὴν ὅρα- 7.
σιν τὴν μεγάλην ταύτην, καὶ οἱ ἄνθρωποι οἱ ὄντες μετ' ἐμȣ̃ οὐκ εἴδοσαν τὴν ὅρασιν ταύτην, καὶ
φόβος ἰσχυρὸς ἐπέπεσεν ἐπ' αὐτȣ̀ς, καὶ ἀπέδρασαν ἐν σπȣδῇ. Καὶ ἐγὼ κατελείφθην μόνος, καὶ 8.
εἶδον τὴν ὅρασιν τὴν μεγάλην ταύτην, καὶ ȣ̓ κατελείφθη ἐν ἐμοὶ ἰσχὺς, καὶ ἰδȣ̀ πνεῦμα ἐπεϛράφη
ἐπ' ἐμὲ εἰς φθορὰν, καὶ οὐ κατίσχυσα. Καὶ οὐκ ἤκȣσα τὴν φωνὴν λαλιᾶς αὐτȣ̃· ἐγὼ ἤμην 9.
ϖεπτωκὼς ἐπὶ ϖρόσωπόν μου ἐπὶ τὴν γῆν. Καὶ ἰδοὺ χεῖρα ϖροσήγαγέ μοι, καὶ ἤγειρέ με ἐπὶ 10.
τῶν γονάτων ἐπὶ τὰ ἴχνη τῶν ϖοδῶν μου. Καὶ εἶπέν μοι, Δανιὴλ, ἄνθρωπος ἐλεεινὸς εἶ, δια- 11.
νοήθητι τοῖς ϖροστάγμασιν οἷς ἐγὼ λαλῶ ἐπὶ σὲ, καὶ ϛῆθι ἐπὶ τοῦ τόπȣ σȣ, ἄρτι γὰρ ἀπεϛά-
λην ἐπὶ σέ· καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμȣ̃ τὸ ϖρόσταγμα τȣ̃το, ἔϛην τρέμων. Καὶ εἶπεν 12.
ϖρὸς μὲ, μὴ φοβȣ̃, Δανιὴλ, ὅτι ἀπὸ τῆς ἡμέρας τῆς ϖρώτης, ἧς ἔδωκας τὸ ϖρόσωπόν σου διανο-
ηθῆναι, καὶ ταπεινωθῆναι ἐναντίον Κυρίȣ τȣ̃ Θεȣ̃ σȣ, εἰσηκȣ́σθη τὸ ῥῆμά σȣ, καὶ ἐγὼ εἰσῆλθον
τῷ ῥήματί σȣ. Καὶ ὁ ϛρατηγὸς βασιλέως Περσῶν ἀνθειϛήκει ἐναντίον μȣ εἴκοσι καὶ μίαν ἡμέ- 13.
ραν· καὶ ἰδοὺ Μιχαὴλ εἷς τῶν ἀρχόντων τῶν ϖρώτων ἐπῆλθε βοηθῆσαί μοι, καὶ αὐτὸν ἐκεῖ
κατέλιπον μετὰ τȣ̃ ϛρατηγοῦ τοῦ βασιλέως Περσῶν. Καὶ εἶπέν μοι, ἦλθον ὑποδεῖξαί σοι τί 14.
ὑπαντήσεται τῷ λαῷ σου ἐπ' ἐσχάτȣ τῶν ἡμερῶν, ἔτι γὰρ ὅρασις εἰς ἡμέρας. Καὶ ἐν τῷ αὐτὸν 15.
λαλῆσαι μετ' ἐμȣ̃ τὰ ϖροστάγματα ταῦτα, ἔδωκα τὸ ϖρόσωπόν μȣ ἐπὶ τὴν γῆν, καὶ ἐσιώπησα.
Καὶ ἰδοὺ ὡς ὁμοίωσις χειρὸς ἀνθρώπου ἥψατό μου τῶν χειλέων· καὶ ἤνοιξα τὸ ϛόμα μου, καὶ 16.
ἐλάλησα, καὶ εἶπα τῷ ἑϛηκότι ἀπέναντί μȣ, Κύριε· καὶ ὡς ὅρασις ἐπεϛράφη ἐπὶ τὸ ϖλευρόν μου
ἐπ' ἐμὲ, καὶ οὐκ ἦν ἐπ' ἐμοὶ ἰσχύς. Καὶ ϖῶς δυνήσεται ὁ ϖαῖς λαλῆσαι μετὰ τȣ̃ Κυρίȣ αὐτȣ̃; 17.
καὶ ἐγὼ ἠσθένησα, καὶ ȣ̓κ ἔϛιν ἐν ἐμοὶ ἰσχὺς, καὶ ϖνεῦμα οὐ κατελείφθη ἐν ἐμοί. Καὶ προσέ- 18.
θηκε, καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώπου, καὶ κατίσχυσέ με. Καὶ εἶπέν μοι, ἄνθρωπος ἐλεη- 19.

XXVII. μῆκος] *in longitudinem* Syr. Mediol. καὶ ἐπὶ τὸ ἱερὸν βδέλ. cum. ſqq.] *et in templo* ÷ *abominatio* &c. et ſingulis lineis uſque ad finem commatis apponitur obelus, ut et metobelus ad finem commatis. Hi vero obeli apparent jam ſubobſcure in Cod. 88 meo; et in iſto Codice et in Ed. Chig. quæ ex eo fuit expreſſa, unus de iis obelis, nempe ante εἰς τὴν ἐρήμωσιν, in manifeſto habetur.

I. ÷ αὐτὸ ἐν ὁράματι ″] ÷ *illud per viſionem* ″ Syr. Mediol.
III. τας τρ.] ^ τας 88.
IV. τῇ ἡμ.] *in die* Syr. Mediol.
V. τὴν ὀσφ.] *ſuper latus* Syr. Mediol. βυσσίνῳ] *veſtimento byſſino* Syr. Mediol.
VI. οἱ πόδ.] *pedes ejus* Syr. Mediol.
XI. ϖρὸς σέ 2°] *poſt te* Syr. Mediol.
XII. εἰσηκ.] *etiam exauditum eſt* Syr. Mediol.
XIII. ἀνθειϛήκ.] *ſtabat* Syr. Mediol. ἐπῆλθε] *venit* Syr. Mediol. τοῦ βασιλ.] ^ τȣ̃ 88.
XIV. ἡ ὅρασ.] *hora* Syr. Mediol.
XVI. ἐπ' ἐμοὶ] *in me* Syr. Mediol.
XVIII. ἥψ. μου] *appropinquavit mihi* Syr. Mediol.

ΚΕΦ. X.

νὸς εἶ, μὴ φοβοῦ, ὑγίαινε, ἀνδρίζου καὶ ἴσχυε· καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ ἴσχυσα, καὶ
20. εἶπα, λαλησάτω ὁ Κύριός μου, ὅτι ἐνίσχυσέ με. Καὶ εἶπεν πρὸς μὲ, γινώσκεις τί ἦλθον πρὸς σέ;
καὶ νῦν ἐπιστρέψω διαμάχεσθαι μετὰ τοῦ στρατηγοῦ βασιλέως τῶν Περσῶν· καὶ ἐγὼ ἐξεπορευόμην,
21. καὶ ἰδοὺ στρατηγὸς Ἑλλήνων εἰσεπορεύετο. Καὶ μάλα ὑποδείξω σοι τὰ πρῶτα ἐν ἀπογραφῇ ἀλη-
θείας, καὶ οὐθεὶς ἦν ὁ βοηθῶν μετ' ἐμοῦ ὑπὲρ τούτων, ἀλλ' ἢ Μιχαὴλ ὁ Ἄγγελος.

ΚΕΦ. XI.

1. 2. ΚΑΙ ἐν τῷ ἐνιαυτῷ τῷ πρώτῳ Κύρου τοῦ βασιλέως εἶπέν μοι, ἐνισχῦσαι καὶ ἀνδρίζεσθαι. Καὶ νῦν
ἦλθον τὴν ἀλήθειαν ὑποδεῖξαί σοι· ἰδοὺ τρεῖς βασιλεῖς ἀνθεστήκασιν ἐν τῇ Περσίδι, καὶ ὁ τέταρ-
τος πλουτήσει πλοῦτον μέγαν παρὰ πάντας· καὶ ἐν τῷ κατισχῦσαι αὐτὸν ἐν τῷ πλούτῳ αὐτοῦ,
3. ἐπαναστήσεται παντὶ βασιλεῖ Ἑλλήνων. Καὶ στήσεται βασιλεὺς δυνατὸς, καὶ κυριεύσει κυρείας
4. πολλῆς, καὶ ποιήσει καθὼς ἂν βούληται. Καὶ ἐν τῷ ἀναστῆναι αὐτὸν συντριβήσεται ἡ βασιλεία
αὐτοῦ, καὶ μερισθήσεται εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ, οὐ κατὰ τὴν ἀλκὴν αὐτοῦ, οὐδὲ κατὰ
τὴν κυρείαν αὐτοῦ, ἣν ἐδυνάστευσε, ὅτι ἀποσταθήσεται ἡ βασιλεία αὐτοῦ, καὶ ἑτέρους διδάξει ταῦτα.
5. Καὶ ἐνισχύσει βασιλείαν Αἰγύπτου, καὶ εἷς ἐκ τῶν δυναστῶν κατισχύσει αὐτὸν, καὶ δυναστεύσει·
6. δυναστεία μεγάλη ἡ δυναστεία αὐτοῦ. Καὶ εἰς συντέλειαν ἐνιαυτῶν ἄξει αὐτοὺς· καὶ εἰσελεύσεται
βασιλεὺς Αἰγύπτου εἰς τὴν βασιλείαν τὴν βοῤῥᾶ ποιήσασθαι συνθήκας, καὶ οὐ μὴ κατισχύσει,
ὅτι ὁ βραχίων αὐτοῦ οὐ στήσει ἰσχὺν, καὶ ὁ βραχίων αὐτοῦ ναρκήσει, καὶ τῶν συμπορευομένων μετ'
7. αὐτοῦ, Καὶ μενεῖ εἰς ὥρας· καὶ ἀναστήσεται φυτὸν ἐκ τῆς ῥίζης αὐτοῦ καθ' ἑαυτὸν, καὶ ἥξει ἐπὶ
8. τὴν δύναμιν αὐτοῦ ἐν ἰσχύϊ αὐτοῦ βασιλεὺς βοῤῥᾶ, καὶ ποιήσει ταραχὴν, καὶ κατισχύσει. Καὶ
VII. Ὡς δὲ εἶδον αὐτὴν] και ως ειδον αυτην 44, 74, 106, 236. ως δε ειδοσαν αυτην 58. και ιδοντες 71. καὶ ἦν ἠλλοιωμένον] ‸ 71. ‸ και ἦν 106. τὸ προσώπον αὐτῆς] ‸ 71. καὶ τὴν ςολὴν] ‸ την 58. ‸ και 71. μεταβεβληκυῖαν αὐτῆς] tr. 19, 108, 236. ‸ αυτης 44, 106. αυτης μεταβεβληκυια 76. καὶ ἐθαύμασαν] ‸ και 44, 58, 106, 248, 249. Compl. Alex. ἐπὶ πολὺ σφόδρα] ‸ 71, 106. καὶ εἶπαν αὐτῇ] και ειπον αυτη 44, 106, 108, 249. Compl. Ald. και ειπαν προς αυτην 58. ‸ αυτη 71.

VIII. Ὁ Θεὸς ὁ Θεὸς] semel tantum II, 44, 55, 58, 71, 74, 76, 106, 236, 249. Vet. Lat. ubi supra. ὁ Κυριος 19, 108. habet ὁ Θεὸς secund. in charact. min. Alex. δῴη σε] δῳη σοι 58, 71, 108. εἰς χάριν] ‸ εις 58, 71, 249. εἰς γαυρίαμα] εις αγαυριαμα 74. εις αγαθα εις γαυριαμα 249. εἰς γαυρίαμα &c. ad fin. com. seq.] ‸ 71. γαυρίαμα υἱῶν Ἰσραὴλ, καὶ] ‸ 106. καὶ ὕψωμα Ἱερουσαλὴμ] και εις υψωμα Ιερυσαλημ 58, 74, 76. ‸ 249. *et in exsultationem Hierusalem* Vet. Lat. ubi supra. καὶ προσεκύνησε] και αυτη προσεκυνησε 19, 108. και προσεκυνησαν 23, 44, 52, 55, 64, 74, 76, 106, 236, 248. Compl. Ald. και πεσυσα επι προσωπον προσεκυνησε 58. καὶ προσεκύν. τῷ Θεῷ] *Et procidens in faciem Judith, adoravit Deum.* Vet. Lat. ubi supra.

IX. Καὶ εἶπε πρὸς αὐτὺς] *et dixit ad eos: Faciat Dominus Deus secundum sermones vestros, et inveniat ancilla vestra gratiam in conspectu Dei* Vet. Lat. ubi supra. Ἐπιτάξατε] συνεταξατε (sic) δη 58. *Præcipite nunc* Vet. Lat. ubi supra. ἀνοῖξαί μοι] ανοιξατε μοι 19. ‸ μοι 58. tr. 249. τῶν λόγων] ‸ των 64. Ald. + μυ 108. ὧν ἐλαλήσατε μετ' ἐμȣ] præmitt. περι 19. καὶ συνέταξαν] και συνεταξεν 23. καθότι—ὕτως in com. seq.] ‸ cum intermed. 44, 106. καθότι ἐλάλησαν] καθοτι ελαλησεν αυτοις 19, 108. καθως ελαλησαν 58. καθοτι ελαλησε 64, 74, 76, 236, 243, 249. Compl. Ald. Alex.

X. Καὶ ἐποίησαν ὕτως] ‸ 71. και εποιησεν υτως 243. καὶ ἐξῆλθεν] και ανοιξαντες την πυλην εξηλθεν 71. αὐτὴ—μετ' αὐτῆς] μετα της παιδισκης αυτης 44, 106. αὐτὴ, καὶ] ‸ αυτη 71. μετ' αὐτῆς] + την πολιν 19, 108. ‸ 58, 71, 74, 76, 236. habet in char. minore Alex. ἀπεσκόπευον δὲ αὐτὴν] και επεσκοπευσαν 58. ‸ δε 74. ἕως ȣ] ‸ ȣ 249. ἕως ȣ—ὄρος] ‸ cum intermed. 106. ἕως διῆλθε] και διηλθε 19, 108, 249. ως δε διηλθοσαν 58. εως ȣ διηλθε 64, 248. Ald. Alex. ‸ 71. καὶ ἕως ȣ διῆλθε Compl. τὸν αὐλῶνα] επι τον πυλωνα 58. ‸ 71. καὶ ὐκ ἔτι] ‸ και 58. ἐθεώρȣν αὐτήν] εθεωρησαν αυτην 58, 64, 243, 248. Compl. Ald. ἐθεωρȣσαν αὐτήν Alex.

XI. Καὶ ἐπορεύοντο] και επορευθη 58. Καὶ ἐπορεύοντο—εὐθεῖαν] ‸ cum intermed. 106. καὶ συνήντησεν αὐτῇ] ‸ αυτῃ 58. και συνηντησεν αυτην 248. Compl. προφυλακὴ] ‸ 23. præmitt. τη 58.

XII. Καὶ συνέλαβον αὐτὴν] και συνελαβοντο αυτην 243, 248. Compl. καὶ συνεβάλλοντο Ald. καὶ ἐπηρώτησαν] + αυτην 19, 52, 108, 243, 248, 249. Compl. Ald. και ηρωτησαν 58. καὶ πȣ πορεύῃ] ‸ 243, 248. Compl. καὶ εἶπε] και ειπεν Ιȣδιθ 19, 108. + αυτοις 58. ‸ 248. δίδοσθαι ὑμῖν] υμιν παραδιδοσθαι 58. tr. 108. εἰς κατάβρωμα] εις καταβρωσιν 249. *in consummationem.* Vet. Lat. ubi supra.

XIII. ἀρχιςρατήγȣ δυνάμεως ὑμῶν] ‸ 71. τȣ ἀναγγεῖλαι] τȣ απαγγειλαι αυτω 44, 71, 76. τȣ απαγγειλαι 64, 74, 108, 243, 248, 249. Compl. Ald. Alex. + αυτω 106. καὶ δείξω] + αυτω 19. και δειξαι 58. και δειξαι αυτω 108. πρὸ προσώπου αὐτȣ] αυτω 44, 106. ‸ 71. καθ' ἣν πορεύσεται] καθ' ἣν πορευεται 19, 108. ‸ πορευσεται 71. καὶ κυριεύσει] ‸ και 71. πάσης τῆς ὀρεινῆς] ‸ πασης 71. καὶ ὐ διαφωνήσει] *et non intercidat* Vet. Lat. ubi supra. καὶ ὐ διαφωνήσει &c. ad fin. com.] ‸ 106. τῶν ἀνδρῶν αὐτȣ] των ανδρων αυτων 19, 108. εκ των ανδρων αυτων 58. των ανδρων αυτης 248.

XIV. Ὡς δὲ ἤκȣσαν] και ως ηκȣσαν 71. τὰ ῥήματα &c. ad

ΚΕΦ. Χ.

15. αὐτῆς, καὶ ἦν ἐναντίον αὐτῶν θαυμάσιον τῷ κάλλει σφόδρα, καὶ εἶπαν πρὸς αὐτὴν, Σέσωκας τὴν
ψυχήν σου, σπεύσασα καταβῆναι εἰς πρόσωπον τοῦ κυρίου ἡμῶν· καὶ νῦν πρόσελθε ἐπὶ τὴν σκη-
16. νὴν αὐτοῦ, καὶ ἀφ᾽ ἡμῶν προπέμψουσί σε ἕως παραδώσουσί σε εἰς τὰς χεῖρας αὐτοῦ. Ἐὰν δὲ στῆς
ἐναντίον αὐτοῦ, μὴ φοβηθῆς τῇ καρδίᾳ σου, ἀλλὰ ἀνάγγειλον κατὰ τὰ ῥήματά σου, καὶ εὖ σε
17. ποιήσει. Καὶ ἐπέλεξαν ἐξ αὐτῶν ἄνδρας ἑκατὸν, καὶ παρέζευξαν αὐτῇ καὶ τῇ ἅβρᾳ αὐτῆς, καὶ
18. ἤγαγον αὐτὰς ἐπὶ τὴν σκηνὴν Ὀλοφέρνου. Καὶ ἐγένετο συνδρομὴ ἐν πάσῃ τῇ παρεμβολῇ· δι-
εβοήθη γὰρ εἰς τὰ σκηνώματα ἡ παρουσία αὐτῆς· καὶ ἐλθόντες ἐκύκλουν αὐτὴν ὡς εἱστήκει ἔξω τῆς
19. σκηνῆς Ὀλοφέρνου, ἕως προσήγγειλαν αὐτῷ περὶ αὐτῆς. Καὶ ἐθαύμαζον ἐπὶ τῷ κάλλει αὐτῆς,
καὶ ἐθαύμαζον τοὺς υἱοὺς Ἰσραὴλ ἀπ᾽ αὐτῆς· καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλήσιον αὐτοῦ, Τίς κατα-
φρονήσει τοῦ λαοῦ τούτου, ὃς ἔχει ἐν ἑαυτῷ γυναῖκας τοιαύτας; ὅτι οὐ καλόν ἐστιν ὑπολείπεσθαι ἐξ
20. αὐτῶν ἄνδρα ἕνα, οἳ ἀφεθέντες δυνήσονται κατασοφίσασθαι πᾶσαν τὴν γῆν. Καὶ ἐξῆλθον οἱ
παρακαθεύδοντες Ὀλοφέρνῃ, καὶ πάντες οἱ θεράποντες αὐτοῦ, καὶ εἰσήγαγον αὐτὴν εἰς τὴν σκη-
21. νήν. Καὶ ἦν Ὀλοφέρνης ἀναπαυόμενος ἐπὶ τῆς κλίνης αὐτοῦ ἐν τῷ κωνωπείῳ, ὃ ἦν ἐκ πορφύρας
22. καὶ χρυσίου καὶ σμαράγδου καὶ λίθων πολυτελῶν καθυφασμένων. Καὶ ἀνήγγειλαν αὐτῷ περὶ αὐ-
23. τῆς, καὶ ἐξῆλθεν εἰς τὸ προσκήνιον, καὶ λαμπάδες ἀργυραῖ προάγουσαι αὐτοῦ. Ὡς δὲ ἦλθε
κατὰ πρόσωπον αὐτοῦ Ἰουδὶθ, καὶ τῶν θεραπόντων αὐτοῦ, ἐθαύμασαν πάντες ἐπὶ τῷ κάλλει τοῦ
προσώπου αὐτῆς· καὶ πεσοῦσα ἐπὶ πρόσωπον προσεκύνησεν αὐτῷ· καὶ ἤγειραν αὐτὴν οἱ δοῦλοι αὐτοῦ.

ΚΕΦ. XI.

1. ΚΑΙ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης, Θάρσησον γύναι, μὴ φοβηθῆς τῇ καρδίᾳ σου, ὅτι ἐγὼ οὐκ
2. ἐκάκωσα ἄνθρωπον ὅστις ᾑρέτικε δουλεύειν βασιλεῖ Ναβουχοδονόσορ πάσης τῆς γῆς. Καὶ νῦν ὁ
λαός σου ὁ κατοικῶν τὴν ὀρεινὴν, εἰ μὴ ἐφαύλισάν με, οὐκ ἂν ἦρα τὸ δόρυ μου ἐπ᾽ αὐτοὺς, ἀλλ᾽ αὐ-

fin. com.] ταυτα, και ειδον αυτην θαυμασιαν σφοδρα και ειπαν 71. καὶ κατενόησαν] ^ και 44, 106. Compl. καὶ ἦν] ^ και 58. ἐναντίον αὐτῶν] ^ 44, 106. θαυμασίον] θαυμαστον 19, 108. θαυμασια 23, 64, 243, 248. Compl. Ald. Alex. ^ 58. θαυμασ. τῷ κάλλει σφόδρα] καλὴ σφόδρα Codex unus Sergii. τῷ κάλλει σφόδρα] εν καλλει σφοδρα 58. τη οψει σφοδρα 249. καὶ εἶπαν πρὸς αὐτὴν] και ειπαν αυτη 19. και ειπον αυτη 44, 106. και ειπον προς αυτην 58, 108, 248. Compl. Ald.

XV. Σέσωκας] εσωσας 58. τὴν ψυχήν σου] + σημερον 23, 44, 55, 71, 74, 76, 106. + εις αγαθον 58. σπεύσασα καταβῆναι] σπευσασα του καταβηναι 58. κατασπευσασα καταβηναι 71. εἰς πρόσωπον] εις το προσωπον 44, 71, 74, 76, 106. καὶ νῦν &c. ad fin. com.] ^ 106. καὶ νῦν &c. ad fin. com. seq.] ^ 71. προπέμψουσί σε] πεμψουσι σε 64. προπέμψ. σε ἕως παραδώσ. σε] *mittemus tecum, quousque tradant te* Vet. Lat. ex MSS. Reg. et Germ. ἕως παραδώσουσί σε] εως παραδωσι σε II. (74. ut videtur.) εως αν παραδωσι σε 19, 108. εως παραδωσειν σε 55. εἰς τὰς χεῖρας] ^ τας 55, 108, 236, 249. Alex.

XVI. ἐναντίον αὐτοῦ] ^ αυτου 58. ενωπιον αυτου 249. τῇ καρδίᾳ σου] præmitt. εν 249. ἀλλὰ ἀνάγγειλον] + αυτω 19, 108. και αναγγειλον αυτω 44. αλλ᾽ απαγγειλον 55. καὶ εὖ σε ποιήσει] και ευθη σε ποιησει III. και ευ σοι ποιησει 44, 106, 248. Compl. και ευ ποιησει σοι 58.

XVII. Καὶ ἐπέλεξαν] + δε 23. επελεξαν δε 44, 71, 74, 76, 106, 236. και επελεξαντο 58. και παρελεξαντο 249. ἐξ αὐτῶν] απ᾽ αυτων 58. καὶ παρέζευξαν] και επεζευξαν 249. καὶ τῇ ἅβρᾳ αὐτῆς] και τη αβρα συν αυτη 58. ἤγαγον αὐτὰς] ^ αυτας 44, 106. ηγαγον αυτην 52, 64, 243, 248. Compl. Ald.

XVIII. διεβοήθη γὰρ] διεπεσε γαρ 58. καὶ ἐλθόντες] και ηλθοσαν 58. καὶ ἐλθόντες—ἀπ᾽ αὐτῆς in com. seq.] ^ cum intermed. 71. ἐκύκλουν αὐτὴν] και εκυκλωσαν αυτην 58. εκυκλουν αυτη 106. ὡς εἱστήκει] εως ειστηκει 55. ὡς εἱστήκει ἔξω] εξω ως ειστηκει 249. ὡς εἱστήκει ἔξω &c. ad fin. com.] ^ 106. τῆς σκηνῆς] επι την σκηνην 249. ἕως προσήγγειλαν] εως αναγγειλωσι 58.

XIX. Καὶ ἐθαύμαζον 1°] και εθαυμασαν 58. Καὶ ἐθαύμαζον 1°—καὶ ἐθαύμαζον 2°] καὶ διηγήσαντο τὸ κάλλος αὐτῆς, καὶ τὸ ἔρχεσθαι ἐν πάσῃ τῇ παρεμβολῇ, καὶ ἐθαύμασαν 8 Codices Sergii. sic, nisi καὶ οἳ ἤκουσαν ἐθαύμασαν, Codex unus Sergii. ἐπὶ τῷ κάλλει αὐτῆς] + και παρεδεχοντο τους λογους αυτης οτι ησαν αγαθοι σφοδρα 58. καὶ ἐθαύμαζον 2°] και εθαυμασαν 58. ^ εθαυμαζον 106. τοὺς υἱοὺς Ἰσραὴλ] præmitt. και 44. ἀπ᾽ αὐτῆς] επ᾽ αυτης 19, 55, 108. Ald. επ᾽ αυτη 44, 74, 76, 106, 236. ^ 243, 248. Compl. καὶ εἶπεν ἕκαστος] και ειπον εκαστος 44, 106, 108, 249. καὶ εἶπαν ἕκαστος Alex. ὃς ἔχει ἐν ἑαυτῷ] ὃς εχει εν αυτω 19, 44, 74. ως εχει εν αυτω 106. γυναῖκας τοιαύτας] tr. 44, 106, 236. ὅτι οὐ &c. ad fin. com.] ^ 58. ὅτι οὐ καλόν ἐστι] ^ ου 44, 71, 106. ὑπολείπεσθαι ἐξ αὐτῶν] εξ αυτων υπολειπεσθαι 44, 106. Alex. υπολιπεσθαι εξ αυτων 64. οἳ ἀφεθέντες] οἱ αφεντες 44, 74, 106. δυνήσονται κατασοφίσασθαι] δυνησονται κατασοφισαι 71.

XX. οἱ παρακαθεύδοντες] παντες οἱ παρεδρευοντες 58. οἱ παρακαθιζοντες 106. Ὀλοφέρνῃ] Ολοφερνου 23. præmitt. τω 44, 74, 106, 236. καὶ πάντες οἱ θεράποντες αὐτοῦ] ^ 106.

XXI. ἐπὶ τῆς κλίνης αὐτοῦ] επι της σκηνης αυτου 19, 23, 44, 71, 74, 76, 106, 108, 236. ἐν τῷ κωνωπείῳ] ἐν τῷ κωνωπίωνι (sic) 76. ὃ ἦν] ὃς ἦν 76. ^ 248. καὶ χρυσίου] ^ 19, 108. ^ και 58, 71, 106. καὶ σμαράγδου] και σμαραγδων 58. ^ και 71, 106. πολυτελῶν καθυφασμένων] πολλων καθυφασμενον 106. πολυτελων οντι καθυφασμενων 248. καθυφασμένων] καθυφασμενον 58, (64, 236. ex corr.) 71. Compl. Ald. καθυφασμενος 76.

XXII. Καὶ ἀνήγγειλαν] και ανηγγειλον 55. περὶ αὐτῆς] περι Ιουδιθ 19, 108. καὶ ἐξῆλθεν] ὁ δε ακουσας εξηλθεν 58. και εξηλθον 106. εἰς τὸ προσκήνιον] εις το προσκυνειον 44, 106. προάγουσαι αὐτοῦ] προαγουσαι αυτον 19. + πολλαι σφοδρα και εισηγαγον αυτην προς αυτον 58.

XXIII. Ὡς δὲ ἦλθε] + Ιουδιθ 19, 108. ως δε εστη 58. ως διηλθε 71. Ἰουδὶθ] ^ 19, 108. καὶ τῶν θεραπόντων αὐτοῦ] ^ 71, 106. ἐθαύμ. πάντες] ἐθαύμ. ἅπαντες Compl. ἐπὶ τῷ κάλλει τοῦ προσ. αὐτῆς] ^ 71.

I. Θάρσησον] θαρση (sic) γυναι 55. θαρσει γυναι 106. μὴ φοβηθῆς] præmitt. και 58. τῇ καρδίᾳ σου] præmitt. εν 23. ὅτι ἐγὼ] ^ εγω 71. οὐκ ἐκάκωσα] ουκ εκακοποιησα 58. ὅστις ᾑρέτικε] οστις ηρετικει 19, 108. οστις ηρετισατο 58. οστις ηρετηκε 106. *cui placuit* Vet. Lat. ubi supra. δουλεύειν] ^ 44. βασιλεῖ &c. ad fin. com.] τω βασιλει πασης της γης Ναβουχοδονοσορ 19, 108. βασιλεῖ Ναβουχοδονόσορ] tr. 58, 248. præmitt. τω 74, 76, 106. Ναβουχοδονόσορ τῷ βασιλεῖ Compl. πάσης τῆς γῆς] præmitt. τω κυριω 44, 74, 76, 106, 236. ^ 71. ὃς κυριεύει πᾶσαν γῆν Codex unus Sergii.

II. Καὶ νῦν] ^ νυν 71. ὁ κατοικῶν] οἱ κατοικουντες 23, 44, 58, 71, 74, 76, 106, 236. εἰ μὴ ἐφαύλισάν με] εἰ μη εφαυλισε με 74, 236. Alex. *nisi fefellisset me* Vet. Lat. ubi supra. οὐκ ἂν ἦρα] ουκ αν επηρα 249. ἀλλ᾽ αὐτοὶ &c. ad fin. com.] ^ 71. ἑαυτοῖς ἐποίησαν] tr. 58.

τοὶ ἑαυτοῖς ἐποίησαν ταῦτα. Καὶ νῦν λέγε μοι, τίνος ἕνεκεν ἀπέδρας ἀπ᾽ αὐτῶν, καὶ ἦλθες πρὸς 3.
ἡμᾶς; ἥκεις γὰρ εἰς σωτηρίαν· θάρσει, ἐν τῇ νυκτὶ ταύτῃ ζήσῃ, καὶ εἰς τὸ λοιπόν. Οὐ γάρ ἐςιν 4.
ὃς ἀδικήσει σε, ἀλλ᾽ εὖ σε ποιήσει, καθὰ γίνεται τοῖς δȣλοις τȣ κυρίȣ μȣ βασιλέως Ναβουχο-
δονόσορ. Καὶ εἶπε πρὸς αὐτὸν Ἰȣδὶθ, Δέξαι τὰ ῥήματα τῆς δȣλης σου, καὶ λαλησάτω ἡ παι- 5.
δίσκη σου κατὰ πρόσωπόν σου, καὶ ȣκ ἀναγγελῶ ψεῦδος τῷ κυρίῳ μου ἐν τῇ νυκτὶ ταύτῃ. Καὶ 6.
ἐὰν κατακολουθήσῃς τοῖς λόγοις τῆς παιδίσκης σου, τελείως πρᾶγμα ποιήσει μετὰ σȣ ὁ Θεὸς,
καὶ ȣκ ἀποπεσεῖται ὁ κύριός μου τῶν ἐπιτηδευμάτων αὐτȣ. Ζῇ γὰρ βασιλεὺς Ναβȣχοδονόσορ 7.
πάσης τῆς γῆς, καὶ ζῇ τὸ κράτος αὐτȣ, ὃς ἀπέςειλέ σε εἰς κατόρθωσιν πάσης ψυχῆς, ὅτι ȣ μό-
νον ἄνθρωποι διὰ σὲ δȣλεύȣσιν αὐτῷ, ἀλλὰ καὶ τὰ θηρία τȣ ἀγρȣ καὶ τὰ κτήνη καὶ τὰ πετεινὰ
τȣ ȣρανȣ διὰ τῆς ἰσχύος σȣ ζήσονται ἐπὶ Ναβȣχοδονόσορ, καὶ πάντα τὸν οἶκον αὐτȣ. Ἠκȣσα- 8.
μεν γὰρ τὴν σοφίαν σου, καὶ τὰ πανȣργεύματα τῆς ψυχῆς σȣ, καὶ ἀνηγγέλη πάσῃ τῇ γῇ, ὅτι
σὺ μόνος ἀγαθὸς ἐν πάσῃ βασιλείᾳ, καὶ δυνατὸς ἐν ἐπιςήμῃ, καὶ θαυμαςὸς ἐν ςρατεύμασι πο-
λέμȣ. Καὶ νῦν ὁ λόγος ὃν ἐλάλησεν Ἀχιὼρ ἐν τῇ συνεδρείᾳ σȣ, ἠκȣσαμεν τὰ ῥήματα αὐτȣ, ὅτι 9.
περιεποιήσαντο αὐτὸν οἱ ἄνδρες Βετυλȣα, καὶ ἀνήγγειλεν αὐτοῖς πάντα ὅσα ἐξελάλησε παρὰ σοί.
Διὸ, δέσποτα κύριε, μὴ παρέλθῃς τὸν λόγον αὐτȣ, ἀλλὰ κατάθου αὐτὸν ἐν τῇ καρδίᾳ σου, ὅτι 10.
ἀληθής ἐςιν· οὐ γὰρ ἐκδικᾶται τὸ γένος ἡμῶν, ȣ κατισχύει ῥομφαία ἐπ᾽ αὐτȣς, ἐὰν μὴ ἁμάρτω-
σιν εἰς τὸν Θεὸν αὐτῶν. Καὶ νῦν ἵνα μὴ γένηται ὁ κύριός μου ἔκβολος καὶ ἄπρακτος, καὶ ἐπιπε- 11.
σεῖται θάνατος ἐπὶ πρόσωπον αὐτῶν, καὶ κατελάβετο αὐτȣς ἁμάρτημα ἐν ᾧ παροργιȣσι τὸν Θεὸν
αὐτῶν, ὁπηνίκα ἂν ποιήσωσιν ἀτοπίαν. Ἐπεὶ γὰρ ἐξέλιπεν αὐτȣς τὰ βρώματα, καὶ ἐσπανίσθη 12.

III. τίνος ἕνεκεν] τινος ενεκα 44. Compl. Ald. Alex. καὶ ἦλθες] και ηκεις 249. ἥκεις γὰρ εἰς σωτηρίαν] εις σωτηριαν γαρ ηκεις 19, 108. εἰς σωτηρίαν] *ad salutem animæ tuæ* Vet. Lat. ex MSS. Reg. et Germ. θάρσει ἐν τῇ νυκτὶ ταύτῃ] ∧ 71. ζήσῃ] ζης 58. præmitt. και 71. καὶ εἰς τὸ λοιπόν] ∧ 71, 106.

IV. Οὐ γάρ ἐςιν] ȣκ εςιν 19. και ȣκ εςιν 108. ἀλλ᾽ εὖ σε ποιήσει] αλλ᾽ εὖ σε ποιησω 19, 71, 74, 76, 108, 236. αλλ᾽ εὖ σοι ποιησω 44, 106. αλλ᾽ εὖ σοι ποιησει 248. Compl. *sed benefaciam tibi* Vet. Lat. ubi supra. καθὰ γίνεται] καθα και 19, 108. καθὰ γίνεται &c. ad fin. com.] ∧ 106. τȣ κυρίȣ μου &c. ad fin. com.] *domini mei.* Vet. Lat. ubi supra. βασιλέως Ναβουχοδονόσορ] ∧ βασιλεως 55, 74, 76. præmitt. τȣ 64. ∧ 71. tr. 248. Ναβουχοδονόσορ τȣ βασιλέως Compl.

V. πρὸς αὐτὸν Ἰȣδὶθ] προς Ολοφερνην Ιȣδιθ 19, 108. ∧ προς αυτον 44, 71, 106. ἡ παιδίσκη σου] ἡ δȣλη σου 23, 55, 74, 76, 236. ∧ 71, 106. καὶ ȣκ &c. ad fin. com.] ∧ 106. καὶ ȣκ ἀναγγελῶ] και οὐ καταγγελω 108. *et non loquetur* Vet. Lat. ubi supra. ἐν τῇ νυκτὶ ταύτῃ] την νυκτα ταυτην 249.

VI. Καὶ ἐὰν—τῆς παιδίσκης σȣ] *Et si secutus fueris verba mea* Vet. Lat. ubi supra. τοῖς λόγοις—ὁ Θεὸς] τοις λογοις μου, τελειωσεις παντα εν ταις χερσι σου ἃ ποιησει ὁ Θεος μετα σου 58. τῆς παιδίσκης σȣ] της δȣλης σȣ 19, 108. τελείως] ∧ 44, 106. τελείως —ὁ Θεὸς] *consummabis omnia in manibus tuis, quæ faciet Deus tecum;* Vet. Lat. ubi supra. πρᾶγμα ποιήσει] πραγματευσεται 19, 108. μετὰ σȣ ὁ Θεὸς] ὁ Θεος μετα σου 249. καὶ οὐκ &c. ad fin. com.] ∧ 71. *et non excedet dominus meus de cogitationibus suis, quoadusque vivet.* Vet. Lat. ubi supra. τῶν ἐπιτηδευμάτων αὐτȣ] + εως ζη 58.

VII. Com. 7. et 8. desunt in Cod. 58. βασιλεὺς Ναβȣχοδονόσορ] tr. 23. βασιλευς ὁ Ναβȣχοδονοσορ ὁ κυριος 44, 106. + ὁ κυριος 71, 74, 76, 236. præmitt. ὁ 248, 249. Compl. Ald. ὁ βασιλεὺς πάσης τῆς γῆς Ναβȣχοδονόσορ Alex. καὶ ζῇ—ψυχῆς] ∧ cum intermed. 106. καὶ ζῇ τὸ κράτος αὐτȣ] ∧ 71. πάσης ψυχῆς] πασης της γης 19, 74, 76, 108, 236. πασης γης 71. πασης της ψυχης 249. διὰ σὲ] διὰ σȣ Compl. δȣλεύȣσιν αὐτῷ] δȣλευσȣσιν αυτω 106, 249. Ald. διὰ τῆς—τῇ γῇ in com. seq.] ∧ cum intermed. 71. διὰ τῆς ἰσχύος &c. ad fin. com.] ∧ 106. ζήσονται] ζησεται 19, 108. ζήσονται &c. ad fin. com.] *sciet Nabuchodonosor, et omnis domus ejus.* Vet. Lat. ubi supra. ἐπὶ Ναβȣχοδ.] ∧ επι 19, 108. καὶ πάντα τὸν οἶκον αὐτȣ] και πας ὁ οικος αυτȣ 19. sic, sine ὁ, 108.

VIII. τὴν σοφίαν σȣ] την σοφιαν αυτȣ 44, 106. καὶ τὰ πανȣργεύματα] και τα πανȣργηματα (II. ex corr.) 55. καὶ πανȣργ. τῆς ψυχῆς σου] *et astutiam tuam;* Vet. Lat. ubi supra. καὶ ἀνηγγέλη] ∧ και 44, 74, 76, 106, 236. ἃ καὶ ἀνηγγέλη Alex. ἐν πάσῃ βασιλείᾳ] εν παση τη βασιλεια 55, 64, 108, 243, 248. Compl. Ald. Alex. καὶ δυνατὸς ἐν ἐπιςήμῃ] ∧ 106. ἐν ἐπιςήμῃ] ∧ εν 19, 108, 249. καὶ θαυμαςὸς] και δυνατος 19, 108. ἐν ςρατεύμασι] ἐν ςρατεύματι Compl.

IX. Καὶ νῦν—Ἀχιὼρ] και νυν Κυριε μȣ ὃν ελαλησε λογον Αχιωρ 58. *Et nunc, domine mi, verbum quod locutus es ad Achior* Vet. Lat. ubi supra. Καὶ νῦν ὁ λόγος] ∧ ὁ II, 55. και νυν λογον 19, 108. ἐν τῇ συνεδρειᾳ σου] ∧ εν 74. ἠκȣσαμεν] + γαρ 44, 74, 76, 106, 236. ἠκȣσ. τὰ ῥήμ. αὐτȣ] *audivimus:* Vet. Lat. ubi supra. ὅτι περιεποιήσαντο &c. ad fin. com.] ∧ 58. ὅτι περιεποιήσαντο αὐτὸν] ∧ οτι 44, 74, 76, 106. και περιεποιησαντο αυτον 71. καὶ ἀνήγγειλεν &c. ad fin. com.] ∧ 71, 106. καὶ ἀνήγγειλεν αὐτοῖς] ∧ αυτοις 55. πάντα ὅσα] + δη 248. ἐξελάλησε παρά σοι] ελαλησε παρα σοι και παντας τους λογȣς σου 19, 108. εξελαλησαν παρα σοι 23. εξελαλησεν αυτος παρα σοι 52, 64, 243. Compl. Ald. ελαλησε παρα σοι 74, 76. ελαλησεν αυτος παρα σοι 248.

X. Διὸ, δέσποτα Κύριε] δη, δεσποτα Κυριε III. ∧ δεσποτα Κυριε 58. ∧ Κυριε 71. μὴ παρέλθῃς] καὶ παρέλθῃς Ald. ἀλλὰ κατάθου αὐτὸν] ∧ αυτον 71. ὅτι ἀληθής ἐςιν] οτι εςιν αληθης II, 19, 44, 58, 71, 106, 108, 236. Alex. οὐ γὰρ ἐκδικᾶται] οὐ γαρ εκδικειται 19, 76, 236, 248, 249. Compl. ȣ γαρ εκδαπαναται 52. ȣδε γαρ εκδικαται 106. ȣ γαρ εκδικηται 108. τὸ γένος ἡμῶν] το εθνος ημων 52. ȣ κατισχύει] ὃς κατισχυει III. ȣδε κατισχυεται το γενος ημων, ȣδε κατισχυει 19. ȣ γαρ ισχυει 52, 64. Compl. Ald. οὐ γαρ κατισχυει 58. ȣδε κατισχυει 71, 74, 76, 108. ȣ κατισχύει ῥομφαία] ȣδε ρομφαια κατισχυει 44, 106. ȣ γαρ ισχυει 248. ἐπ᾽ αὐτȣς] το γενος ημων 58. ἐὰν μὴ ἁμάρτωσιν] εἰ μη αμαρτωσιν 64, 243, 248. Compl. Ald. εἰς τὸν Θεὸν αὐτῶν] προς τον Θεον αυτων 19. ∧ τον 58.

XI. Καὶ νῦν—ἄπρακτος] *Et nunc ne fiat dominus meus frustratus ante faciem illorum in actu suo:* Vet. Lat. ubi supra. ἔκβολος καὶ ἄπρακτος] ∧ εκβολος και 44, 71, 106. καὶ ἐπιπεσεῖται θάνατος] γνωθι οτι επιπεσειται θανατος 19, 108. ∧ και 23. επεσεν ὁ θανατος 58. και επεπεσε θανατος 248. Compl. ἐπὶ πρόσωπον αὐτῶν] επι προσωπȣ αυτων III. προ προσωπȣ αυτων 58. καὶ κατελάβετο αὐτȣς] κατελαβε γαρ αυτȣς 44, 71, 74, 76, 106, 236. καὶ καταλάβοι αὐτȣς Alex. ἁμάρτημα] + μεγα 58. ἐν ᾧ παροργιȣσι] εν ᾧ παροργισȣσι 249. τὸν Θεὸν αὐτῶν] + μεγαλως 19, 108. ὁπηνίκα &c. ad fin. com.] *mox enim ut fecerint illud, erunt tibi in consummationem.* Vet. Lat. ubi supra. ὁπηνίκα ἂν] ηνικα αν 58. οπηνικα εαν 64, 108, 248. Compl. Ald. Alex. ποιήσωσιν ἀτοπίαν] ποιησωσιν αυτο 58. ποιησȣσιν ατοπιαν 106.

XII. Ἐπεὶ γὰρ ἐξέλιπεν αὐτȣς] επει παρεξελειπεν αυτȣς III, 236. επει παρεξελιπεν αυτοις 19. Compl. sic, nisi αυτȣς, 44, 52, 55, 64, 71, 74, 76, 106, 108, 243, 248, 249. Ald. τὰ βρώματα] + αυτων 23,

ΚΕΦ. XI.

πᾶν ὕδωρ, ἐβελεύσαντο ἐπιβαλεῖν τοῖς κτήνεσιν αὐτῶν, καὶ πάντα ὅσα διεςείλατο αὐτοῖς ὁ Θεὸς
13. ἐν τοῖς νόμοις αὐτȣ̃ μὴ φαγεῖν, διέγνωσαν δαπανῆσαι. Καὶ τὰς ἀπαρχὰς τȣ̃ σίτȣ, καὶ τὰς δεκά-
τας τȣ̃ οἴνȣ καὶ τȣ̃ ἐλαίȣ, ἃ διεφύλαξαν ἁγιάσαντες τοῖς ἱερεῦσι τοῖς παρεςηκόσιν ἐν Ἱερȣσα-
λὴμ ἀπέναντι τȣ̃ προσώπου τȣ̃ Θεȣ̃ ἡμῶν, κεκρίκασιν ἐξαναλῶσαι, ὧν ȣ̓δὲ ταῖς χερσὶ καθῆκεν
14. ἅψασθαι ȣ̓δένα τῶν ἐκ τȣ̃ λαȣ̃. Καὶ ἀπεςάλκασιν εἰς Ἱερȣσαλὴμ, ὅτι καὶ οἱ ἐκεῖ κατοικȣ̃ντες
15. ἐποίησαν ταῦτα, τȣ̀ς μετοικίσαντας αὐτοῖς τὴν ἄφεσιν παρὰ τῆς γερȣσίας. Καὶ ἔςαι ὡς ἂν ἀναγ-
16. γείλῃ αὐτοῖς καὶ ποιήσωσι, δοθήσονταί σοι εἰς ὄλεθρον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Ὅθεν ἐγὼ ἡ δȣ́λη
σου ἐπιγνȣ̃σα ταῦτα πάντα, ἀπέδρων ἀπὸ προσώπου αὐτῶν· καὶ ἀπέςειλέ με ὁ Θεὸς ποιῆσαι
17. μετὰ σȣ̃ πράγματα, ἐφ᾽ οἷς ἐκςήσεται πᾶσα ἡ γῆ ὅσοι ἐὰν ἀκȣ́σωσιν αὐτά. Ὅτι ἡ δούλη σου
θεοσεβής ἐςι, καὶ θεραπεύȣσα νυκτὸς καὶ ἡμέρας τὸν Θεὸν τȣ̃ ȣ̓ρανȣ̃· καὶ νῦν μενῶ παρὰ σοὶ
κύριέ μου, καὶ ἐξελεύσεται ἡ δȣ́λη σου κατὰ νύκτα εἰς τὴν φάραγγα, καὶ προσεύξομαι πρὸς τὸν
18. Θεόν· καὶ ἐρεῖ μοι πότε ἐποίησαν τὰ ἁμαρτήματα αὐτῶν· Καὶ ἐλθȣ̃σα προσανοίσω σοι· ἐξε-
19. λεύσῃ σὺν πάσῃ τῇ δυνάμει σȣ, καὶ ȣ̓κ ἔςιν ὃς ἀντιςήσεταί σοι ἐξ αὐτῶν. Καὶ ἄξω σε διὰ μέ-
σου τῆς Ἰȣδαίας, ἕως τȣ̃ ἐλθεῖν ἀπέναντι Ἱερȣσαλήμ· καὶ θήσω τὸν δίφρον σου ἐν μέσῳ αὐτῆς,
καὶ ἄξεις αὐτȣ̀ς ὡς πρόβατα οἷς οὐκ ἔςι ποιμήν· καὶ οὐ γρύξει κύων τῇ γλώσσῃ αὐτȣ̃ ἀπέναντί
σȣ· ὅτι ταῦτα ἐλαλήθη μοι κατὰ πρόγνωσίν μου, καὶ ἀπηγγέλη μοι, καὶ ἀπεςάλην ἀναγγεῖλαί
20. σοι. Καὶ ἤρεσαν οἱ λόγοι αὐτῆς ἐναντίον Ὀλοφέρνȣ, καὶ ἐναντίον πάντων τῶν θεραπόντων αὐ-
21. τȣ̃, καὶ ἐθαύμασαν ἐπὶ τῇ σοφίᾳ αὐτῆς, καὶ εἶπαν, Οὐκ ἔςι τοιαύτη γυνὴ ἀπ᾽ ἄκρου ἕως ἄκρου
22. τῆς γῆς, καλῷ προσώπῳ καὶ συνέσει λόγων. Καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης, Εὖ ἐποίησεν ὁ
Θεὸς ἀποςείλας σε ἔμπροσθεν τȣ̃ λαȣ̃, τȣ̃ γενηθῆναι ἐν χερσὶν ἡμῶν κράτος· ἐν δὲ τοῖς φαυλί-

44, 52, 64, 74, 76, 236. Compl. Ald. Alex. τα αρωματα 71, 106. καὶ ἐσπανίσθη] + απ᾽ αυτων 58. και εσπανισθησαν 249. πᾶν ὕδωρ] το υδωρ 71. ∧ παν 249. ἐβελεύσαντο] ∧ 108. præmitt. και 248. Compl. præmitt. ὃ 249. ἐπιβαλεῖν] *injicere manus* Vet. Lat. ex MSS. Reg. et Germ. ὅσα διεςείλατο αὐτοῖς] οσα διεςειλεν αυτοις 58. ∧ αυτοις 71. ἐν τοῖς νόμοις αὐτȣ̃] ∧ εν II. απο τȣ νομου αυτων 249. ἐν τοῖς νόμοις αὐτȣ̃ μὴ φαγεῖν] μη φαγειν τοις νομοις αυτȣ 58. μὴ φαγεῖν] + αυτȣς 44, 71, 74, 76, 106. δαπανῆσαι] ποιησαι 71.

XIII. Com. 13. 14. et 15. desunt in Cod. 58. Καὶ τὰς ἀπαρχὰς] ∧ τας 71. Καὶ τὰς ἀπαρχὰς—τȣ̃ ἐλαίȣ] *Initia frumenti, et vini, et olei* Vet. Lat. ubi supra. τȣ̃ σίτȣ] ∧ τȣ 71. καὶ τὰς δεκάτας] και τας δεκτας 23. ∧ τας 71. τȣ̃ οἴνȣ] ∧ τȣ 71. καὶ τȣ̃ ἐλαίου] ∧ τȣ 71. ἃ διεφύλαξαν] ἃ εφυλαξαν 243, 248. Compl. ἃ διεφυλαξαντο 249. habet ἃ in charact. minore Alex. ἃ διεφύλαξαν—Θεȣ̃ ἡμῶν] ponit statim post αψασθαι 71. ἁγιάσαντες] αγιασαι 71, 74, 76, 106, 236. ἐν Ἱερȣσαλὴμ] ∧ εν 108. τȣ̃ Θεȣ̃ ἡμῶν] τȣ Κυριου ημων 71. ἐξαναλῶσαι] αναλωσαι 76. καθῆκεν ἅψασθαι] καθηκει αψασθαι 64. καθηκεν ψαυσασθαι 74, 76. ȣ̓δένα τῶν ἐκ τȣ̃ λαȣ̃] ∧ 71. υδατων τȣ λαȣ 249. τῶν ἐκ τȣ̃ λαȣ̃] εκ των τȣ λαȣ 64. ∧ των 106.

XIV. Καὶ ἀπεςάλκασιν] και απεςαλησαν 236. ἐκεῖ κατοικȣ̃ντες] ∧ εκει 55. τȣ̀ς μετοικίσαντας &c. ad fin. com.] *qui transtulerunt in relationem senioribus.* Vet. Lat. ubi supra. ἐποίησαν ταῦτα] εποιησαν ȣτως 249. τȣ̀ς μετοικίσαντας αὐτοῖς] τοις μετοικησασιν αυτȣς 19, 108. τȣς μετακομισαντας αυτοις 23, 52, 71, 74, 106, 243. τȣς κατακομησαντας αυτȣς 55. τους μετακομισοντας αυτοις 64, 76, 236. Ald. τοις μετακομισασιν αυτȣς 248. τον μετακομισαντα αυτοις 249. τοῖς μετακομίσασιν αὐτοῖς Compl. τὴν ἄφεσιν] præmitt. λαβοντες 19, (23. scr. εφεσιν.) 108.

XV. Καὶ ἔςαι] και εσονται 52, 64, 243, 248, 249. Compl. Ald. ὡς ἂν] ∧ αν 55. ως εαν 108. Alex. ὡς ἂν ἀναγγείλῃ αὐτοῖς] ως αν απαγγειλη αυτοις 44, 106. εως αναγγελει αυτοις 52, 64, 249. Ald. εως αναγγειλη αυτοις 243, 248. Compl. καὶ ποιήσωσι] και ποιησȣσι 52, 64, 248. Compl. Ald. δοθήσονταί σοι] ∧ σοι 44, 55, 71, 74, 76, 106, 236. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ] ∧ εν 44, 71, 74, 76, 106, 236.

XVI. ἐπιγνȣ̃σα ταῦτα πάντα] ∧ 71. πράγματα] πραγμα 58, 243, 248. Compl. Ald. ἐφ᾽ οἷς ἐκςήσεται] εφ᾽ οἷς εκςησονται 23. εφ᾽ ᾧ εκςησεται 58. ὅσοι ἐὰν] οἵ τινες εαν 58. οσοι αν 64, 74, 236, 248, 249. Compl. Ald. ὅσοι ἐὰν &c. ad fin. com.] ∧ 106. ἐὰν ἀκȣ́σωσιν αὐτά] εαν ακȣσωσιν ταυτα 23.

XVII. καὶ θεραπεύȣσα] ∧ και 58. νυκτὸς καὶ ἡμέρας] ημερας και νυκτος 19, 44, 106, 108, 236. τȣ̃ ȣ̓ρανȣ̃] ∧ 71. καὶ νῦν μενῶ] και νυν μένω 55. παρὰ σοὶ] παρα σȣ 74. κύριέ μȣ] ∧ μȣ 58. καὶ ἐρεῖ μοι] και αναγγελει μοι 19, 52, 58, 64, 108, 243, 248, 249. Compl. Ald. Alex. πότε ἐποίησαν] ποτε ποιησȣσι 19, 108. ποτε ποιησει 58. τι εποιησαν 249. πότε ἐποίησαν &c. ad fin. com.] ποτε τα αμαρτηματα αυτων εποιησαν 71. ὅταν ἁμάρτωσιν αὐτῷ 3 Codices Sergii. τὰ ἁμαρτήματα αὐτῶν] το αμαρτημα αυτων 58.

XVIII. Καὶ ἐλθȣ̃σα] και εξελθȣσα 249. προσανοίσω σοι] + αυτο 58. προσανοισωσι 106. ἐξελεύσῃ] præmitt. και 23, 44, 55, 58, 71, 74, 76, 106, 108, 243, 249. Compl. Alex. σὺν πάσῃ] εν πασῃ 19. ∧ πασῃ 71. σὺν πάσῃ τῇ δυν.] εν τῃ δυν. 58. τῇ δυνάμει σȣ] ∧ τῃ 248, 249. Compl. Ald. ὃς ἀντιςήσεται] ὃς ἀντιςήσηται Compl. ἐξ αὐτῶν] ∧ 71.

XIX. Καὶ ἄξω σε] + εις αυτȣς 44. και εξοισω σε 52. διὰ μέσȣ] δια μεσης 58. τῆς Ἰȣδαίας] της Ιδȣμαιας 71. ἕως τȣ̃ ἐλθεῖν] + σε 19. + με 58. τȣ̃ ἐλθεῖν ἀπέναντι] ∧ 44, 71, 106. ἀπέναντι Ἱερ.] απεναντιον Ιερ. 249. καὶ θήσω] και θησεις 19, 108. τὸν δίφρον σου] τον θρονον σου 23, 44, 74, 76, 106, 236. ∧ σου 58. τῇ γλώσσῃ αὐτȣ̃] ∧ αυτȣ 58. ἀπενάντι σȣ] απεναντιον σȣ 44. ὅτι ταῦτα] ∧ οτι 23, 71, 74, 76, 236. οτι μοι ταυτα 64, 248, 249. Compl. Ald. Alex. ὅτι ταῦτα &c. ad fin. com.] ∧ 106. ἐλαλήθη μοι] εμηνυθη μοι 58. ∧ μοι 64, 243, 248, 249. Compl. Ald. κατὰ πρόγνωσίν μου] ∧ μου 19, 108. ∧ 71. καὶ ἀπηγγέλη &c. ad fin. com.] και ηλθον τȣ αναγγειλαι σοι 58. καὶ ἀπηγγέλη μοι] και ανηγγελη μοι 64. Compl. Ald. Alex. ∧ 71, 108. και αναγγελοι μοι (ut videtur) 248. ἀναγγεῖλαί σοι] απαγγειλαι σοι 71, 74, 108, 243. Compl.

XX. οἱ λόγοι αὐτῆς] οἱ λογοι Ιȣδιθ 19, 108. ἐναντίον Ὀλοφέρνου] ενωπιον Ολοφερνου 58. καὶ ἐναντίον—αὐτȣ̃] συν τοις θεραπȣσιν αυτȣ 71. ἐναντίον πάντων] ∧ 44, 58, 106. ∧ παντων 74, 76, 236. τῶν θεραπόντων αὐτȣ̃] præmitt. και 44. καὶ ἐθαύμασαν—αὐτῆς 2°] ∧ cum intermed. 71. ἐπὶ τῇ σοφίᾳ αὐτῆς] επι τω καλλει, και τῃ σοφια αυτης 58. καὶ εἶπαν] και ειπον 19, 44, 106, 108. Compl. Ald. + εν πασῃ τῃ γῃ 23.

XXI. ἀπ᾽ ἄκρȣ] + γης 44, 106. + της γης 74, 76. ἀπ᾽ ἄκρȣ—γῆς] *a cacumine montium usque ad summum terræ* Vet. Lat. ubi supra. ἀπ᾽ ἄκρȣ ἕως ἄκρȣ] ∧ 55. ἕως ἄκρȣ] ∧ 71. Ald. τῆς γῆς] ∧ 44, 106. ∧ της 71. καλῷ προσώπῳ] εν καλλει προσωπȣ 19, 44, 52, 58, 64, 71, 74, 76, 106, 108, 236, 243, 248, 249. Compl. Ald. præmitt. εν 23. Alex. καὶ συνέσει λόγων] και συνεσει λογου 19, 71, 74, 76.

XXII. Καὶ εἶπε πρὸς αὐτὴν] και ειπεν αυτῃ 19, 44, 58, 106, 108. Εὖ ἐποίησε] ἃ εποιησε 19. ∧ εὖ Ald. ἀποςείλας σε] αποςειλας σοι 236. ἔμπροσθεν τȣ̃ λαȣ̃] + σȣ 58. τȣ̃ γενηθῆναι] τȣ γενεσθαι 19,

ΚΕΦ. XI.

σασι τὸν κύριόν μου, ἀπώλειαν. Καὶ νῦν ἀστεία εἶ σὺ ἐν τῷ εἴδει σου, καὶ ἀγαθὴ ἐν τοῖς λόγοις 22.
σου· ὅτι ἐὰν ποιήσῃς καθὰ ἐλάλησας, ὁ Θεός σου ἔσται μου Θεὸς, καὶ σὺ ἐν οἴκῳ βασιλέως Ναβου-
χοδονόσορ καθήσῃ, καὶ ἔσῃ ὀνομαστὴ παρὰ πᾶσαν τὴν γῆν.

ΚΕΦ. XII.

ΚΑΙ ἐκέλευσεν εἰσαγαγεῖν αὐτὴν οὗ ἐτίθετο τὰ ἀργυρώματα, καὶ αὐτοῦ συνέταξε καταστρῶσαι 1.
αὐτῇ ἀπὸ τῶν ὀψοποιημάτων αὐτοῦ, καὶ τοῦ οἴνου αὐτοῦ πίνειν. Καὶ εἶπεν Ἰουδὶθ, Οὐ φάγομαι ἐξ 2.
αὐτῶν, ἵνα μὴ γένηται σκάνδαλον, ἀλλ' ἐκ τῶν ἠκολουθηκότων μοι χορηγηθήσεται. Καὶ εἶπε 3.
πρὸς αὐτὴν Ὀλοφέρνης, Ἐὰν δὲ ἐκλίπῃ τὰ ὄντα μετὰ σοῦ, πόθεν ἐξοίσομέν σοι δοῦναι ὅμοια αὐ-
τοῖς; οὐ γάρ ἐστι μεθ' ἡμῶν ἐκ τοῦ ἔθνους σου. Καὶ εἶπεν Ἰουδὶθ πρὸς αὐτὸν, Ζῇ ἡ ψυχή σου κύ- 4.
ριέ μου, ὅτι οὐ δαπανήσει ἡ δούλη σου τὰ ὄντα μετ' ἐμοῦ, ἕως ἂν ποιήσῃ Κύριος ἐν χειρί μου ἃ ἐβου-
λεύσατο. Καὶ ἠγάγοσαν αὐτὴν οἱ θεράποντες Ὀλοφέρνου εἰς τὴν σκηνὴν, καὶ ὕπνωσε μέχρι με- 5.
σούσης τῆς νυκτός· καὶ ἀνέστη πρὸς τὴν ἑωθινὴν φυλακὴν, Καὶ ἀπέστειλε πρὸς Ὀλοφέρνην, λέγου- 6.
σα, Ἐπιταξάτω δὴ ὁ κύριός μου, ἐᾶσαι τὴν δούλην σου ἐπὶ προσευχὴν ἐξελθεῖν. Καὶ προσέταξεν 7.
Ὀλοφέρνης τοῖς σωματοφύλαξι μὴ διακωλύειν αὐτήν· καὶ παρέμεινεν ἐν τῇ παρεμβολῇ ἡμέρας
τρεῖς, καὶ ἐξεπορεύετο κατὰ νύκτα εἰς τὴν φάραγγα Βετυλούα, καὶ ἐβαπτίζετο ἐν τῇ παρεμβολῇ
ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος. Καὶ ὡς ἀνέβη, ἐδέετο τοῦ Κυρίου Θεοῦ Ἰσραὴλ κατευθῦναι τὴν ὁδὸν αὐ- 8.
τῆς εἰς ἀνάστεμα τῶν υἱῶν τοῦ λαοῦ αὐτοῦ. Καὶ εἰσπορευομένη καθαρὰ παρέμενε τῇ σκηνῇ, μέχρις 9.
οὗ προσηνέγκατο τὴν τροφὴν αὐτῆς πρὸς ἑσπέραν. Καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τετάρτῃ, ἐποί- 10.
ησεν Ὀλοφέρνης πότον τοῖς δούλοις αὐτοῦ μόνοις, καὶ οὐκ ἐκάλεσεν εἰς τὴν χρῆσιν οὐδένα τῶν πρὸς

108. ἐν χερσὶν ἡμῶν κράτος] κρατος εν χερσιν ημων 19, 108. εν ημιν κρατος 58. ἐν δὲ τοῖς &c. ad fin. com.] ∧ 71, 106. *in illis autem qui nos spreverunt, perditio; quia abominati sunt me, et dominum meum Nabuchodonosor.* Vet. Lat. ex MSS. Reg. et Germ. ἀπώλειαν] απωλεια III. præmitt. εις 19.

XXIII. Καὶ νῦν—εἴδει σου] ∧ cum intermed. 71. Καὶ νῦν ἀστεία εἶ σὺ] και νυν συ αστεια 58. εἶ σὺ] tr. 249. ἐν τῷ εἴδει σου] ∧ εν 58. καὶ ἀγαθὴ] και νυν συ αγαθη 71. ὅτι ἐὰν ποιήσῃς] οτι εαν ποιηση II, 108. οτι εαν ποιησει 19, 23. οτι εαν ποιησεις 106. καθὰ ἐλάλησας ὁ Θεός σου] ὁ Θεος σου καθα ελαλησας 19, 108. ἔσται μου Θεὸς] εσται μοι Θεος 249. Compl. Ald. ἐν οἴκῳ βασιλ. Ναβουχ.] *in domo regis* Vet. Lat. ubi supra. βασιλέως Ναβουχοδονόσορ] tr. II. ∧ βασιλεως 44, 71, 74, 76, 106, 236. ∧ Ναβουχοδονοσορ 58. Ναβουχοδονοσορ του βασιλεως 108. καθήσῃ] ∧ 71. καθησεις 74. καθισεις 76. καὶ ἔσῃ ὀνομαστὴ] ∧ και 71. καὶ εση ονομασι 106. præmitt. και εσται ονομαστον το ονομα σου 249. παρὰ πᾶσαν τὴν γῆν] ∧ την 44. και μεγαλη 71. παρὰ πάσας τὰς γυναῖκας Codex unus Sergii.

I. Καὶ ἐκέλευσεν] και εκαλεσεν 52. οὗ ἐτίθετο] οὗ απεθετο 19, 108. τὰ ἀργυρώματα] + αυτου 55. το αργυρωμα 58, 249. ∧ τα 108. καὶ αὐτοῦ] αυτου, και II, 19, 44, 52, 58, 64, 71, 74, 76, 106, 108, 236, 243, 248, 249. Compl. Ald. Alex. καὶ αὐτοῦ—ὀψοποιημ. αὐτοῦ] *et præcepit sterni ei, et dare illi ex obsoniis suis* Vet. Lat. ubi supra. συνέταξε] ∧ 71. καταστρῶσαι αὐτῇ] καταστρωσαι αυτην III. + και δουναι αυτη 19, 108. καταστρωθηναι αυτη 23, 44, 52, 55, 64, 71, (74. ut videtur) 76, 106, 236, 243, 248, 249. Compl. Ald. ἀπὸ τῶν ὀψοποιημάτων] απο των οψων 71. καὶ τοῦ οἴνου αὐτοῦ] και απο του οινου αυτου (44. ut videtur) 74, 76, 106, 236. και οινου 71. καὶ τὸν οἶνον αὐτοῦ Ald. πίνειν] πιειν 58, 76, 108, 243, 249. Compl. Ald. Alex.

II. Καὶ εἶπεν Ἰουδὶθ] ∧ Ιουδιθ 19. *Et dixit illi Judith:* Vet. Lat. ubi supra. Οὐ φάγομαι] οὐ φάγωμαι Compl. ἐξ αὐτῶν] απ' αυτων 58. ἵνα μὴ γένηται] + μοι 23, 55, 71, 74, 76, 106, 108, 236. σκάνδαλον] præmitt. εις 23. ἀλλ' ἐκ τῶν &c. ad fin. com.] *sed de his, quæ mecum sunt, manducabo.* Vet. Lat. ubi supra. μοι χορηγηθήσεται] χορηγει μοι 58. tr. 108. χορηγηθήσεται] χορηγηθησομαι 23, 44, 71, 74, 76, 236, 249.

III. Καὶ εἶπε πρὸς αὐτὴν] ∧ προς αυτην 44, 71. ειπε δε 106. Ἐὰν δὲ ἐκλίπῃ] εαν δε εκλειπη 44, 74, 106. habet δὲ in charact. min. Alex. τὰ ὄντα μετὰ σοῦ] τα μετα σου οντα II. πόθεν ἐξοίσομεν] ποθεν εξομεν 19, 23, 52, 58, 64, 243, 248, 249. Compl. Ald. Alex. πόθεν ἐξοίσομεν—αὐτοῖς] *unde habemus dare tibi similia eorum?* Vet. Lat. ubi supra. σοι δοῦναι] tr. 249. ὅμοια &c. ad fin. com.] ∧ 71. ὅμοια αὐτοῖς] ομοια αυτων 64, 243, 248. Compl. Ald. præmitt. τα 74, 76, 108. Alex. οὐ γάρ ἐστι] + ανθρωπος 58. ἐκ τοῦ ἔθνους σου] εκ του γενους σου 19, 44, 55, 64, 74, 76, 106, 108, 236, 243, 248, 249. Compl. Ald. Alex. εκ του λαου σου 58.

IV. πρὸς αὐτὸν] ∧ 44, 58, 71, 106. Ζῇ ἡ ψυχή σου] ∧ 58. ὅτι οὐ δαπανήσει] ∧ οτι 58. οτι ου δαπανησω 249. μετ' ἐμοῦ] μετ' αυτης 58. ἕως ἂν] ∧ αν 58. ποιήσῃ Κύριος] ∧ Κυριος II, 55. ποιησει ὁ Θεος 19, 106. ποιησει Κυριος ὁ Θεος 23. ποιηση ὁ Θεος 44, 71, 74, 76, 108, 236. ἃ ἐβουλεύσατο] *quæ cogitavi.* Vet. Lat. ubi supra. ἃ καὶ ἐλάλησε Θεός. Codex unus Sergii.

V. Καὶ ἠγάγοσαν αὐτὴν] και ηγαγον αυτην 19, 58. Compl. Καὶ ἠγάγ. αὐτὴν οἱ θεράπ. Ὀλοφ.] ∧ 71. Ὀλοφέρνου] αυτου 58. εἰς τὴν σκηνὴν] præmitt. και απηλθεν 71. καὶ ὕπνωσε] και υπνωσαν 19, 108. τῆς νυκτός] ∧ της 44, 58, 71. Alex. καὶ ἀνέστη] + Ιουδιθ 108. πρὸς τὴν ἑωθινὴν φυλακὴν] περι την εωθινην φυλακην III. *ante lucem* Vet. Lat. ubi supra.

VI. Ἐπιταξάτω δὴ] ∧ δη 44, 71, 106. τὴν δούλην σου] με 71. ἐπὶ προσευχὴν ἐξελθεῖν] εξελθειν επι προσευχην 19, 108. Alex. επι την προσευχην 58.

VII. Καὶ προσέταξεν Ὀλοφέρνης] ∧ Ολοφερνης 44, 71, 106. και επεταξεν Ολοφερνης 64, 248. Compl. Ald. τοῖς σωματοφύλαξι] *cubiculariis suis.* Vet. Lat. ubi supra. καὶ παρέμεινεν] και περιεμεινεν 58. + Ιουδιθ 108. ἐν τῇ παρεμβολῇ 1°] ∧ 71. καὶ ἐξεπορεύετο] και επορευετο 44, 106. κατὰ νύκτα] την νυκτα 19, 23, 44, 55, 71, 74, 76, 106, 108, 236. Βετυλούα] Βατυλωα 58. καὶ ἐβαπτ. ἐν τῇ &c. ad fin. com.] *et baptizabat se in fonte aquæ.* Vet. Lat. ubi supra. ἐν τῇ παρεμβολῇ 2°] ∧ 58. ponit post υδατος 64, 243, 248. Compl. Ald. ἐπὶ τῆς πηγῆς] επι την πηγην 19. εν τη πηγη 58. τοῦ ὕδατος] ἐπὶ τοῦ ὕδατος Ald.

VIII. Καὶ ὡς ἀνέβη] και εως ανεβη III. και ανεβαινεν 58. ἐδέετο] εδεειτο 58. τοῦ Κυρίου] ∧ του 44, 74, 76, 106, 108, 236. Alex. Θεοῦ Ἰσραὴλ] præmitt. του 44, 71, 76, 108. εἰς ἀνάστεμα &c. ad fin. com.] ∧ 71. *in liberationem populi sui Israel.* Vet. Lat. ubi supra. τοῦ λαοῦ αὐτοῦ] ∧ 19. του λαου αυτης 23, 52, 55, 58, 74, 76, 106, 243, 249. Compl. Ald.

IX. Deest comma integr. 106. καθαρὰ παρέμενεν] καθα παρεμενεν III. καθαρα παρεμεινεν 55. διεμενε καθαρα 249. τῇ σκηνῇ] præmitt. εν 19, 23, 52, 58, 71, 108, 236, 248. Compl. Ald. Alex. μέχρις οὗ] μεχρι 71. προσηνέγκατο] προσεφερετο 19, 108. τὴν τροφὴν αὐτῆς] την τρυφην αυτης III. την στολην αυτης 23. ∧ αυτης 58. πρὸς ἑσπέραν] εσπερα 58. εις εσπεραν 64. Compl. Ald.

X. Καὶ ἐγένετο] ∧ εγενετο 44, 71, 106. ἐν τῇ ἡμέρᾳ] ∧ εν 55. πότον] συμπόσιον περιούσιον (*convivium peculiare*) Codex unus Sergii. καὶ οὐκ ἐκάλεσεν] και ουδενα εκαλεσεν 58. καὶ οὐκ ἐκάλεσεν &c. ad fin. com.] *et neminem vocavit ad cœnam de necessariis.* Vet. Lat. ubi

ΚΕΦ. XII.

11. ταῖς χρείαις. Καὶ εἶπε Βαγώᾳ τῷ εὐνούχῳ, ὃς ἦν ἐφεςηκὼς ἐπὶ πάντων τῶν αὐτοῦ, Πεῖσον δὴ πο-
ρευθεὶς τὴν γυναῖκα τὴν Ἑβραίαν ἥ ἐςι παρὰ σοὶ, τοῦ ἐλθεῖν πρὸς ἡμᾶς, καὶ φαγεῖν καὶ πιεῖν
12. μεθ' ἡμῶν. Ἰδοὺ γὰρ αἰσχρὸν τῷ προσώπῳ ἡμῶν, εἰ γυναῖκα τοιαύτην παρήσομεν οὐχ ὁμιλήσαντες
13. αὐτῇ, ὅτι ἐὰν ταύτην μὴ ἐπισπασώμεθα, καταγελάσεται ἡμῶν. Καὶ ἐξῆλθε Βαγώας ἀπὸ προσ-
ώπου Ὀλοφέρνου, καὶ εἰσῆλθε πρὸς αὐτὴν, καὶ εἶπε, Μὴ ὀκνησάτω δὴ ἡ παιδίσκη ἡ καλὴ αὕτη
ἐλθοῦσα πρὸς τὸν κύριόν μου δοξασθῆναι κατὰ πρόσωπον αὐτοῦ, καὶ πίεσαι μεθ' ἡμῶν εἰς εὐφρο-
σύνην οἶνον, καὶ γενηθῆναι ἐν τῇ ἡμέρᾳ ταύτῃ ὡς θυγάτηρ μία τῶν υἱῶν Ἀσσοὺρ, αἳ παρεςήκασιν
14. ἐν οἴκῳ Ναβουχοδονόσορ. Καὶ εἶπε πρὸς αὐτὸν Ἰουδὶθ, Καὶ τίς εἰμι ἐγὼ ἀντεροῦσα τῷ κυρίῳ μου;
ὅτι πᾶν ὃ ἔςαι ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ἀρεςὸν, σπεύσασα ποιήσω, καὶ ἔςαι τοῦτο ἀγαλλίαμα
15. ἕως ἡμέρας θανάτου μου. Καὶ διαναςᾶσα ἐκοσμήθη τῷ ἱματισμῷ καὶ παντὶ τῷ κόσμῳ τῷ γυναι-
κείῳ· καὶ προσῆλθεν ἡ δούλη αὐτῆς, καὶ ἔςρωσεν αὐτῇ κατέναντι Ὀλοφέρνου χαμαὶ τὰ κώδια, ἃ
ἔλαβε παρὰ Βαγώου εἰς τὴν καθημερινὴν δίαιταν αὐτῆς, εἰς τὸ ἐσθίειν κατακλινομένην ἐπ' αὐτῶν.
16. Καὶ εἰσελθοῦσα ἀνέπεσεν Ἰουδὶθ, καὶ ἐξέςη ἡ καρδία Ὀλοφέρνου ἐπ' αὐτὴν, καὶ ἐσαλεύθη ἡ ψυχὴ
αὐτοῦ· καὶ ἦν κατεπίθυμος σφόδρα τοῦ συγγενέσθαι μετ' αὐτῆς· καὶ ἐτήρει καιρὸν τοῦ ἀπατῆσαι
17. αὐτὴν, ἀφ' ἧς ἡμέρας εἶδεν αὐτήν. Καὶ εἶπε πρὸς αὐτὴν Ὀλοφέρνης, Πίε δὴ, καὶ γενήθητι μεθ'
18. ἡμῶν εἰς εὐφροσύνην. Καὶ εἶπεν Ἰουδὶθ, Πίομαι δὴ κύριε, ὅτι ἐμεγαλύνθη τὸ ζῆν μου ἐν ἐμοὶ
19. σήμερον παρὰ πάσας τὰς ἡμέρας τῆς γενέσεώς μου. Καὶ λαβοῦσα ἔφαγε καὶ ἔπιε κατέναντι αὐ-
20. τοῦ ἃ ἡτοίμασεν ἡ δούλη αὐτῆς. Καὶ ηὐφράνθη Ὀλοφέρνης ἀπ' αὐτῆς, καὶ ἔπιεν οἶνον πολὺν σφό-
δρα ὅσον οὐκ ἔπιε πώποτε ἐν ἡμέρᾳ μιᾷ ἀφ' οὗ ἐγεννήθη.

ΚΕΦ. XIII.

1. ΩΣ δὲ ὀψία ἐγένετο, ἐσπούδασαν οἱ δοῦλοι αὐτοῦ ἀναλύειν· καὶ Βαγώας συνέκλεισε τὴν σκηνὴν

supra. εἰς τὴν χρῆσιν] εις την κλησιν III, 19, 23, 44, 52, 58, 64, 71, 76, 106, 108, 236, 243, 248, 249. Compl. Ald. οὐδένα τῶν] ∧ ουδενα 58. πρὸς ταῖς χρείαις] εν ταις χρειαις 249.

XI. Καὶ εἶπε Βαγώᾳ] και ειπε Βαγωυα (sic constanter) 58. τῷ εὐνούχῳ] præmitt. αυτου 19. Πεῖσον δὴ] ποιησον 249. δὴ πορευθεὶς] ∧ πορευθεις 44, 74, 76, 106, 236. ∧ 71. τὴν Ἑβραίαν] ∧ 58. ἥ ἐςι παρὰ σοὶ] την παρα σοι 58. ∧ 71. τοῦ ἐλθεῖν πρὸς ἡμᾶς] ∧ 71. καὶ φαγεῖν] ∧ και 44, 55, 71, 74, 76, 106.

XII. Ἰδοὺ γὰρ αἰσχρὸν] ιδου γαρ αισχυνη 249. εἰ γυναῖκα] ινα γυναικα 58. εἰ γυναῖκα—ὁμιλ. αὐτῇ] ἐὰν οὐ λάβωμεν αὐτὴν καὶ ἐγγίσωμεν πρὸς ἡμᾶς Codex unus Sergii. οὐχ ὁμιλήσαντες αὐτῇ] *non fabulantes ei:* Vet. Lat. ex MSS. Reg. et Germ. ὅτι ἐὰν ταύτην] οτι εαν ταυτη 23. οτι εαν αυτην 243. ὅτι ἐὰν ταύτην μὴ ἐπισπασώμεθα] οτι εαν μη επισπασωμεθα αυτην 19, 108. ταύτην μὴ] μη αυτην 248. Compl. ∧ μη 243, 249. μὴ ἐπισπασ.] ∧ μη 243, 249. καταγελάσεται ἡμῶν] καταγελασεται ημας 106.

XIII. Καὶ ἐξῆλθε Βαγώας] και απηλθε Βαγωας 19, 71. και εισελθων προς αυτην ειπε Βαγωυας 58. και προσηλθε Βαγωας 108. ἀπὸ προσώπου—πρὸς αὐτὴν] ∧ cum intermed. 71, 106. καὶ εἰσῆλθε] και ηλθε 74, 76, 236. καὶ εἶπε] + προς αυτην 71, 106. Μὴ ὀκνησάτω—καλὴ αὕτη] *Non pigeat puellam bonam* Vet. Lat. ubi supra. Μὴ ὀκνησάτω δὴ] ∧ δη 64, 248. Compl. Ald, μη οκνησης 71. ἡ παιδίσκη] ἡ παις 58, 249. ἡ παιδίσκη ἡ καλὴ αὕτη] ∧ 71. αὕτη ἐλθοῦσα] ταυτη (sic) εισελθουσα 19. αυτη εισελθουσα 58, 108. δοξασθῆναι] + εν τη ἡμερα ταυτη 249. κατὰ πρόσωπον αὐτοῦ] ενωπιον αυτου 19. ∧ 71. καὶ πίεσαι] και πιειν 64, 243, 248, 249. Compl. Ald. Alex. εἰς εὐφροσύνην οἶνον] οινον εις ευφροσυνην 44, 106, 236. καὶ γενηθῆναι] και γενησει 19. και γενηση 108. ἐν τῇ ἡμέρᾳ ταύτῃ] + ενδοξος 58. *in hodierno die honorifica* Vet. Lat. ubi supra. ὡς θυγάτηρ μία] ωσει θυγατηρ μια 23. ως μια θυγατηρ 58, 248. Compl. τῶν υἱῶν Ἀσσοὺρ] των μεγιςανων Ασσουρ 58. αἳ παρες. &c. ad fin. com.] ∧ 71. ἐν οἴκῳ Ναβουχ.] εν τω οικω Ναβουχ. 44, 55, 74, 106, 236.

XIV. Καὶ εἶπε πρὸς αὐτὸν] ∧ προς αυτον 71. ὅτι πᾶν] ∧ 71. ὃ ἔςαι] ∧ ὃ 44, 106. ὃ ἔςαι—ποιήσω] ὃ εςι αρεςον εν οφθαλμοις αυτου, σπουδασω, και ποιησω 58. ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ] ∧ εν 44. σπεύσασα ποιήσω] ∧ σπευσασα 44, 71, 106. καὶ ἔςαι] + μοι 52, 58, 64, 243, 248. Compl. Ald. Alex. τοῦτο ἀγαλλίαμα] τουτο εις αγαλλιαμα 19, 64, 108, 243. Compl. Ald. τουτο μοι αγαλλιαμα 23, 44, 55, 71, 74, 76, 106. ἕως ἡμέρας θανάτου μου] εως θανατου ημερας μου 55. θανάτου μου] ∧ μου 44, 71, 74, 76, 106, 236. habet μου in charact. minore Alex.

XV. Καὶ διαναςᾶσα] και αναςασα 19, 58, 64, 108, 243, 248, 249. Compl. Ald. Alex. ἐκοσμήθη] διεκοσμηθη 44, 106. τῷ ἱματισμῷ] ∧ 44, 106. + αυτης 58. καὶ παντὶ—γυναικείῳ] και παντι τω γυναικειω κοσμω 58. καὶ παντὶ τῷ κόσμῳ] ∧ 19, 108. ∧ και 44, 106. habet in char. min. Alex. καὶ προσῆλθεν] και προηλθεν 55. καὶ ἔςρωσεν αὐτῇ] ∧ αυτη 44, 106. και εςρωσεν αυτην 74, 108. κατέναντι Ὀλοφέρνου] κατεναντιον Ολοφερνου 108. ἐναντίον Ὀλοφ. Alex. τὰ κώδια &c. ad fin. com.] ∧ 58. ἃ ἔλαβε] ἃ ελαβον III, 55. παρὰ Βαγώου] παρα του Βαγωα 249. εἰς τὴν καθημερ. δίαιτ. αὐτῆς] *in quotidianum usum* Vet. Lat. ubi supra. δίαιταν αὐτῆς] ∧ 44, 106.

XVI. Καὶ εἰσελθοῦσα] και ελθουσα 52, 55, 64, 243, 248. Compl. ἀνέπεσεν Ἰουδὶθ] tr. 19, 44, 106, 108. επεσεν Ιουδιθ 52. Ιουδηθ ανεπεσε 236. ἐπ' αὐτὴν] επ' αυτη 23, 44, 55, 74, 236, 243, 249. Compl. Ald. ∧ 248. ἐπ' αὐτὴν—κατεπίθυμος σφόδρα] ἐν ἐλέει προσώπου αὐτῆς, καὶ ἐσαλεύθη ψυχὴ αὐτοῦ, καὶ ἦν ἐν ἐπιθυμίᾳ μεγάλῃ 7 Codices Sergii. καὶ ἐσαλεύθη ἡ ψυχὴ αὐτοῦ] ∧ 58, 71. κατεπίθυμος σφόδρα] ∧ σφοδρα (44. ut videtur) 71, 106. μετ' αὐτῆς] αυτη 58. καὶ ἐτήρει &c. ad fin. com.] ∧ 71. καὶ ἐτήρει καιρὸν] και εζητει καιρον 58. τοῦ ἀπατῆσαι αὐτὴν] απαντησαι αυτη 58. *ut occurreret illi* Vet. Lat. ubi supra. εἶδεν αὐτὴν] + Ολοφερνης 44, 74, 76, 106, 236.

XVII. πρὸς αὐτὴν] αυτῃ 58, 71. Ὀλοφέρνης] ∧ 44, 71, 106. Πίε δὴ &c. ad fin. com.] *Bibe nunc nobiscum in jocunditate.* Vet. Lat. ubi supra.

XVIII. Πίομαι δὴ Κύριε] ∧ δη 44, 58, 106. πιομαι Κυριε μου 71. + μοι 74. + μου 76, 249. πίωμαι δὴ Κύριε Compl. τὸ ζῆν μου] ἡ ψυχη μου 19, 108. το ζην μοι 44, 106. τὸ ζῆν μου ἐν ἐμοὶ] εν εμοι το ζην μου 249.

XIX. ἔφαγε καὶ ἔπιε] ἔπιεν καὶ ἔφαγεν Alex. κατέναντι αὐτοῦ] κατεναντιον αυτου 55. κατεναντι αυτων 58. ἃ ἡτοίμασεν] + αυτῃ 58.

XX. ἀπ' αὐτῆς] επ' αυτη 19, 44, 52, 58, 64, 74, 76, 106, 108, 236, 243, 248. Compl. Ald. επ' αυτης 55. ∧ 71. οἶνον πολὺν] tr. 58. σφόδρα] ∧ 44, 106. ὅσον οὐκ &c. ad fin. com.] *quantum nunquam biberat ulla die ex qua natus est.* Vet. Lat. ubi supra. πώποτε ἐν ἡμέρᾳ μιᾷ] habet in charact. minore Alex. ἐν ἡμέρᾳ μιᾷ] ∧ μια 44, 106. εν ημερα αυτου 249. ἀφ' οὗ ἐγεννήθη] ἃ εγεννηθη (corr. a posteriori m. ἧ) 23.

I. Ὡς δὲ ὀψία ἐγένετο] ως δε εγενετο οψε 58. οἱ δοῦλοι αὐτοῦ] οἱ δουλοι του Ολοφερνου 19. ∧ αυτου 71. οἱ φιλοι αυτου 74, 76. ἀναλύειν] απελθειν 58. *abire* Vet. Lat. ubi supra. καὶ Βαγώας] και Βα-

ἔξωθεν, καὶ ἀπέκλεισε τοὺς παρεστῶτας ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ, καὶ ἀπῴχοντο εἰς τὰς κοί-
τας αὐτῶν· ἦσαν γὰρ πάντες κεκοπωμένοι, διὰ τὸ ἐπὶ πλεῖον γεγονέναι τὸν κότον. Ὑπελείφθη 2.
δὲ Ἰουδὶθ μόνη ἐν τῇ σκηνῇ, καὶ Ὀλοφέρνης προπεπτωκὼς ἐπὶ τὴν κλίνην αὐτοῦ· ἦν γὰρ περικε-
χυμένος αὐτῷ ὁ οἶνος. Καὶ εἶπεν Ἰουδὶθ τῇ δούλῃ αὐτῆς στῆναι ἔξω τοῦ κοιτῶνος αὐτῆς, καὶ ἐπι- 3.
τηρεῖν τὴν ἔξοδον αὐτῆς καθάπερ καθ' ἡμέραν, ἐξελεύσεσθαι γὰρ ἔφη ἐπὶ τὴν προσευχὴν αὐτῆς·
καὶ τῷ Βαγώᾳ ἐλάλησε κατὰ τὰ ῥήματα ταῦτα. Καὶ ἀπήλθοσαν πάντες ἐκ προσώπου, καὶ 4.
οὐδεὶς κατελείφθη ἐν τῷ κοιτῶνι ἀπὸ μικροῦ ἕως μεγάλου· καὶ στᾶσα Ἰουδὶθ παρὰ τὴν κλίνην αὐτοῦ,
εἶπεν ἐν τῇ καρδίᾳ αὐτῆς, Κύριε ὁ Θεὸς πάσης δυνάμεως, ἐπίβλεψον ἐν τῇ ὥρᾳ ταύτῃ ἐπὶ τὰ
ἔργα τῶν χειρῶν μου, εἰς ὕψωμα Ἰερουσαλήμ· Ὅτι νῦν καιρὸς ἀντιλαβέσθαι τῆς κληρονομίας σου, 5.
καὶ ποιῆσαι τὸ ἐπιτήδευμά μου, εἰς θραῦμα ἐχθρῶν οἳ ἐπανέστησαν ἡμῖν. Καὶ προσελθοῦσα τῷ 6.
κανόνι τῆς κλίνης ὃς ἦν πρὸς κεφαλῆς Ὀλοφέρνου, καθεῖλε τὸν ἀκινάκην αὐτοῦ ἀπ' αὐτοῦ. Καὶ 7.
ἐγγίσασα τῆς κλινῆς ἐδράξατο τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ, καὶ εἶπε, Κραταίωσόν με ὁ Θεὸς
Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ταύτῃ. Καὶ ἐπάταξεν εἰς τὸν τράχηλον αὐτοῦ δὶς ἐν τῇ ἰσχύϊ αὐτῆς, καὶ 8.
ἀφεῖλε τὴν κεφαλὴν αὐτοῦ ἀπ' αὐτοῦ, Καὶ ἀπεκύλισε τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς στρωμνῆς, καὶ ἀφεῖλε 9.
τὸ κωνωπεῖον ἀπὸ τῶν στύλων· καὶ μετ' ὀλίγον ἐξῆλθε, καὶ παρέδωκε τῇ ἄβρᾳ αὐτῆς τὴν κεφαλὴν
Ὀλοφέρνου. Καὶ ἐνέβαλεν αὐτὴν εἰς τὴν πήραν τῶν βρωμάτων αὐτῆς, καὶ ἐξῆλθον αἱ δύο ἅμα 10.
κατὰ τὸν ἐθισμὸν αὐτῶν· καὶ διελθοῦσαι τὴν παρεμβολὴν, ἐκύκλωσαν τὴν φάραγγα ἐκείνην, καὶ
προσανέβησαν τὸ ὄρος Βετυλούα, καὶ ἦλθοσαν πρὸς τὰς πύλας αὐτῆς. Καὶ εἶπεν Ἰουδὶθ μακρό- 11.
θεν τοῖς φυλάσσουσιν ἐπὶ τῶν πυλῶν, Ἀνοίξατε, ἀνοίξατε δὴ τὴν πύλην, μεθ' ἡμῶν ὁ Θεὸς ὁ
Θεὸς ἡμῶν, ποιῆσαι ἔτι ἰσχὺν ἐν Ἰσραὴλ καὶ κράτος κατὰ τῶν ἐχθρῶν, καθὰ καὶ σήμερον
ἐποίησε. Καὶ ἐγένετο ὡς ἤκουσαν οἱ ἄνδρες τῆς πόλεως αὐτῆς τὴν φωνὴν αὐτῆς, ἐσπούδασαν τοῦ 12.
καταβῆναι εἰς τὴν πύλην τῆς πόλεως αὐτῶν· καὶ συνεκάλεσαν τοὺς πρεσβυτέρους τῆς πόλεως.

γωνιας δε 58. τὴν σκηνὴν ἔξωθεν] την σκηνην αυτου εξωθεν 64, 243. Compl. Ald. καὶ ἀπέκλεισε] και απελυσε 23, 44, 64, 71, 74, 76, 106, 236, 248, 249. Compl. και απελυσαν 243. Ald. ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ] ∧ του κυριου 19. ∧ 71. καὶ ἀπῴχοντο] + παντες 58. καὶ ἀπῴχοντο εἰς τὰς κοίτας αὐτῶν] ∧ 106. διὰ τὸ ἐπὶ πλεῖον] δια τον πλειον (sic) 19. ∧ επι 108. ἐπὶ πλεῖον] πλειω 249. τὸ ἐπὶ πλεῖον γεγονέναι] ∧ 71.

II. Ὑπελείφθη δὲ Ἰουδὶθ] υπεληφθη δε Ιουδιθ 106. υπελειπετο δε Ιουδιθ 249. ἐν τῇ σκηνῇ] habet in char. minore Alex. προπεπτωκὼς] προσπεπτωκως 71, 74, 76. ἐπὶ τὴν κλίνην αὐτοῦ] επι την κλινην εαυτου II. Alex. επι της κλινης αυτου 19, 58, 108. ἦν γὰρ &c. ad fin. com.] *erat enim solutus a vino.* Vet. Lat. ex MSS. Reg. et Germ.

III. ἔξω τοῦ κοιτῶνος αὐτῆς] ∧ αυτης 19. εξωθεν του κοιτωνος αυτης 58. τὴν ἔξοδον αὐτῆς] ∧ αυτης 58. *introitum et exodum ejus* Vet. Lat. ubi supra. καθάπερ καθ' ἡμέραν] ∧ καθαπερ 58. ἐξελεύσεσθαι γὰρ] πορευεσθαι γαρ 58. εξελευσασθαι γαρ 74. καὶ τῷ Βαγώᾳ ἐλάλησε] και ειπε τω Βαγωα 71. ἐλάλησε] + Ιουδιθ 108. κατὰ τὰ ῥήματα ταῦτα] ∧ 71.

IV. Καὶ ἀπήλθοσαν πάντες] και απηλθον παντες 19, 58, 108, 248. Compl. ἐκ προσώπου] + αυτης 23, 52, 64, 71, 243, 248. Compl. Ald. Alex. + αυτου 44, 74, 76, 106. + Ολοφερνου 58. καὶ οὐδεὶς κατελείφθη] και ουδεις υπελειφθη 58. ἐν τῷ κοιτῶνι] + αυτου 58. ἀπὸ μικροῦ ἕως μεγάλου] μικρος ἢ μεγας 58. παρὰ τὴν κλίνην αὐτοῦ] επι της κλινης αυτου 19. παρα την κεφαλην αυτου 58. ἐπὶ τὴν κλίνην αὐτοῦ Compl. *ad caput ejus* Vet. Lat. ubi supra. ἐν τῇ καρδίᾳ αὐτῆς] εν τη καρδια εαυτης II. εν τη διανοια αυτης 58. Κύριε ὁ Θεὸς] præmitt. Κυριε 58. πάσης δυνάμεως] ∧ 71. ἐν τῇ ὥρᾳ ταύτῃ] επι την ωραν ταυτην 19. ∧ 71. επι τη ωρα ταυτη 74, 76, 108. εἰς τὸ ὕψωμα Ἰερουσαλήμ] εις το υψωμα Ισραηλ 74, 106.

V. Deest comma integr. 71. Ὅτι νῦν καιρὸς] ∧ καιρος 23. οτι καιρος νυν 249. ἀντιλαβέσθαι] αντιλαμβανεσθαι 64. καὶ ποιῆσαι] και ποιησον 58. τὸ ἐπιτήδευμά μου] τα επιτηδευματα μου 64, 243, 248. Compl. Ald. ελεος μετα του επιτηδευματος σου 74, 76. εἰς θραῦμα ἐχθρῶν] εις θραυσιν εχθρων 19, 44. εις τραυμα εχθρων 58. εις θραυσμα εχθρων 64, 243, 248. Ald. Alex. εις θραυσμα 236. οἳ ἐπανέστησαν ἡμῖν] ∧ 55.

VI. τῆς κλίνης] τη κλινη 19. ∧ 58. πρὸς κεφαλῆς] προς κεφαλην 55, 248. Compl. επι της κεφαλης 58. τὸν ἀκινάκην αὐτοῦ] ∧ αυτου 44, 71, 76, 106, 243. Compl.

VII. τῆς κλινῆς] τη κλινη 44, 71, 106, 108, 249. Compl. τῆς κόμης] ∧ 58. Κραταίωσον—Ἰσραὴλ] *Domine confirma me Deus Israel* Vet. Lat. ubi supra. ὁ Θεὸς Ἰσραὴλ] præmitt. Κυριε 44, 58, 71, 74, 76, 106, 236, 243, 249. Ald. Alex. ∧ Ισραηλ 248. Κύριε ὁ Θεὸς Compl.

VIII. εἰς τὸν τράχηλον αὐτοῦ] αυτου εις τον τραχηλον 58. ἐν τῇ ἰσχύϊ αὐτῆς] εν τη παραξιφιδι (scr. παραξιφιδι) αυτης 58. ∧ 106. καὶ ἀφεῖλε] και αφειλετο 19. τὴν κεφαλὴν αὐτοῦ] ∧ αυτου 44, 106. Compl. ἀπ' αὐτοῦ] ∧ II, 55, 71.

IX. Καὶ ἀπεκύλισε] + αὐτη 55. Καὶ ἀπεκύλισε—στρωμνῆς] *et involvit corpus ejus a toro ipsius* Vet. Lat. ubi supra. τὸ κωνωπεῖον] τον κωνωπειον III. + αυτου 44, 71, 76, 106. ἀπὸ τῶν στύλων] εκ των στυλων 44, 106. μετ' ὀλίγον] μετα μικρον 58. ∧ 71. τῇ ἄβρᾳ αὐτῆς] ∧ 58.

X. τῶν βρωμάτων αὐτῆς] αυτης των βρωματων 19, 108. ∧ αυτης 44, 106. κατὰ τὸν ἐθισμὸν αὐτῶν] + επι την προσευχην 19, 23, 52, 108, 243, 248, 249. Compl. Ald. Alex. + ως επι την προσευχην 58. *secundum consuetudinem suam, quasi ad orationem;* Vet. Lat. ubi supra. τὴν φάραγγα ἐκείνην] præmitt. πασαν 58. ∧ εκεινην 71. *totam vallem illam* Vet. Lat. ubi supra. τὸ ὄρος Βετυλούα] præmitt. εις 44, 55, 71, 76, 106. εις Βατυλωα 58. καὶ ἦλθοσαν] και ηλθον 108, 248. Compl. πρὸς τὰς πύλας] εις τας πυλας 55.

XI. μακρόθεν] ∧ 19, 108. ἐπὶ τῶν πυλῶν] επι των τειχων 19. ∧ 58. επι τω πυλωνι 74. Ἀνοίξατε, ἀνοίξατε δὴ] ανοιξατε δη 19, 58. ανοιξατε, ανοιξατε μοι 44, 106. ∧ ανοιξατε δη 71, 108. ανοιξατε δη ανοιξατε 249. Alex. μεθ' ἡμῶν ὁ Θεὸς] præmitt. οτι 19, 108. ∧ ὁ Θεος 58. μεθ' ἡμῶν &c. ad fin. com.] *nobiscum est Deus noster, qui dedit virtutem in Israel, et potestatem adversus inimicos, sicut hodie fecit et facturus est.* Vet. Lat. ubi supra. ὁ Θεὸς 2°. &c. usque ad fin. com.] ∧ 71. ὁ Θεὸς ἡμῶν] ∧ ημων 19, 108. ∧ 44, 106. ὁ Θεος μεθ' ημων 76. ποιῆσαι ἔτι ἰσχὺν] ὃς εποιησεν ισχυν 19, 108. ὃς εδωκεν ισχυν 58. ἐν Ἰσραὴλ] ἐν Ἱερουσαλὴμ Ald. κατὰ τῶν ἐχθρῶν] + ημων (postea delet.) II. καθὰ καὶ σήμερον] ∧ και 44, 249.

XII. Καὶ ἐγένετο] ∧ εγενετο 44, 71, 106. ∧ 58. οἱ ἄνδρες τῆς πόλεως αὐτῆς] *viri civitatis* Vet. Lat. ubi supra. τῆς πόλεως αὐτῆς] ∧ αυτης 44, 58, 106. ∧ 52. τὴν φωνὴν αὐτῆς] ∧ αυτης 55. ἐσπούδασαν] εσπευσαν 44, 58, 74, 76, 106, 236. ἐσπούδασαν—αὐτῶν· καὶ] ∧ cum intermed. 71. τοῦ καταβῆναι] ∧ του 44, 74, 76, 106, 236. εἰς τὴν πύλην] επι την πυλην 19, 55, 58, 108. Alex. εἰς τὴν πύλην τῆς πόλεως αὐτῶν] ∧ 44, 106. αὐτῶν· καὶ &c. ad fin. com.] ∧ 236. τῆς πόλεως ult.] ∧ 44, 52, 106.

ΚΕΦ. XIII.

13. Καὶ συνέδραμον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου, ὅτι παράδοξον ἦν αὐτοῖς τὸ ἐλθεῖν αὐτὴν, καὶ
ἤνοιξαν τὴν πύλην, καὶ ὑπεδέξαντο αὐτάς· καὶ ἅψαντες πῦρ εἰς φαῦσιν, περιεκύκλωσαν αὐτάς.
14. Ἡ δὲ εἶπε πρὸς αὐτοὺς φωνῇ μεγάλῃ, Αἰνεῖτε τὸν Θεὸν, αἰνεῖτε· αἰνεῖτε τὸν Θεὸν, ὃς οὐκ ἀπέστησε
τὸ ἔλεος αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰσραὴλ, ἀλλ᾽ ἔθραυσε τοὺς ἐχθροὺς ἡμῶν διὰ χειρός μου ἐν τῇ νυκτὶ
15. ταύτῃ. Καὶ προελθοῦσα τὴν κεφαλὴν ἐκ τῆς πήρας, ἔδειξε, καὶ εἶπεν αὐτοῖς, Ἰδοὺ ἡ κεφαλὴ Ὀλο-
φέρνου ἀρχιστρατήγου δυνάμεως Ἀσσοὺρ, καὶ ἰδοὺ τὸ κωνωπεῖον ἐν ᾧ κατέκειτο ἐν ταῖς μέθαις αὐτοῦ,
16. καὶ ἐπάταξεν αὐτὸν ὁ Κύριος ἐν χειρὶ θηλείας. Καὶ ζῇ Κύριος ὃς διεφύλαξέ με ἐν τῇ ὁδῷ μου ᾗ
ἐπορεύθην, ὅτι ἠπάτησεν αὐτὸν τὸ πρόσωπόν μου εἰς ἀπώλειαν αὐτοῦ, καὶ οὐκ ἐποίησεν ἁμάρτημα
17. μετ᾽ ἐμοῦ εἰς μίασμα καὶ αἰσχύνην. Καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα, καὶ κύψαντες προσεκύνησαν
τῷ Θεῷ, καὶ εἶπαν ὁμοθυμαδὸν, Εὐλογητὸς εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐξουδενώσας ἐν τῇ ἡμέρᾳ τῇ σήμε-
18. ρον τοὺς ἐχθροὺς τοῦ λαοῦ σου. Καὶ εἶπεν αὐτῇ Ὀζίας, Εὐλογητὴ σὺ θυγάτηρ τῷ Θεῷ τῷ ὑψίστῳ
παρὰ πάσας τὰς γυναῖκας τὰς ἐπὶ τῆς γῆς, καὶ εὐλογημένος Κύριος ὁ Θεὸς, ὃς ἔκτισε τοὺς οὐρα-
19. νοὺς καὶ τὴν γῆν, ὃς κατεύθυνέ σε εἰς τραῦμα κεφαλῆς ἄρχοντος ἐχθρῶν ἡμῶν, Ὅτι οὐκ ἀποστή-
20. σεται ἡ ἐλπίς σου ἀπὸ καρδίας ἀνθρώπων μνημονευόντων ἰσχὺν Θεοῦ ἕως αἰῶνος. Καὶ ποιήσαι
σοι αὐτὰ ὁ Θεὸς εἰς ὕψος αἰώνιον, τοῦ ἐπισκέψασθαί σε ἐν ἀγαθοῖς, ἀνθ᾽ ὧν οὐκ ἐφείσω τῆς ψυ-
χῆς σου διὰ τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν, ἀλλ᾽ ἐπεξῆλθες πτώματι ἡμῶν, ἐπ᾽ εὐθείαν πορευ-
θεῖσα ἐνώπιον τοῦ Θεοῦ ἡμῶν· καὶ εἶπαν πᾶς ὁ λαὸς, Γένοιτο, γένοιτο.

ΚΕΦ. XIV.

1. ΚΑΙ εἶπε πρὸς αὐτοὺς Ἰουδὶθ, Ἀκούσατε δή μου, ἀδελφοὶ, καὶ λαβόντες τὴν κεφαλὴν ταύτην, κρε-
2. μάσατε αὐτὴν ἐπὶ τῆς ἐπάλξεως τοῦ τείχους ὑμῶν. Καὶ ἔσται ἡνίκα ἂν διαφαύσῃ ὁ ὄρθρος, καὶ
ἐξέλθῃ ὁ ἥλιος ἐπὶ τὴν γῆν, ἀναλήψεσθε ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ ὑμῶν, καὶ ἐξελεύσεσθε
πᾶς ἀνὴρ ἰσχύων ἔξω τῆς πόλεως, καὶ δώσετε ἀρχηγὸν εἰς αὐτοὺς, ὡς καταβαίνοντες ἐπὶ τὸ πε-

XIII. Καὶ συνέδραμον πάντες] ∧ παντες 44, 71, 106. ἕως μεγάλου] + αυτων (II. postea delet.) 44, 74, 76, 106. εως πρεσβυτερων 58. ὅτι παράδοξον—ἐλθεῖν αὐτὴν] ∧ cum intermed. 71. ἦν αὐτοῖς] ∧ ἦν 19. τὸ ἐλθεῖν αὐτὴν] + και επηυξαντο 74. καὶ ὑπεδέξαντο αὐτοὺς] και απεδεξαντο αυτους (II. corr. επεδεξαντο) 108. καὶ ἅψαντες πῦρ] ∧ και II, 44, 55, 108. αψαντες δε πυρ 71, 74, 76, 106. εἰς φαῦσιν] εις καυσιν 249.

XIV. Ἡ δὲ εἶπε πρὸς αὐτοὺς] ἡ δε εκραξε 44, 106. φωνῇ μεγάλῃ, Αἰνεῖτε] αινειτε φωνη μεγαλη 19. Αἰνεῖτε—τὸν Θεὸν 2°] αινειτε τὸν Θεον ημων 58. Αἰνεῖτε τὸν Θεὸν 1°] αινειτε φωνη μεγαλη τον Θεον 108. ∧ τὸν Ald. αἰνεῖτε τὸν Κύριον Alex. αἰνεῖτε· αἰνεῖτε] semel tantum 44, 52, 106. Ald. αἰνεῖτε· αἰνεῖτε τὸν Θεον] αινειτε τον Κυριον 19, 108. ∧ 71. *laudate Dominum nostrum* Vet. Lat. ex MSS. Reg. et Germ. τὸν Θεὸν 2°] ∧ 44, 106. τὸν Κύριον Alex. ὃς οὐκ ἀπέστησε] οτι ουκ απεστησε 243. Compl. Ald. Alex. ἀπὸ τοῦ οἴκου Ἰσραὴλ] ἀπὸ τοῦ οἴκου Ἱερουσαλὴμ Ald. ἀλλ᾽ ἔθραυσε] αλλ᾽ εθραυσαν 19, 108. ἀλλ᾽ ἔθραυσε &c. ad fin. com.] ∧ 71.

XV. Καὶ προελθοῦσα] και προσελθουσα 55. καὶ εἶπεν αὐτοῖς] αυτοις και ειπεν 19, 44, 71, 76, 106, 108, 236. αυτοις και ειπον 74. Ἰδοὺ ἡ κεφαλὴ] ∧ ἡ Compl. Ὀλοφέρνου ἀρχιστρατήγου] Ολοφερνου του αρχιστρατηγου 19. ἀρχιστρ. δυνάμ. Ἀσσοὺρ] ∧ 71. καὶ ἰδοὺ] ∧ ιδου 71. τὸ κωνωπεῖον] + αὐτοῦ Alex. ἐν ᾧ κατέκειτο] εν ᾧ κατεκλινετο 58. καὶ ἐπάταξεν &c. ad fin. com.] ∧ 58. ὁ Κύριος] ὁ Θεος 19. ∧ ὁ 44, 106, 236, 248. Compl. Ald.

XVI. Καὶ ζῇ Κύριος] και ζη ὁ Κυριος 248. Compl. Ald. Alex. τὸ πρόσωπόν μου] προ προσωπου μου 55. ἁμάρτημα μετ᾽ ἐμοῦ] μετ᾽ εμου αμαρτημα 58. εἰς μίασμα καὶ αἰσχύνην] εις μιασμον αισχυνης 58. ∧ 71.

XVII. πᾶς ὁ λαὸς] ∧ πας 55. καὶ κύψαντες] ∧ 71. ∧ κυψαντες 106. τῷ Θεῷ] τω Κυριω 44, 71, 74, 76, 106. καὶ εἶπεν &c. ad fin. com.] ∧ 58, 71. καὶ εἶπαν ὁμοθυμαδὸν] και ειπον 44. ∧ ομοθυμαδον 106. και ειπον ομοθυμαδον 108. Compl. Ald. Εὐλογητὸς εἶ] ευλογημενος εἶ 23, 55, 74, 76, 106. Εὐλογητὸς εἶ ὁ Θεὸς ἡμῶν] *Benedictus es Domine Deus noster* Vet. Lat. ubi supra. ὁ ἐξουδενώσας] ὁ εξουθενησας 55. ἐν τῇ ἡμέρᾳ τῇ σήμερον] εν τη σημερον ημερα 249. τοὺς ἐχθροὺς τοῦ λαοῦ σου] του λαου σου τους εχθρους 44, 106. τους εχθρους ημων 249. *inimicos nostros* Vet. Lat. ubi supra.

XVIII. Καὶ εἶπεν αὐτῇ] ∧ αυτη 71. Εὐλογητὴ σὺ] ευλογητος συ εἶ 52. ευλογητη εἶ συ 64, 243. Ald. ευλογημενη συ 108. + εἶ 248. Compl. εὐλογημένη εἶ σὺ Alex. θυγάτηρ] θυγατερ 64, 71, 76, 236, 243, 248. Compl. τῷ Θεῷ] ∧ τω 44, 106. τῷ ὑψίστῳ—τῆς γῆς] ∧ cum intermed. 71. καὶ εὐλογημένος &c. ad fin. com.] ∧ 106. καὶ εὐλογημένος Κύριος] και ευλογητος Κυριος 58. Κύριος ὁ Θεὸς] *Deus noster* Vet. Lat. ubi supra. ὁ Θεὸς] ∧ 58, 71. τοὺς οὐρανοὺς] τον ουρανον 58. εἰς τραῦμα κεφαλῆς] εις τραυμα κεφαλην II. εις κεφαλην 58. ἄρχοντος ἐχθρῶν ἡμῶν] αρχοντος εθνων 58. ∧ αρχοντος 71, 74, 76. habet ἡμῶν in charact. minore Alex.

XIX. Totum comma deest 71. ἐλπίς σου] επαινος σου 58. *laus tua* Vet. Lat. ubi supra. ἀπὸ καρδίας] απο κακιας 52. ἕως αἰῶνος] ∧ εως 249.

17. αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν.
18. 19. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα
20. ἀκαταμάχητον ὁσιότητα, Ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ
21. κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου
22. τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται. Καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγα-
23. νακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς
πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ
ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.

ΚΕΦ. VI.

1. 2. ΑΚΟΥΣΑΤΕ οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦν-
3. τες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις
4. ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου, ὃς ἐξετάσει ὑμῶν τὰ ἔργα, καὶ τὰς βουλὰς διερευνήσει. Ὅτι
ὑπηρέται ὄντες τῆς αὐτοῦ βασιλείας οὐκ ἐκρίνατε ὀρθῶς, οὐδὲ ἐφυλάξατε νόμον, οὐδὲ κατὰ τὴν βου-
5. λὴν τοῦ Θεοῦ ἐπορεύθητε. Φρικτῶς καὶ ταχέως ἐπιστήσεται ὑμῖν, ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπε-
6. ρέχουσιν γίνεται. Ὁ γὰρ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται.
7. Οὐ γὰρ ὑποστελεῖται πρόσωπον ὁ πάντων δεσπότης, οὐδὲ ἐντραπήσεται μέγεθος· ὅτι μικρὸν καὶ
8. μέγαν αὐτὸς ἐποίησεν, ὁμοίως τε προνοεῖ περὶ πάντων. Τοῖς δὲ κραταιοῖς ἰσχυρὰ ἐφίσταται
9. 10. ἔρευνα. Πρὸς ὑμᾶς οὖν ὦ τύραννοι οἱ λόγοι μου, ἵνα μάθητε σοφίαν καὶ μὴ παραπέσητε. Οἱ
γὰρ φυλάξαντες ὁσίως τὰ ὅσια ὁσιωθήσονται, καὶ οἱ διδαχθέντες αὐτὰ εὑρήσουσιν ἀπολογίαν.
11. 12. Ἐπιθυμήσατε οὖν τῶν λόγων μου, ποθήσατε καὶ παιδευθήσεσθε. Λαμπρὰ καὶ ἀμάραντός ἐστιν ἡ
σοφία, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτὴν, καὶ εὑρίσκεται ὑπὸ τῶν ζητούντων αὐ-
13. 14. τήν. Φθάνει τοὺς ἐπιθυμοῦντας προγνωσθῆναι. Ὁ ὀρθρίσας ἐπ᾽ αὐτὴν οὐ κοπιάσει, πάρεδρον γὰρ
15. εὑρήσει τῶν πυλῶν αὐτοῦ. Τὸ γὰρ ἐνθυμηθῆναι περὶ αὐτῆς φρονήσεως τελειότης, καὶ ὁ ἀγρυπνήσας
16. δι᾽ αὐτὴν ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὕτη περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς

XIII. γεννηθέντες] γενηθεντες 157. ∧ 261. ἐξελίπομεν] εξελειπομεν 248. Compl. Alex. οὐδὲν ἔσχομεν] ∧ ουδεν 261.

XIV. ἀσεβοῦς] ασεβων 106, 261. ὡς φερόμ. χοῦς] ως χνους φερομενος 106. χοῦς] χνους 23, 55, 155, 248, 253, 254, 261, 296. Compl. Ald. Alex. ὡς πάχνη] ως αραχνη 23, 106. ως αχνη 157. διεχύθη] διελυθη 248. Compl. καὶ ὡς μνεία] præmitt. ἡ 248. Compl. παρώδευσε] διωδευσαν 106. διωδευσεν 157, 261.

XV. εἰς τὸν αἰῶνα] εν Κυριω 106, 261. καὶ ἐν Κυρίῳ] και εις τον αιωνα 106, 261. ἡ φροντὶς αὐτῶν] ἡ φροντησις αυτων 248. Compl. παρὰ ὑψίστῳ] παρα υψιστου 155, 296.

XVI. τῇ δεξίᾳ] + αυτου 106. Compl. ἡ δεξια αυτου 261.

XVIII. Ἐνδύσεται] + δε 253. δικαιοσύνην] δικαιοσυνης 23, 106, 253, 261, 296. καὶ περιθήσεται] + δε 23.

XX. ἀπότομον ὀργὴν] tr. 157. συνεκπολ. δὲ] ∧ δε 55, 155, 157, 248. habet δὲ in charact. minore Alex. παράφρονας] αφρονας 106, 261.

XXI. Πορεύσονται] πορευσονται δε 106. εὔστοχοι] ευστροφοι 253.

XXII. ἐκ πετροβόλου] εκ πετροβολων 155. ἀγανακτήσει] αγανακτησει δε 106. συγκλύσουσιν] συνκλυουσιν III. συγκλεισουσιν 106, 157, 261.

XXIII. ἐκλικμήσει] λικμησει 296. κακοπραγία] + αυτων 261. περιτρέψει] περιστρεψει 155, 157.

II. καὶ γεγαυρωμένοι] και γεγαυριωμενοι 155.

III. παρὰ τοῦ Κυρίου] ∧ του 55, 106, 155, 157, 248, 254, 261. Compl. Alex. ἡ κράτησις ὑμῖν] ἡ κρατησις υμων 106, 155. ἡ κρατησις ημων 261. παρὰ ὑψίστου] παρα του υψιστου 23, 253. διερευνήσει] διερευνησω 261.

V. ἐπιστήσεται ὑμῖν] + ολεθρος 23, 55, 155, 253, 254. επελευσεται υμιν (157. ut videtur) 248.

VI. συγγνωστός ἐστιν] ∧ εστιν 55, 254, 296. ἐλέους] ἐλέου Alex. δυνατοὶ δὲ] ∧ δὲ Athan. ii. 621. Chrysost. vii. 322. δυνατοὶ γὰρ Cyrill. Alex. vol. i. part. i. p. 122.

VII. ὑποστελεῖται] ὑποστέλλεται Clem. Alex. p. 766. οὐδὲ ἐντραπήσεται μέγεθος] ∧ 23. καὶ μέγαν] και μεγα 106, 155, 296. προνοεῖ] νοει 155. προνοειται 248, 296. Compl. περὶ πάντων] ∧ περὶ Clem. Alex. l. cit.

VIII. ἐφίσταται] επισταται 155. Ald. υφισταται 296.

IX. ὦ τύραννοι] ∧ 261.

X. Οἱ γὰρ φυλάξαντες] οἱ γὰρ φύλασσοντες Clem. Alex. p. 786. ὁσίως τὰ ὅσια] οσιοτητα 155. ὁσιωθήσονται] οσιως οσιωθησονται 106, 261.

XI. τῶν λόγων] τον λογον 155.

XII. Λαμπρὰ] + γαρ 23, 253. καὶ εὑρίσκεται &c. ad fin. com.] ∧ 261. Clem. Alex. p. 800.

XIII. τοὺς ἐπιθυμοῦντας] + αυτης 106. + αυτην 155, 261. προγνωσθῆναι] προ του γνωσθηναι 106, 261.

XIV. ἐπ᾽ αὐτὴν] προς αυτην 55, 106, 155, 248, 253, 254, 261, 296. Compl. Alex. πάρεδρον &c. ad fin. com.] ∧ Clem. Alex. l. cit. εὑρήσει] ευρησεις 248.

XV. καὶ ὁ ἀγρυπνήσας] ∧ ὁ 254.

XVI. τοὺς ἀξίους αὐτῆς] τους αξιους εαυτης 155. αὕτη περιέρχ.]

ΚΕΦ. VI.

τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς, καὶ ἐν πάσῃ ἐπινοίᾳ ὑπαντᾷ αὐτοῖς. Ἀρχὴ γὰρ αὐτῆς ἡ 17.
ἀληθεστάτη παιδείας ἐπιθυμία, φροντὶς δὲ παιδείας ἀγάπη, Ἀγάπη δὲ τήρησις νόμων αὐτῆς, 18.
προσοχὴ δὲ νόμων βεβαίωσις ἀφθαρσίας, Ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ Θεοῦ. Ἐπιθυμία 19. 20.
ἄρα σοφίας ἀνάγει ἐπὶ βασιλείαν. Εἰ οὖν ἥδεσθε ἐπὶ θρόνοις καὶ σκήπτροις τύραννοι λαῶν, τι- 21.
μήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Τί δέ ἐστι σοφία καὶ πῶς ἐγένετο, ἀπαγγελῶ, 22.
καὶ οὐκ ἀποκρύψω ὑμῖν μυστήρια, ἀλλ' ἀπ' ἀρχῆς γενέσεως ἐξιχνιάσω, καὶ θήσω εἰς τὸ ἐμφανὲς
τὴν γνῶσιν αὐτῆς, καὶ οὐ μὴ παροδεύσω τὴν ἀλήθειαν· Οὔτε μὴν φθόνῳ τετηκότι συνοδεύσω, 23.
ὅτι οὗτος οὐ κοινωνήσει σοφίᾳ. Πλῆθος δὲ σοφῶν σωτηρία κόσμου, καὶ βασιλεὺς φρόνιμος εὐστά- 24.
θεια δήμου. Ὥστε παιδεύεσθε τοῖς ῥήμασί μου, καὶ ὠφεληθήσεσθε. 25.

ΚΕΦ. VII.

ΕΙΜΙ μὲν κἀγὼ θνητὸς ἄνθρωπος, ἴσος ἅπασι, καὶ γηγενοῦς ἀπόγονος πρωτοπλάστου. Καὶ ἐν 1. 2.
κοιλίᾳ μητρὸς ἐγλύφην σὰρξ, δεκαμηνιαίῳ χρόνῳ, παγεὶς ἐν αἵματι ἐκ σπέρματος ἀνδρὸς καὶ ἡδο-
νῆς ὕπνῳ συνελθούσης. Καὶ ἐγὼ δὲ γενόμενος ἔσπασα τὸν κοινὸν ἀέρα, καὶ ἐπὶ τὴν ὁμοιοπαθῆ 3.
κατέπεσον γῆν, πρώτην φωνὴν τὴν ὁμοίαν πᾶσιν ἴσα κλαίων. Ἐν σπαργάνοις ἀνετράφην, καὶ ἐν 4.
φροντίσιν. Οὐδεὶς γὰρ βασιλεὺς ἑτέραν ἔσχε γενέσεως ἀρχήν. Μία δὲ πάντων εἴσοδος εἰς τὸν 5. 6
βίον, ἔξοδός τε ἴση. Διὰ τοῦτο ηὐξάμην, καὶ φρόνησις ἐδόθη μοι, ἐπεκαλεσάμην, καὶ ἦλθέ μοι 7.
πνεῦμα σοφίας. Προέκρινα αὐτὴν σκήπτρων καὶ θρόνων, καὶ πλοῦτον οὐδὲν ἡγησάμην ἐν συγκρίσει 8.
αὐτῆς. Οὐδὲ ὡμοίωσα αὐτῇ λίθον ἀτίμητον, ὅτι ὁ πᾶς χρυσὸς ἐν ὄψει αὐτῆς ψάμμος ὀλίγη, 9.
καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος ἐναντίον αὐτῆς. Ὑπὲρ ὑγίειαν καὶ εὐμορφίαν ἠγάπησα 10.
αὐτὴν, καὶ προειλόμην αὐτὴν ἀντὶ φωτὸς ἔχειν, ὅτι ἀκοίμητον τὸ ἐκ ταύτης φέγγος. Ἦλθε δέ 11.
μοι τὰ ἀγαθὰ ὁμοῦ πάντα μετ' αὐτῆς, καὶ ἀναρίθμητος πλοῦτος ἐν χερσὶν αὐτῆς. Εὐφράνθην 12.
δὲ ἐπὶ πάντων, ὅτι αὐτῶν ἡγεῖται σοφία, ἠγνόουν δὲ αὐτὴν γενέτιν εἶναι τούτων. Ἀδόλως τε 13.
ἔμαθον, ἀφθόνως τε μεταδίδωμι, τὸν πλοῦτον αὐτῆς οὐκ ἀποκρύπτομαι. Ἀνεκλιπὴς γὰρ θησαυ- 14.
ρός ἐστιν ἀνθρώποις, ὃν οἱ χρησάμενοι πρὸς Θεὸν ἐστείλαντο φιλίαν, διὰ τὰς ἐκ παιδείας δωρεὰς
συσταθέντες. Ἐμοὶ δὲ δῴη ὁ Θεὸς εἰπεῖν κατὰ γνώμην, καὶ ἐνθυμηθῆναι ἀξίως τῶν δεδομένων, 15.
ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής. Ἐν γὰρ χειρὶ αὐτοῦ καὶ ἡμεῖς 16.
καὶ οἱ λόγοι ἡμῶν, πᾶσά τε φρόνησις καὶ ἐργατειῶν ἐπιστήμη. Αὐτὸς γάρ μοι ἔδωκε τῶν ὄντων 17.
γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων, Ἀρχὴν καὶ τέλος καὶ μεσότητα 18.

αὐτὴ περιερχ. 55. ∧ αὔτη 253. φαντάζ. αὐτοῖς] φανταζ. αυτους 23, 106, 157, (253. in marg. αυτοις m. rec.) 261. ὑπαντᾷ αὐτοῖς] απαντα αυτοις 23, 55, 106, 155, 248, 253, 261. Compl. Alex.

XVII. ἡ ἀληθεστάτη] ∧ ἡ 155, 157.

XVIII. νόμων αὐτῆς] ∧ αυτης 253. προσ. δὲ νόμων] προσ. δε νομου 157. ∧ δὲ Athan. i. 41. βεβαίωσις] ∧ 106.

XIX. Θεοῦ] præmitt. του 106.

XX. Ἐπιθυμία ἄρα] επιθυμια γαρ 106, 155, 157, (253. in marg. αρα m. rec.) 254, 261, 296. επιθυμια γαρ αρα 248. Compl.

XXI. Εἰ οὖν ἥδεσθε] εἰ συνηδεσθαι 155. τύραννοι] ὦ τυραννοι 23, 55, 254. βασιλεύσητε] ζησιται και βασιλευσιτε (ſic) 155.

XXII. καὶ πῶς ἐγένετο] + εν ανθρωποις 248. ἀπαγγελῶ] præmitt. εγω 253. Euſeb. Præp. Evang. p. 532. ἀλλ' ἀπ' ἀρχῆς] ἀλλὰ ἐπ' ἀρχῆς Ald. ἀλλ' ἐξ ἀρχῆς Euſeb. Præp. Evang. p. 321. 532.

XXIII. Οὔτε μὴν] ουδε μη 106, 261. ὅτι οὗτος] ὁ τοιουτος 106. οτι ὁ τοιουτος 253. κοινωνήσει] κοινωνει 23, 55, 157. Alex. σοφίᾳ] σοφιαν 261.

XXV. Ὥστε παιδεύεσθε] ωστε παιδευθητε 106.

I. Εἰμὶ μὲν] εἰ μὴ μὲν 261. ἴσος ἅπασι] ∧ ισος 261.

II. ἐγλύφην] ἐλήφθη Ald. δεκαμ. χρόνῳ] ∧ χρόνῳ Ald. καὶ ἡδονῆς] μὴ ἡδονῆς Ald. ὕπνῳ] υπνου 23, 106, 253, 261.

III. τὸν κοινὸν ἀέρα] τον κοινον ημιν αερα 248. Compl. κατέπεσον] κατεπεσα 248. Compl. πᾶσιν] απασιν 106, 253, 261. Chryſoſt. iii. 80. ἴσα] ιασα 23. ἦσα (ſic) 248. ἦχα Compl. Alex.

IV. ἀνετράφην] ανεστραφην III, 157. καὶ ἐν φροντίσιν] ∧ εν 55, 106, 253, 254, 296. Alex.

V. βασιλεὺς] βασιλεων 55, 106, 261, 296. Alex.

VI. Μία δὲ] μια τε 23. Μία δὲ πάντων εἴσοδος εἰς τὸν βίον] μία πᾶσιν ἐπὶ τὸν βίον ἡ εἴσοδος Greg. Nyſſ. ii. 56. εἰς τὸν βίον] εις τον κοσμον 157.

VII. καὶ φρόνησις—ἐπεκαλεσάμην] ∧ cum intermed. 261.

VIII. ἐν συγκρίσει] εν κρισει 106.

IX. αὐτῇ] αυτην III, 261. λίθον ἀτίμητον] λιθον τιμιον 248, 253. Compl. ὁ πᾶς] ∧ ὁ 106, 261. ψάμμος] præmitt. ως 23, 248, 296. ἄργυρος] αργυριον 106, 157. ἐναντίον αὐτῆς] ενωπιον αυτης 23. tr. 157.

X. Ὑπὲρ ὑγίειαν] υπερ υγειαν 261. καὶ προειλόμην] και προειλαμην 23, 248. Compl. Alex.

XII. ἐπὶ πάντων] επι πασιν 55, 106, 248, 253, 254, 296. Compl. Alex. γενέτιν] γενεσιν 23, 253. (Ald. ſcr. γένησιν.) γενετην 261.

XIII. ἀφθόνως τε] ∧ τε Ald. τὸν πλοῦτον αὐτῆς] του πλουτον αυτου 261. οὐκ ἀποκρύπτομαι] ουκ αποκρυψομαι 106, 261.

XIV. Ἀνεκλιπὴς γὰρ] ανελλιπης γαρ εστιν 106, 157. ανεκλιπως γαρ 261. ἀνεκλειπὴς Compl. θησαυρός ἐστιν] ∧ 106. ∧ εστιν 157. ∧ θησαυρος 261. ὃν οἱ χρησάμ.] ὧ οἱ χρησαμ. 23, 253. χρησάμενοι] κτησαμενοι 55, 106, 157, 254, 261, 296. Alex. ἐστείλαντο φιλίαν] εκτησαντο φιλιαν 55. ἐκ παιδείας] ∧ ἐκ Ald. συσταθέντες] ου σταθεντες 106, 261.

XV. Ἐμοὶ δὲ δῴη] ἐμοὶ δὲ δέδωκεν Compl. ἐμοὶ δέδωκεν Ald. ἀξίως] αξιον 261. τῶν δεδομένων] των λεγομενων 23, 55, 106, 254, 261, 296. Alex. των διδομενων 253. Compl.

XVI. καὶ ἐργατειῶν] και εργατων 106. καὶ ἐργασιῶν Origen. i. 123.

XVII. ἔδωκε] δέδωκεν Clem. Alex. p. 430. γνῶσιν ἀψευδῆ] γνωσιν ψευδη 23.

ΚΕΦ. VII.

19. 20. χρόνων, τροπῶν ἀλλαγὰς καὶ μεταβολὰς καιρῶν, Ἐνιαυτῶν κύκλους καὶ ἀστέρων θέσεις, Φύσεις
ζώων καὶ θυμοὺς θηρίων, πνευμάτων βίας καὶ διαλογισμοὺς ἀνθρώπων, διαφορὰς φυτῶν καὶ δυνά-
21. 22. μεις ῥιζῶν, Ὅσα τέ ἐστι κρυπτὰ καὶ ἐμφανῆ, ἔγνων. Ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία·
ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερὸν, ἅγιον, μονογενὲς, πολυμερὲς, λεπτὸν, εὐκίνητον, τρανὸν, ἀμό-
23. λυντον, σαφὲς, ἀπήμαντον, φιλάγαθον, ὀξὺ, ἀκώλυτον, εὐεργετικὸν, Φιλάνθρωπον, βέβαιον,
ἀσφαλὲς, ἀμέριμνον, παντοδύναμον, πανεπίσκοπον, καὶ διὰ πάντων χωροῦν πνευμάτων νοερῶν,
24. καθαρῶν, λεπτοτάτων. Πάσης γὰρ κινήσεως κινητικώτερον σοφία, διήκει δὲ καὶ χωρεῖ διὰ πάν-
25. των διὰ τὴν καθαρότητα. Ἀτμὶς γάρ ἐστι τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ ἀπόῤῥοια τῆς τοῦ παντο-
26. κράτορος δόξης εἰλικρινής· διὰ τοῦτο οὐδὲν μεμιαμμένον εἰς αὐτὴν παρεμπίπτει. Ἀπαύγασμα γάρ
ἐστι φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ Θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ.
27. Μία δὲ οὖσα πάντα δύναται, καὶ μένουσα ἐν αὐτῇ τὰ πάντα καινίζει, καὶ κατὰ γενεὰς εἰς ψυ-
28. χὰς ὁσίας μεταβαίνουσα, φίλους Θεοῦ καὶ προφήτας κατασκευάζει. Οὐθὲν γὰρ ἀγαπᾷ ὁ Θεὸς,
29. εἰ μὴ τὸν σοφίᾳ συνοικοῦντα. Ἔστι γὰρ αὕτη εὐπρεπεστέρα ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἄστρων θέσιν,
30. φωτὶ συγκρινομένη εὑρίσκεται προτέρα. Τοῦτο μὲν γὰρ διαδέχεται νὺξ, σοφίας δὲ οὐκ ἀντι-
σχύει κακία.

ΚΕΦ. VIII.

1. 2. ΔΙΑΤΕΙΝΕΙ δὲ ἀπὸ πέρατος εἰς πέρας εὐρώστως, καὶ διοικεῖ τὰ πάντα χρηστῶς. Ταύτην ἐφί-
λησα καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ, καὶ ἐραστὴς ἐγε-
3. νόμην τοῦ κάλλους αὐτῆς. Εὐγένειαν δοξάζει συμβίωσιν Θεοῦ ἔχουσα, καὶ ὁ πάντων δεσπότης ἠγά-
4. 5. πησεν αὐτήν. Μύστις γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ. Εἰ δὲ πλοῦ-
6. τός ἐστιν ἐπιθυμητὸν κτῆμα ἐν βίῳ, τί σοφίας πλουσιώτερον τῆς τὰ πάντα ἐργαζομένης; Εἰ δὲ
7. φρόνησις ἐργάζεται, τίς αὐτῆς τῶν ὄντων μᾶλλόν ἐστι τεχνίτης; Καὶ εἰ δικαιοσύνην ἀγαπᾷ τις,
οἱ πόνοι ταύτης εἰσὶν ἀρεταί· σωφροσύνην γὰρ καὶ φρόνησιν ἐκδιδάσκει, δικαιοσύνην καὶ ἀνδρίαν,
8. ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα
καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα
9. προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων. Ἔκρινα τοίνυν ταύτην ἀγαγέσθαι πρὸς συμβί-
10. ωσιν, εἰδὼς ὅτι ἔσται μοι σύμβουλος ἀγαθῶν, καὶ παραίνεσις φροντίδων καὶ λύπης. Ἕξω δι' αὐ-
11. τὴν δόξαν ἐν ὄχλοις, καὶ τιμὴν παρὰ πρεσβυτέροις ὁ νέος. Ὀξὺς εὑρεθήσομαι ἐν κρίσει, καὶ ἐν
12. ὄψει δυναστῶν θαυμασθήσομαι. Σιγῶντά με περιμενοῦσι, καὶ φθεγγομένῳ προσέξουσι, καὶ λαλοῦν-

XVIII. καιρῶν] ∧ 106, 261.

XIX. Ἐνιαυτῶν] ενιαυτου 55, 157, 248, 253, 254, 296. Compl. Alex. Euseb. Præp. Evang. p. 521. ενιαυτον 261. θέσεις] συνθεσεις 55. δρομους 248.

XX. πνευμάτων βίας] ανθρωπων βιας 55. διαφορὰς φυτῶν] præmitt. καὶ Euseb. l. cit.

XXI. Ὅσα τέ ἐστι] καὶ ὅσα ἐστὶ Euseb. Præp. Evang. p. 532. ἐμφανῆ] ἀφανῆ Alex. Euseb. Præp. Evang. p. 521.

XXII. ἔστι γὰρ ἐν αὐτῇ] ἔστι γὰρ αὕτη 55, 106, 157, 254, 296. Euseb. Præp. Evang. p. 321. ∧ εν 261. ἔστι γὰρ αὐτὴ Alex. εὐκίνητον] ου κινητον (scr. κεινητον) 23. ἀκώλυτον] ακωλυντον 23.

XXIII. παντοδύναμον] παντοδυνάμενον Euseb. l. cit. πανεπίσκοπον] παντεπισκοπον 106, 254, 296. Alex. νοερῶν] νοερὸν 261. καθαρῶν] καθαρον 106. καθαρωτατον 261. λεπτοτάτων] λεπτοτατον 106, 261.

XXIV. τὴν καθαρότητα] την καθαριοτητα 23, 261. Ald.

XXV. εἰλικρινής] ειλικρινειας III. διὰ τοῦτο &c. ad fin. com.] οὐδὲν γὰρ εἰς αὐτὴν σκοτεινὸν ἐμπίπτει. Origen. iii. 2. διὸ οὐδὲν μεμολυσμένον εἰς αὐτήν. Euseb. l. cit. οὐδὲν μεμιαμμένον] ουδεν μεμιασμενον 248. Compl. εἰς αὐτὴν] εν αυτη 157. παρεμπίπτει] παραπιπτει 261.

XXVII. Μία δὲ] μία γὰρ Chrysost. vi. 374. ἐν αὐτῇ] εν εαυτη 23, 55, 253, 254. Compl. Alex. τὰ πάντα] ∧ τὰ Alex. εἰς ψυχὰς ὁσίας] εις ψυχας οσιων 296.

XXVIII. Οὐθὲν] οὐδένα Alex. ἀγαπᾷ ὁ Θεὸς] ὁ Θεος αγαπα 55, 254, 296. Alex. ∧ ὁ Ald.

XXIX. προτέρα] λαμπροτερα 106, 261.

XXX. διαδέχεται] διεχεται 261. νὺξ] præmitt. ἡ 106. σοφίας δὲ] σοφιαν δε 55, 254. Alex. οὐκ ἀντισχύει] ου κατισχυσει 248, 261. Compl. ου κατισχυει 253, 254, 296.

I. Διατείνει—εἰς πέρας] ἐκτείνει ἀπὸ περάτων ἕως εἰς πέρατα 11 Codices Sergii. εἰς πέρας] επι περας 55, 253. Alex. εὐρώστως] εὐρωστερος Ald. καὶ διοικεῖ] ∧ και 55. και διοικειται 157. Alex. Euseb. Præp. Evang. p. 532. καὶ διοικεῖ τὰ] και διοικειται 23.

II. καὶ ἐξεζήτησα] και εζητησα 261.

III. συμβίωσιν Θεοῦ] συμβιωσιν Θεω 261.

IV. Μύστις γάρ] μυστης γαρ 261. καὶ αἱρετὶς] και ευρετις 55, 106. Alex. και ευρετης 261.

V. τὰ πάντα] ∧ τα 296.

VI. ἐργάζεται] + τι 55, 253, 254. ἐράζεται Alex. τίς αὐτῆς—ἐστι] τίς ὑπὲρ αὐτὴν ἐκ πάντων ἐσομένου ἢ Codex unus Sergii. αὐτῆς τῶν ὄντων] τῶν ὄντων αὐτῆς Compl. τεχνίτης] τεχνιτις 106.

VII. οἱ πόνοι ταύτης] οἱ πονοι αυτης 106. σωφροσ. γὰρ καὶ φρόν.] σωφροσ. τε και φρον. 23, σωφροσύνη γὰρ καὶ φρόνησις Clem. Alex. p. 788. ἐκδιδάσκει] ἐνδιδάσκει Ald.

VIII. πολυπειρίαν] πολυπειραν III. εἰκάζειν] εικαζει 23, 157, 248, 261. Compl. Alex. Clem. Alex. p. 775.

IX. ταύτην ἀγαγ.] tr. 296. ἀγαγέσθαι ταύτην ἐμαυτῷ (cum ἐμαυτῷ in charact. minore) Alex. ἀγαγέσθαι] + εμαυτω 106, 248. Compl. + εν αυτω 261.

X. δι' αὐτὴν δόξαν] δια την δοξαν 261. ἐν ὄχλοις] εν οχλω 157. παρὰ πρεσβυτέροις ὁ νέος. Ὀξὺς] παρα πρεσβυτεροις· ὁ νεος οξυς 106.

XII. προσέξουσι] προσαξουσι 261. καὶ λαλοῦντος] και λαλουντι 106. ἐπιπλεῖον] επι πλεον 157. χεῖρα ἐπιθήσουσιν] tr. 23. χειρας επιθησουσιν 55, 157, 253.

ΚΕΦ. VIII.

τος ἐπικλεῖον, χεῖρα ἐπιθήσουσιν ἐπὶ στόμα αὐτῶν. Ἔξω δι' αὐτὴν ἀθανασίαν, καὶ μνήμην αἰ- 13.
ώνιον τοῖς μετ' ἐμὲ ἀπολείψω. Διοικήσω λαοὺς, καὶ ἔθνη ὑποταγήσεταί μοι. Φοβηθήσονταί με 14. 15.
ἀκούσαντες τύραννοι φρικτοὶ, ἐν πλήθει φανοῦμαι ἀγαθὸς, καὶ ἐν πολέμῳ ἀνδρεῖος. Εἰσελθὼν 16.
εἰς τὸν οἶκόν μου προσαναπαύσομαι αὐτῇ· οὐ γὰρ ἔχει πικρίαν ἡ συναναστροφὴ αὐτῆς, οὐδὲ ὀδύ-
νην ἡ συμβίωσις αὐτῆς, ἀλλὰ εὐφροσύνην καὶ χαράν. Ταῦτα λογισάμενος ἐν ἐμαυτῷ, καὶ φρον- 17.
τίσας ἐν καρδίᾳ μου, ὅτι ἐστὶν ἀθανασία ἐν συγγενείᾳ σοφίας, Καὶ ἐν φιλίᾳ αὐτῆς τέρψις ἀγα- 18.
θὴ, καὶ ἐν πόνοις χειρῶν αὐτῆς πλοῦτος ἀνεκλιπὴς, καὶ ἐν συγγυμνασίᾳ ὁμιλίας αὐτῆς φρόνησις,
καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς, περιήειν ζητῶν ὅπως λάβω αὐτὴν εἰς ἐμαυτόν. Παῖς δὲ 19.
ἤμην εὐφυὴς, ψυχῆς τε ἔλαχον ἀγαθῆς, Μᾶλλον δὲ ἀγαθὸς ὢν ἦλθον εἰς σῶμα ἀμίαντον. Γνοὺς 20. 21.
δὲ ὅτι οὐκ ἄλλως ἔσομαι ἐγκρατὴς, ἐὰν μὴ ὁ Θεὸς δῷ, καὶ τοῦτο δ' ἦν φρονήσεως τὸ εἰδέναι τίνος ἡ
χάρις, ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης τῆς καρδίας μου.

ΚΕΦ. IX.

ΘΕΕ πατέρων καὶ Κύριε τοῦ ἐλέους σου, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, Καὶ τῇ σοφίᾳ σου 1. 2.
κατεσκεύασας ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, Καὶ διέπῃ τὸν κόσμον 3.
ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, καὶ ἐν εὐθύτητι ψυχῆς κρίσιν κρίνῃ· Δός μοι τὴν τῶν σῶν θρόνων 4.
πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου. Ὅτι ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς 5.
παιδίσκης σου, ἄνθρωπος ἀσθενὴς καὶ ὀλιγοχρόνιος, καὶ ἐλάσσων ἐν συνέσει κρίσεως καὶ νόμων.
Κἂν γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων, τῆς ἀπὸ σοῦ σοφίας ἀπούσης, εἰς οὐδὲν λογισθήσεται. 6.
Σύ με προείλω βασιλέα λαοῦ σου, καὶ δικαστὴν υἱῶν σου καὶ θυγατέρων. Εἶπας οἰκοδομῆσαι 7. 8.
ναὸν ἐν ὄρει ἁγίῳ σου, καὶ ἐν πόλει κατασκηνώσεώς σου θυσιαστήριον, μίμημα σκηνῆς ἁγίας ἣν
προητοίμασας ἀπ' ἀρχῆς. Καὶ μετὰ σοῦ ἡ σοφία ἡ εἰδυῖα τὰ ἔργα σου, καὶ παροῦσα ὅτε ἐποί- 9.
εις τὸν κόσμον, καὶ ἐπισταμένη τί ἀρεστὸν ἐν ὀφθαλμοῖς σου, καὶ τί εὐθὲς ἐν ἐντολαῖς σου. Ἐξαπό- 10.
στειλον αὐτὴν ἐξ ἁγίων οὐρανῶν, καὶ ἀπὸ θρόνου δόξης σου πέμψον αὐτὴν, ἵνα συμπαροῦσά μοι κο-
πιάσῃ, καὶ γνῶ τι εὐάρεστόν ἐστι παρὰ σοί. Οἶδε γὰρ ἐκείνη πάντα καὶ συνιεῖ, καὶ ὁδηγήσει με 11.
ἐν ταῖς πράξεσί μου σωφρόνως, καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς. Καὶ ἔσται προσδεκτὰ τὰ ἔργα 12.
μου, καὶ διακρινῶ τὸν λαόν σου δικαίως, καὶ ἔσομαι ἄξιος θρόνων πατρός μου. Τίς γὰρ ἄνθρω- 13.
πος γνώσεται βουλὴν Θεοῦ; ἢ τίς ἐνθυμηθήσεται τί θέλει ὁ Κύριος; Λογισμοὶ γὰρ θνητῶν δει- 14.
λοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν. Φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχὴν, καὶ βρίθει τὸ γε- 15.
ῶδες σκῆνος νοῦν πολυφροντίδα. Καὶ μόλις εἰκάζομεν τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν 16.
μετὰ πόνου· τὰ δὲ ἐν οὐρανοῖς τίς ἐξιχνίασε; Βουλὴν δέ σου τίς ἔγνω, εἰ μὴ σὺ ἔδωκας σοφίαν, 17.

XIV. ὑποταγήσεται] υποταγησονται 106, 248, 261. Compl.

XVI. ἔχει πικρίαν] επι πικριαν 296. ἡ συναναστροφὴ αὐτῆς] παροικία αὐτῆς 5 Codices Sergii. συνοικία αὐτῆς 5 Codices Sergii. οὐδὲ ὀδύνην ἡ συμβ. αὐτῆς] ∧ 106, 261. ἡ συμβίωσις αὐτῆς] ∧ αυτης 254.

XVII. ἐν ἐμαυτῷ] ∧ εν 106. ἐστὶν ἀθανασία] tr. 23, 55, 157, 248, 253, 254. Compl. Alex. ἐστὶν ἀθανασία ἐν συγγενείᾳ] αθανασια εστιν ἡ συγγενεια 106. ἐν συγγενείᾳ] εν ευγενεια 248. ἡ συγκαινία (sic) 261.

XVIII. ἐν φιλίᾳ αὐτῆς] εν φιλια σοφιας 253. τέρψις ἀγαθὴ —ὁμιλίας αὐτῆς] ∧ cum intermed. 261. καὶ ἐν πόνοις] ∧ εν 157. χειρῶν αὐτῆς] εργων χειρων αυτης 23, 253. πλοῦτος ἀνεκλιπὴς] πλουτος ανελλιπης 106, 157. καὶ ἐν συγγυμνασίᾳ] και εν γυμνασια 157. ὁμιλίας] ομιλια 106, 157. ἐν κοινωνίᾳ] ∧ εν 23. περιήειν] περιηει 261. ζητῶν] + αυτην 23. ∧ 157. εἰς ἐμαυτόν] προς εμαυτον 106, 157, 261. Compl.

XIX. ψυχῆς τε] ψυχης δε 55, 106, 261.

XXI. φρονήσεως] + τελειοτης 55, 254. ἡ χάρις] ἣ χάρις (cum ἣ in charact. minore) Alex.

I. πατέρων] πατερ 261. τοῦ ἐλέους σου] ∧ σου 106, 248, 254, 261. Compl.

II. κατεσκεύασας] κατασκευασας 55, 106, 157, 248, 253, 254, 261, 296. Compl. Ald. Alex. ἄνθρωπον] præmitt. τον 248, 261. Compl. Ald. Athan. i. 406. Basil. M. i. 297.

III. κρίσιν κρίνῃ] κρισιν κριναι 157. κρισιν κρινει 296.

VI. Κἂν γάρ τις] εαν γαρ τις 55, 157. ᾖ τέλειος] ειη τελειος 106, 261. ᾖ τέλειος ἐν πίστει Origen. iii. 467. (Cf. i. 639. et quæ sequuntur in loc. cit.) ἀπὸ σοῦ] παρὰ σοῦ Chrysost. vi. 434. σοφίας ἀπούσης] δυνάμεως ἀπούσης Origen. l. cit.

VII. Σύ με προείλω] συ προειλου με (marg. ab al. m. προεκρινας) 106. προείλω] προειλου 23, 55, 157, 248. Compl. καὶ θυγατέρων] + σου in charact. minore Alex.

VIII. κατασκηνώσεώς σου] κατασκηνεσεως σου III. ἣν προητοίμ.] ἧς προητοιμ. 55, 254.

IX. ἡ εἰδυῖα] ∧ ἡ 106, 261. ὅτε ἐποίεις] ὅτε ἐποίης τε (sic) 248. ἐν ὀφθαλμοῖς σου] ενωπιον σου 248. καὶ τί εὐθὲς] και τι αρεστον και ευθες 157.

X. ἐξ ἁγίων οὐρανῶν] εξ αγιων σου ουρανων 157. καὶ ἀπὸ θρόνου] και απο θρονων 157. κοπιάσῃ] ∧ 106, 261. εὐάρεστόν ἐστι] ∧ εστι 106. αρεστον εστι 296.

XI. πάντα] τα παντα 55, 106, 248, 254, 261.

XIII. Τίς γὰρ ἄνθρωπος] τις γαρ ανθρωπων 248. Compl. ὁ Κύριος] ὁ Θεός Compl. Ald.

XIV. Λογισμοὶ] præmitt. ἐπεὶ Origen. i. 196. θνητῶν] ἀνθρώπων Chrysost. i. 277. et al. Theodoret. ii. 5. αἱ ἐπίνοιαι ἡμῶν] αἱ ἐπίνοιαι αὐτῶν Chrysost. Theodoret. l. cit.

XV. καὶ βρίθει] και βρυθει 261. σκῆνος] σωμα 106, 261.

XVI. Καὶ μόλις] και μογις 261. Alex. Origen. l. cit. καὶ τὰ —μετὰ πόνου] ∧ cum intermed. Origen. l. cit. ἐν χερσὶν] εν ποσιν 23. τὰ δὲ ἐν οὐρανοῖς] τα τε εν ουρανοις 248. τίς ἐξιχνίασε] τις εξιχνιασει 106, 261.

XVII. σὺ ἔδωκας] σὺ δέδωκας Ald.

ΣΟΦΙΑ ΣΑΛΩΜΩΝ.

ΚΕΦ. IX.

18. καὶ ἔπεμψας τὸ ἅγιόν σου πνεῦμα ἀπὸ ὑψίστων; Καὶ οὕτως διωρθώθησαν αἱ τρίβοι τῶν ἐπὶ γῆς,
καὶ τὰ ἀρεστά σου ἐδιδάχθησαν ἄνθρωποι, καὶ τῇ σοφίᾳ ἐσώθησαν.

ΚΕΦ. X.

1. ΑΥΤΗ πρωτόπλαστον πατέρα κόσμου μόνον κτισθέντα διεφύλαξε, καὶ ἐξείλατο αὐτὸν ἐκ πα-
2. 3. ραπτώματος ἰδίου, Ἔδωκέ τε αὐτῷ ἰσχὺν κρατῆσαι ἁπάντων. Ἀποστὰς δὲ ἀπ' αὐτῆς ἄδικος ἐν
4. ὀργῇ αὐτοῦ, ἀδελφοκτόνοις συναπώλετο θυμοῖς, Δι' ὃν κατακλυζομένην γῆν πάλιν διέσωσε σοφία,
5. δι' εὐτελοῦς ξύλου τὸν δίκαιον κυβερνήσασα. Αὕτη καὶ ἐν ὁμονοίᾳ πονηρίας ἐθνῶν συγχυθέντων
εὗρε τὸν δίκαιον, καὶ ἐτήρησεν αὐτὸν ἄμεμπτον Θεῷ, καὶ ἐπὶ τέκνου σπλάγχνοις ἰσχυρὸν ἐφύλα-
6. ξεν. Αὕτη δίκαιον, ἐξαπολλυμένων ἀσεβῶν, ἐῤῥύσατο φυγόντα πῦρ καταβάσιον Πενταπόλεως·
7. Οἷς ἐπὶ μαρτύριον τῆς πονηρίας καπνιζομένη καθέστηκε χέρσος, καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα
8. φυτά· ἀπιστούσης ψυχῆς μνημεῖον ἑστηκυῖα στήλη ἁλός. Σοφίαν γὰρ παροδεύσαντες οὐ μόνον ἐβλά-
βησαν τοῦ μὴ γνῶναι τὰ καλὰ, ἀλλὰ καὶ τῆς ἀφροσύνης ἀπέλιπον τῷ βίῳ μνημόσυνον, ἵνα ἐν οἷς
9. ἐσφάλησαν μηδὲ λαθεῖν δυνηθῶσι. Σοφία δὲ τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐῤῥύσατο.
10. Αὕτη φυγάδα ὀργῆς ἀδελφοῦ δίκαιον ὡδήγησεν ἐν τρίβοις εὐθείαις, ἔδειξεν αὐτῷ βασιλείαν Θεοῦ,
11. καὶ ἔδωκεν αὐτῷ γνῶσιν ἁγίων, εὐπόρησεν αὐτὸν ἐν μόχθοις, καὶ ἐπλήθυνε τοὺς πόνους αὐτοῦ. Ἐν
12. πλεονεξίᾳ κατισχυόντων αὐτὸν παρέστη, καὶ ἐπλούτισεν αὐτόν. Διεφύλαξεν αὐτὸν ἀπὸ ἐχθρῶν,
καὶ ἀπὸ ἐνεδρευόντων ἠσφαλίσατο, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτῷ, ἵνα γνῷ, ὅτι παντὸς
13. δυνατωτέρα ἐστὶν εὐσέβεια. Αὕτη πραθέντα δίκαιον οὐκ ἐγκατέλιπεν, ἀλλὰ ἐξ ἁμαρτίας ἐῤῥύ-
14. σατο αὐτόν· συγκατέβη αὐτῷ εἰς λάκκον, Καὶ ἐν δεσμοῖς οὐκ ἀφῆκεν αὐτὸν, ἕως ἤνεγκεν αὐτῷ
σκῆπτρα βασιλείας καὶ ἐξουσίαν τυραννούντων αὐτοῦ· ψευδεῖς τε ἔδειξε τοὺς μωμησαμένους αὐτὸν,
15. καὶ ἔδωκεν αὐτῷ δόξαν αἰώνιον. Αὕτη λαὸν ὅσιον καὶ σπέρμα ἄμεμπτον ἐῤῥύσατο ἐξ ἔθνους θλι-
16. βόντων. Εἰσῆλθεν εἰς ψυχὴν θεράποντος Κυρίου, καὶ ἀντέστη βασιλεῦσι φοβεροῖς ἐν τέρασι καὶ
17. σημείοις. Ἀπέδωκεν ὁσίοις μισθὸν κόπων αὐτῶν, ὡδήγησεν αὐτοὺς ἐν ὁδῷ θαυμαστῇ, καὶ ἐγένετο
18. αὐτοῖς εἰς σκέπην ἡμέρας, καὶ εἰς φλόγα ἄστρων τὴν νύκτα. Διεβίβασεν αὐτοὺς θάλασσαν ἐρυ-
19. θρὰν, καὶ διήγαγεν αὐτοὺς δι' ὕδατος πολλοῦ. Τοὺς δὲ ἐχθροὺς αὐτῶν κατέκλυσε, καὶ ἐκ βάθους
20. ἀβύσσου ἀνέβρασεν αὐτούς. Διὰ τοῦτο δίκαιοι ἐσκύλευσαν ἀσεβεῖς, καὶ ὕμνησαν Κύριε τὸ ὄνομα τὸ
21. ἅγιόν σου, τήν τε ὑπέρμαχόν σου χεῖρα ᾔνεσαν ὁμοθυμαδόν. Ὅτι ἡ σοφία ἤνοιξε στόμα κωφῶν,
καὶ γλώσσας νηπίων ἔθηκε τρανάς.

XVIII. ἀρεστά σου] αρεστα σοι 248. Compl. καὶ τῇ σοφίᾳ] + σου 106, 296. και τη σῃ σοφια 254. ἐσώθησαν] εσταθησαν 55.

I. Αὕτη] αυτο 261. καὶ ἐξείλατο] και εξετεινα 68. Ald. και εξιλασατο 157.

II. Ἔδωκέ τε] εδωκε δε 106, 261. ἁπάντων] παντων 106, 157, 248, 261. Alex.

IV. Δι' ὃν] διὸ 106, 261. διέσωσε] εσωσεν 23, 55, 106, 157, 248, 253, 254, 261, 296. Compl. Alex. Origen. iv. 312.

V. πονηρίας] ∧ 157. ἐθνῶν συγχυθέντων] εθνων συσχεθεντων 261. εὗρε] εγνω 23, 55, 106, 157, 248, 253, 254, (261. ut videtur: ſcr. εγνον) 296. Compl. Alex. Origen. i. 599. καὶ ἐτήρησεν] και εφυλαξεν 23. Origen. l. cit. και ετηρησαν 261. Θεῷ] τω Θεω 261. Compl. Origen. l. cit. ἐπὶ τέκνου] επι τεκνοις 106, 261. σπλάγχνοις] σπλαγχνων 23. σπλαγχνον 106.

VI. πῦρ καταβάσιον] tr. 23, 55, 157, 248, 253, 254, 296. Compl. Alex. Chryſoſt. vi. 297. ∧ καταβασιον 106, 261.

VII. Οἷς ἐπὶ] ης εστιν 23. ἧς ετι 55, 68, 106, 157, 248, 253, 254, 261, 296. Compl. Ald. Alex. ὧν ἔτι Origen. l. cit. Οἷς ἐπὶ μαρτ. τῆς πονηρ.] αὕτη καὶ νῦν εἰς ἔτι μαρτύριον τῆς πονηρίας Chryſoſt. l. cit. ἀπιστούσης ψυχῆς] præmitt. και 106, 261. (Alex. in char. min.) μνημεῖον] μνημοσυνον 106, 261. σημειον 248.

VIII. παροδεύσαντες] + ανθρωποι 55, 254. præmitt. οὐ 261. τὰ καλὰ] αὐτὰ καλὰ Ald. τῆς ἀφροσύνης] της ευφροσυνης 106. της εαυτων αφροσυνης 157, 248. Compl. (Alex. cum ἑαυτῶν in char. minore.) ἀπέλιπον] απελειπον 248, 296. Compl. ἐν οἷς] εφ' οἷς 23.

IX. τοὺς θεραπεύσαντας] τους θεραπευοντας 55, 106, 157, 248, 253, 261, 296. Compl. Alex.

X. ἐν τρίβοις] ∧ εν 23. καὶ ἔδωκεν] και εδειξεν 106, 261. γνῶσιν ἁγίων] γνωσιν αγιου 23, 253. εὐπόρησεν] εὐπόρισεν Compl. Alex. εὐπόρ. αὐτὸν ἐν μόχθ.] εὐώδωσεν αὐτῷ ἐργασίας ἐκ μόχθων αὐτοῦ 8 Codices Sergii. τοὺς πόνους—κατισχυόντων in com. ſeq.] τους κοπους αυτου εν πλεονεξια· κατισχυοντων (ſic) 106. τοὺς πόνους αὐτοῦ] τους κοπους αυτου III, 23, 253.

XI. αὐτὸν] αυτου 261.

XII. Διεφύλαξεν] præmitt. και 23, 248. ἐβράβ. αὐτῷ] εβραβ. αυτον 261. παντὸς δυνατώτερα] tr. 106. εὐσέβεια] præmitt. ἡ 157, 248, 254, 296. Compl. Alex.

XIII. οὐκ ἐγκατέλιπεν] ουκ εγκατελειπεν 248. Compl. Alex. εἰς λάκκον] εις τον λακκον 106.

XIV. ἕως ἤνεγκεν—τυραννούντων αὐτοῦ] ∧ cum intermed. 253. σκῆπτρα βασιλείας] σκηπτρα βασιλεων 261. τυραν. αὐτοῦ] τυραν. αυτον 23, 106, 157, 254, 261. ψευδεῖς τε] ψευδεις δε 248. Compl. ψευδεῖς τε—μωμησ. αὐτὸν] ∧ (106. habet in marg. ab al. m. *et mendaces oſtendit qui maculaverunt illum.*) 261.

XV. καὶ σπέρμα ἄμεμπτον] και σπερμα οσιον 261.

XVI. βασιλεῦσι φοβεροῖς] βασιλευσιν ισχυροις και φοβεροις 106, 261.

XVII. ὁσίοις μισθὸν] tr. III, 55, 254, 296. μισθον οσιον 106, 261. + οσιοτητος 248. Compl.

XIX. κατέκλυσε] κατεκλυσαν III. ἀνέβρασεν] ανεβρυσεν 106.

XX. τὸ ὄνομα τὸ ἅγιόν σου] το αγιον ονομα σου 296. τὸ ἅγιόν σου] σου το αγιον 55, 253. ∧ το αγιον 157.

ΚΕΦ. XI.

ΕΥΩΔΩΣΕ τὰ ἔργα αὐτῶν ἐν χειρὶ προφήτου ἁγίου. Διώδευσαν ἔρημον ἀοίκητον, καὶ ἐν ἀβά- 1. 2.
τοις ἔπηξαν σκηνάς. Ἀντέστησαν πολεμίοις, καὶ ἠμύναντο ἐχθρούς. Ἐδίψησαν καὶ ἐπεκαλέ- 3. 4.
σαντό σε, καὶ ἐδόθη αὐτοῖς ἐκ πέτρας ἀκροτόμου ὕδωρ, καὶ ἴαμα δίψης ἐκ λίθου σκληροῦ. Δι' 5.
ὧν γὰρ ἐκολάσθησαν οἱ ἐχθροὶ αὐτῶν, διὰ τούτων αὐτοὶ ἀποροῦντες εὐεργετήθησαν. Ἀντὶ μὲν 6.
πηγῆς ἀεννάου ποταμοῦ αἵματι λυθρώδει ταραχθέντες Εἰς ἔλεγχον νηπιοκτόνου διατάγματος, 7.
ἔδωκας αὐτοῖς δαψιλὲς ὕδωρ ἀνελπίστως· Δείξας διὰ τοῦ τότε δίψους πῶς τοὺς ὑπεναντίους ἐκόλα- 8.
σας. Ὅτε γὰρ ἐπειράσθησαν, καίπερ ἐν ἐλέει παιδευόμενοι, ἔγνωσαν πῶς ἐν ὀργῇ κρινόμενοι 9.
ἀσεβεῖς ἐβασανίζοντο. Τούτους μὲν γὰρ ὡς πατὴρ νουθετῶν ἐδοκίμασας, ἐκείνους δὲ ὡς ἀπότομος 10.
βασιλεὺς καταδικάζων ἐξήτασας. Καὶ ἀπόντες δὲ καὶ παρόντες ὁμοίως ἐτρύχοντο. Διπλῆ γὰρ 11. 12.
αὐτοὺς ἔλαβε λύπη, καὶ στεναγμὸς μνημῶν τῶν παρελθουσῶν. Ὅτε γὰρ ἤκουσαν διὰ τῶν ἰδίων κο- 13.
λάσεων εὐεργετουμένους αὐτούς, ᾔσθοντο τοῦ Κυρίου. Τὸν γὰρ ἐν ἐκθέσει πάλαι ῥιφέντα ἀπεῖπον 14.
χλευάζοντες, ἐπὶ τέλει τῶν ἐκβάσεων ἐθαύμασαν, οὐχ ὅμοια δικαίοις διψήσαντες. Ἀντὶ δὲ λο- 15.
γισμῶν ἀσυνέτων ἀδικίας αὐτῶν, ἐν οἷς πλανηθέντες ἐθρήσκευον ἄλογα ἑρπετὰ καὶ κνώδαλα εὐ-
τελῆ, ἐπαπέστειλας αὐτοῖς πλῆθος ἀλόγων ζώων εἰς ἐκδίκησιν, Ἵνα γνῶσιν ὅτι δι' ὧν τις ἁμαρ- 16.
τάνει, διὰ τούτων κολάζεται. Οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σου χεὶρ καὶ κτίσασα τὸν κόσμον 17.
ἐξ ἀμόρφου ὕλης, ἐπιπέμψαι αὐτοῖς πλῆθος ἄρκων, ἢ θρασεῖς λέοντας, Ἢ νεοκτίστους θυμοῦ 18.
πλήρεις θῆρας ἀγνώστους, ἤτοι πυρπνόον φυσῶντας ἄσθμα, ἢ βρόμους λικμωμένους καπνοῦ, ἢ δει-
νοὺς ἀπ' ὀμμάτων σπινθῆρας ἀστράπτοντας· Ὧν οὐ μόνον ἡ βλάβη ἠδύνατο συνεκτρίψαι αὐτούς, 19.
ἀλλὰ καὶ ἡ ὄψις ἐκφοβήσασα διολέσαι. Καὶ χωρὶς δὲ τούτων, ἑνὶ πνεύματι πεσεῖν ἐδύναντο ὑπὸ 20.
τῆς δίκης διωχθέντες, καὶ λικμηθέντες ὑπὸ πνεύματος δυνάμεώς σου· ἀλλὰ πάντα μέτρῳ καὶ
ἀριθμῷ καὶ σταθμῷ διέταξας. Τὸ γὰρ μεγάλως ἰσχύειν πάρεστί σοι πάντοτε, καὶ κράτει βρα- 21.
χίονός σου τίς ἀντιστήσεται; Ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων ὅλος ὁ κόσμος ἐναντίον σου, καὶ ὡς ῥανὶς 22.
δρόσου ὀρθρινὴ κατελθοῦσα ἐπὶ γῆν. Ἐλεεῖς δὲ πάντας, ὅτι πάντα δύνασαι, καὶ παρορᾷς ἁμαρ- 23.
τήματα ἀνθρώπων εἰς μετάνοιαν. Ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα, καὶ οὐδὲν βδελύσσῃ ὧν ἐποίησας, 24.
οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας. Πῶς δὲ ἔμεινεν ἄν τι εἰ μὴ σὺ ἠθέλησας; ἢ τὸ μὴ κληθὲν 25.
ὑπὸ σοῦ διετηρήθη; Φείδῃ δὲ πάντων, ὅτι σά ἐστι, Δέσποτα φιλόψυχε. 26.

ΚΕΦ. XII.

ΤΟ γὰρ ἄφθαρτόν σου πνεῦμά ἐστιν ἐν πᾶσι. Διὸ τοὺς παραπίπτοντας κατ' ὀλίγον ἐλέγχεις, 1. 2.

I. τὰ ἔργα αὐτῶν] τα εργα αυτου III. προφήτου ἁγίου] προφητων αγιων III.

III. ἠμύναντο ἐχθρούς] tr. 23, 55, 106, 157, 248, 253, 254, 296. Compl. Alex.

V. Δι' ὧν γὰρ] ‸ γαρ 106, 261. ἀποροῦντες] αποπουντων 261.

VI. Ἀντὶ μὲν] præmitt. ων 23. λυθρώδει] λυτρώδει Ald. λυθρ. ταραχθ.] λυθρω διαταραχθεντες 23. ταραχθέντες] ταραχθεντος 157, 253. Alex.

VII. Εἰς ἔλεγχον] εις επαινον 106, 261. δαψιλὲς] ‸ 106, 261.

IX. Ὅτε γὰρ] οτι γαρ 106. πῶς ἐν ὀργῇ &c. ad fin. com.] πῶς ὀργῇ ἐπαιδεύθησαν ἀσεβεῖς Codex unus Sergii. ἐν ὀργῇ] μετ' οργης 23, 106, 253, 261. κρινόμενοι ἀσεβεῖς] κρινομενοι εγνωντο πως μετ' οργης κρινομενοι ασεβεις 261.

X. Τούτους μὲν—ἐδοκίμασας] ‸ cum intermed. (106. in marg. habetur ab al. m. *hos quidem tanquam pater monens probasti.*) 261. ἐκείνους δὲ] εκεινοις δε 106, 261.

XII. μνημῶν] μνημη 296. τῶν παρελθουσῶν] των παρελθοντων 23, 106, 157, 248, 261, 296. Compl. Alex. των παρεληλυθοτων 55, 254.

XIII. εὐεργετουμένους] ευηργετημενους 55. Alex. ᾔσθοντο τοῦ Κυρίου] ησθοντος σου Κυριε 23. ησθοντο σου Κυριε 253.

XIV. Τὸν γὰρ] ὃν γαρ 55, (106. ante ὃν sunt 3 puncta ab al. m. et in marg. sic: *amirantes in finem exitus.*) 248. Compl. Alex. Τὸν γὰρ—πάλαι] ὃν γὰρ ἐν ἐχθὲς ἢ πάλαι (sic) 254. πάλαι] παλιν 23. παλαια 157. ἀπεῖπον] απιπον (sic) 23. ἐθαύμασαν] ἐθαύμαζον Alex. διψήσαντες] ψηφισαντες 106, 261.

XV. ἐθρήσκευον] εθρησκευσαν 296. κνώδαλα] κλωδαλα III. γνώδαλα Ald. ἐπαπέστειλας] ἐπαποστεῖλαι 106, 261.

XVI. δι' ὧν τις ἁμαρτ.] δι' ὧν καὶ τις ἁμαρτ. Athan. i. 1025. et al. ἁμαρτάνει, διὰ τούτων κολάζεται] ‸ 261. κολάζεται] præmitt. και 23, 253. Athan. l. cit.

XVII. καὶ κτίσασα] ἡ και κτισασα 23, ἡ κτισασα 106, 261. πλῆθος ἄρκων] præmitt. ἢ 296. Alex.

XVIII. Ἢ νεοκτίστους] ἢ νεοκτιστου III, 106, 157, 248. Compl. πλήρεις] πληρης 106. πυρπνόον] πυρφόρον 106. πυρφορων 261. πυρ πνεον 296. φυσῶντας] φυσωντα 261. ἄσθμα] ασθματα 261. ἢ βρόμους] ἢ βρομον 23, 55, 253, 254, 296. Compl. ἢ βρομων (scr. βρωμων) 106, 261. λικμωμένους] λικμωμενου 248. Compl.

XIX. συνεκτρίψαι] εκτριψαι 55, (106, 261. scr. εκτρεψαι) 157, 248, 254, 296. Alex.

XX. ἑνὶ πνεύματι] εν πνευματι 55. præmitt. εν 253. (Alex. in charact. minore.) ἐδύναντο] ηδυνατο 157. διωχθ. καὶ λικμηθ.] λικμηθ. και διωχθ. 106. καὶ ἀριθμῷ] ‸ 106. καὶ σταθμῷ] ‸ 261.

XXI. πάρεστί σοι] tr. 23, 55, 157, 248, 253, 254, 296. Compl. Alex. παρεστη σοι 261. ἀντιστήσεται] υποστησεται 55, 254.

XXII. ὀρθρινὴ] ορθρινης 55, 254. ἐπὶ γῆν] επι γης 106, 261. επι την γην 157, 248, 296. Compl.

XXIII. Ἐλεεῖς δὲ] ἐλεεῖς γὰρ Chrysost. xi. 225. πάντα δύνασαι] tr. 106. καὶ παρορᾷς—πάντα in com. seq.] ‸ cum intermed. (supplentur in marg. ab al. m. *absque ullo discrimine*) 106.

XXIV. καὶ οὐδὲν] και ουδενα III. οὐδὲ γὰρ ἂν] ‸ αν 157.

XXV. ἔμεινεν] διεμεινεν 106, 253, 261. Alex. ἢ τὸ μὴ κληθὲν] ἢ τὸ μὴ βληθὲν Didym. de Trin. p. 149. διετηρήθη] πως αν διετηρηθη 23, 55, 253, 254.

XXVI. πάντων] παντα 261. ὅτι σά ἐστι] οτι σα εστι παντα 55, 157, 254, 296. Alex. Origen. i. 521. ὅτι πάντα σά ἐστιν Didym. de Trin. l. cit.

I. Τὸ γὰρ ἄφθαρτον] καὶ τὸ ἄφθαρτον Didym. de Trin. l. cit. et al. ἐν πᾶσι] ‸ ἐν Compl.

ΣΟΦΙΑ ΣΑΛΩΜΩΝ.

ΚΕΦ. XII.
καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς, ἵνα ἀπαλλαγέντες τῆς κακίας πιστεύσωσιν ἐπὶ
3. 4. σὲ Κύριε. Καὶ γὰρ τοὺς παλαιοὺς οἰκήτορας τῆς ἁγίας σου γῆς μισήσας, Ἐπὶ τῷ ἔχθιστα πράσ-
5. σειν ἔργα φαρμακειῶν, καὶ τελετὰς ἀνοσίους, Τέκνων τε φονέας ἀνελεήμονας, καὶ σπλαγχνοφά-
6. γων ἀνθρωπίνων σαρκῶν θοίναν, καὶ αἵματος Ἐκ μέσου μυσταθείας σου, καὶ αὐθέντας γονεῖς ψυ-
7. χῶν ἀβοηθήτων, ἐβουλήθης ἀπολέσαι διὰ χειρῶν πατέρων ἡμῶν· Ἵνα ἀξίαν ἀποικίαν δέξηται Θεοῦ
8. παίδων ἡ παρὰ σοὶ πασῶν τιμιωτάτη γῆ. Ἀλλὰ καὶ τούτων ὡς ἀνθρώπων ἐφείσω, ἀπέστειλάς
9. τε προδρόμους τοῦ στρατοπέδου σου σφῆκας, ἵνα αὐτοὺς κατὰ βραχὺ ἐξολοθρεύσωσιν. Οὐκ ἀδυνα-
τῶν ἐν παρατάξει ἀσεβεῖς δικαίοις ὑποχειρίους δοῦναι, ἢ θηρίοις δεινοῖς, ἢ λόγῳ ἀποτόμῳ ὑφ᾽ ἓν
10. ἐκτρίψαι· Κρίνων δὲ κατὰ βραχὺ ἐδίδους τόπον μετανοίας, οὐκ ἀγνοῶν, ὅτι πονηρὰ ἡ γένεσις αὐ-
11. τῶν, καὶ ἔμφυτος ἡ κακία αὐτῶν, καὶ ὅτι οὐ μὴ ἀλλαγῇ ὁ λογισμὸς αὐτῶν εἰς τὸν αἰῶνα· Σπέρ-
12. μα γὰρ ἦν κατηραμένον ἀπ᾽ ἀρχῆς· οὐδὲ εὐλαβούμενός τινα, ἐφ᾽ οἷς ἡμάρτανον ἄδειαν ἐδίδους. Τίς
γὰρ ἐρεῖ, Τί ἐποίησας; ἢ τίς ἀντιστήσεται τῷ κρίματί σου; τίς δὲ ἐγκαλέσει σοι κατὰ ἐθνῶν
ἀπολωλότων, ἃ σὺ ἐποίησας; ἢ τίς εἰς κατάστασίν σοι ἐλεύσεται ἔκδικος κατὰ ἀδίκων ἀνθρώπων;
13. 14. Οὔτε γὰρ Θεός ἐστι πλὴν σοῦ, ᾧ μέλει περὶ πάντων, ἵνα δείξῃς ὅτι οὐκ ἀδίκως ἔκρινας. Οὔτε
15. βασιλεὺς ἢ τύραννος ἀντοφθαλμῆσαι δυνήσεταί σοι περὶ ὧν ἀπώλεσας. Δίκαιος δὲ ὢν δικαίως
τὰ πάντα διέπεις, αὐτὸν τὸν μὴ ὀφείλοντα κολασθῆναι καταδικάσαι ἀλλότριον ἡγούμενος τῆς σῆς
16. δυνάμεως. Ἡ γὰρ ἰσχύς σου δικαιοσύνης ἀρχή, καὶ τὸ πάντων σε δεσπόζειν, πάντων φείδεσθαι
17. ποιεῖ. Ἰσχὺν γὰρ ἐνδείκνυσαι ἀπιστούμενος ἐπὶ δυνάμεως τελειότητι, καὶ ἐν τοῖς εἰδόσι τὸ θρά-
18. σος ἐξελέγχεις. Σὺ δὲ δεσπόζων ἰσχύος ἐν ἐπιεικείᾳ κρίνεις, καὶ μετὰ πολλῆς φειδοῦς διοικεῖς
19. ἡμᾶς· πάρεστι γάρ σοι ὅταν θέλῃς τὸ δύνασθαι. Ἐδίδαξας δέ σου τὸν λαὸν διὰ τῶν τοιούτων
ἔργων, ὅτι δεῖ τὸν δίκαιον εἶναι φιλάνθρωπον· καὶ εὐέλπιδας ἐποίησας τοὺς υἱούς σου, ὅτι δίδως ἐπὶ
20. ἁμαρτήμασι μετάνοιαν. Εἰ γὰρ ἐχθροὺς παίδων σου καὶ ὀφειλομένους θανάτῳ μετὰ τοσαύτης
21. ἐτιμώρησας προσοχῆς καὶ δεήσεως, δοὺς χρόνους καὶ τόπον δι᾽ ὧν ἀπαλλαγῶσι τῆς κακίας· Μετὰ
πόσης ἀκριβείας ἔκρινας τοὺς υἱούς σου, ὧν τοῖς πατράσιν ὅρκους καὶ συνθήκας ἔδωκας ἀγαθῶν ὑπο-
22. σχέσεων; Ἡμᾶς οὖν παιδεύων, τοὺς ἐχθροὺς ἡμῶν ἐν μυριότητι μαστιγοῖς, ἵνα σου τὴν ἀγαθότητα
23. μεριμνῶμεν κρίνοντες, κρινόμενοι δὲ προσδοκῶμεν ἔλεος. Ὅθεν καὶ τοὺς ἐν ἀφροσύνῃ ζωῆς βιώ-
24. σαντας ἀδίκους, διὰ τῶν ἰδίων ἐβασάνισας βδελυγμάτων. Καὶ γὰρ τῶν πλάνης ὁδῶν μακρότερον
ἐπλανήθησαν, θεοὺς ὑπολαμβάνοντες τὰ καὶ ἐν ζώοις τῶν ἐχθρῶν ἄτιμα, νηπίων δίκην ἀφρόνων
25. 26. ψευσθέντες. Διὰ τοῦτο ὡς παισὶν ἀλογίστοις τὴν κρίσιν εἰς ἐμπαιγμὸν ἔπεμψας. Οἱ δὲ παι-

II. ἁμαρτάνουσιν] αμαρτανωσιν 248. Compl. πιστεύσωσιν] πιστευσωμεν III.

III. τοὺς παλαιοὺς] τους παλαι 106.

V. καὶ σπλαγχνοφάγων] και σπλαγχνοφαγον 106. καὶ σπλαγχνοφάγους Compl. 12 Codices Sergii. θοίναν] θοινων 55, 254. θοίναν, καὶ αἵματος] καὶ θοίναν αἵματος Compl. καὶ αἵματος] και αιμα 157.

VI. Ἐκ μέσου μυσταθ. σου] ἐκ μύσου μυστάς τε θείας σου Ald. μυσταθείας σου] μυστας θιασου 55, 106, 253, 254. (296. scr. θειασου.) Alex. μύστας θείας σου Compl. καὶ αὐθέντας] και λυθεντας 106, 261. γονεῖς] ∧ 68. διὰ χειρῶν] δια χειρος 55, 106, 254, 261.

VII. Θεοῦ παίδων] Θεου παιδιων 55, 254. præmitt. και 106, 261.

VIII. τούτων] τουτων μεν 106, 261. ἀπέστειλάς τε] ∧ τε 23. τοῦ στρατοπέδου] τους στρατοπεδους 253. τοῦ στρατοπ. σου σφῆκας] του στρατοπ. σου αφηκας 106, 261. τοὺς στρατοπέδους σου ἐφῆκας Ald. ἐξολοθρεύσωσιν] εξολοθρευσουσιν 106.

IX. δικαίοις] δικαιους 261. ἢ λόγῳ &c. ad fin. com.] ἢ λόγῳ ὑφ᾽ ἓν συντόμους ἐκτρίψαι 10 Codices Sergii.

X. ἀλλαγῇ] ἀλλαγὴ (sic) 106.

XII. Τίς γὰρ ἐρεῖ] τίς ἐρεῖ αὐτῷ Clem. Rom. Ep. ad Corinth. 1. §. 27. ἢ τίς 1°—ἢ τίς 2°] ∧ alterutr. cum intermed. 261. τῷ κρίματί σου] τῷ κράτει τῆς ἰσχύος αὐτοῦ Clem. Rom. l. cit. (Cf. Libr. Sap. c. xi. v. 21.) ἐγκαλέσει σοι] εγκαλεσει σου 23. κατὰ ἐθνῶν] ∧ κατα 248. εἰς κατάστασιν] εις καταζητησιν 23. σοι ἐλεύσεται] tr. 23, 157, 253. ∧ σοι 106.

XIV. Οὔτε βασιλεὺς] οὐ δε βασιλευς 55, 254. ουτε γαρ βασιλευς 106, 261. δυνήσεταί σοι] δυνησονται σοι 106, 261. ἀπώλεσας] εκολασας III, 23, 55, 68, 106, 157, 248, 253, 254, 296. Compl. Ald. εκωλυσας 261.

XV. δικαίως τὰ πάντα] τα παντα δικαιως 106. κολασθῆναι] ∧ 106. καταδικασθηναι 248.

XVI. σε δεσπόζειν] ∧ σε 23. φείδεσθαι ποίει] φειδεσθαι σε ποιει 55, 106, 157, 248, 254, 261, 296. Compl. Alex.

XVII. Ἰσχὺν—ἀπιστούμενος] ἐνδείκνυσαι ἰσχὺν ἐπ᾽ ὀλιγόπιστον 10 Codices Sergii. ἐνδείκνυσαι] ἐκδείκνυσαι Compl. ἀπιστούμενος] præmitt. οτι III. ὁ απιστουμενος 55, 106, 254. (Alex. cum ὁ in char. minore.) ἐν τοῖς εἰδόσι] + σου 55, 254. ἐν τοῖς οὐκ εἰδόσι σε (cum σε in charact. minore) Alex. τὸ θράσος] ∧ το 157. το θαρσος 248. Compl.

XVIII. Σὺ δὲ] ∧ δε 23, 106, 254, 261, 296. ἐν ἐπιεικείᾳ] ∧ εν 296. ὅταν θέλῃς] οτι θελεις 106. οτε θελης 261.

XIX. τὸν δίκαιον] ∧ τὸν Ald. ὅτι δίδως] οτι διδοις 68. Ald. Alex.

XX. ἐτιμώρησας] ετιμωρησω 55, 106, 157, 248. 254, 261. Compl. Alex. καὶ δεήσεως] ∧ 106, 157, 248, 254, 261. Compl. Alex. και διεσωσας 296. δοὺς] + αυτοις 23. χρόνους καὶ τόπον] τοπον και χρονον 23. χρονον και τοπον 55, 106, 254, 261, 296. Alex. χρονον και τροπον 248. Compl.

XXI. Μετὰ πόσης] μετα πασης 253. ἔκρινας] κρινεις 23. ἔδωκας] ponit statim post ορκους 106. ∧ 248.

XXII. ἐν μυριότητι] εν μυριοτησι 106, 261. ἔλεος] ελεον 23.

XXIII. ζωῆς] ∧ 23. ἀδίκους] αδικως 23, 106, 157, 248, 253, 254, 261, 296. Compl. Alex. ἐβασάνισας] εβασανισε 68. Ald.

XXIV. τὰ καὶ—ἄτιμα] οὓς καὶ ἐν ζώοις μετ᾽ ἐχθρῶν ἠθέτουν Codex unus Sergii. sic, sine μετ᾽, 8 Codices Sergii. τῶν ἐχθρῶν] των αισχρων 254.

ΚΕΦ. XII.

γνίοις ἐπιτιμήσεως μὴ νουθετηθέντες, ἀξίαν Θεοῦ κρίσιν πειράσουσιν. Ἐφ᾽ οἷς γὰρ αὐτοὶ πά- 27.
σχοντες ἠγανάκτουν, ἐπὶ τούτοις οὓς ἐδόκουν θεοὺς, ἐν αὐτοῖς κολαζόμενοι, ἰδόντες ὃν πάλαι ἠρνοῦντο
εἰδέναι, Θεὸν ἐπέγνωσαν ἀληθῆ· διὸ καὶ τὸ τέρμα τῆς καταδίκης ἐπ᾽ αὐτοὺς ἐπῆλθε.

ΚΕΦ. XIII.

ΜΑΤΑΙΟΙ μὲν γὰρ πάντες ἄνθρωποι φύσει, οἷς παρῆν Θεοῦ ἀγνωσία, καὶ ἐκ τῶν ὁρωμένων 1.
ἀγαθῶν οὐκ ἴσχυσαν εἰδέναι τὸν ὄντα, οὔτε τοῖς ἔργοις προσχόντες ἐπέγνωσαν τὸν τεχνίτην.
Ἀλλ᾽ ἢ πῦρ, ἢ πνεῦμα, ἢ ταχινὸν ἀέρα, ἢ κύκλον ἄστρων, ἢ βίαιον ὕδωρ, ἢ φωστῆρας οὐρανοῦ, 2.
πρυτάνεις κόσμου θεοὺς ἐνόμισαν. Ὧν εἰ μὲν τῇ καλλονῇ τερπόμενοι, θεοὺς ὑπελάμβανον, γνώ- 3.
τωσαν πόσῳ τούτων ὁ δεσπότης ἐστὶ βελτίων· ὁ γὰρ τοῦ κάλλους γενεσιάρχης ἔκτισεν αὐτά. Εἰ 4.
δὲ δύναμιν καὶ ἐνέργειαν ἐκπλαγέντες, νοησάτωσαν ἀπ᾽ αὐτῶν πόσῳ ὁ κατασκευάσας αὐτὰ δυνα-
τώτερός ἐστιν. Ἐκ γὰρ μεγέθους καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται. 5.
Ἀλλ᾽ ὅμως ἐπὶ τούτοις ἐστὶ μέμψις ὀλίγη, καὶ γὰρ αὐτοὶ τάχα πλανῶνται Θεὸν ζητοῦντες, καὶ 6.
θέλοντες εὑρεῖν. Ἐν γὰρ τοῖς ἔργοις αὐτοῦ ἀναστρεφόμενοι διερευνῶσι, καὶ πείθονται τῇ ὄψει, 7.
ὅτι καλὰ τὰ βλεπόμενα. Πάλιν δὲ οὐδ᾽ αὐτοὶ συγγνωστοί. Εἰ γὰρ τοσοῦτον ἴσχυσαν εἰδέναι, ἵνα 8. 9.
δύνωνται στοχάσασθαι τὸν αἰῶνα, τὸν τούτων δεσπότην πῶς τάχιον οὐχ εὗρον; Ταλαίπωροι δὲ 10.
καὶ ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν, οἵτινες ἐκάλεσαν θεοὺς ἔργα χειρῶν ἀνθρώπων, χρυσὸν καὶ ἄρ-
γυρον τέχνης ἐμμελέτημα, καὶ ἀπεικάσματα ζώων, ἢ λίθον ἄχρηστον χειρὸς ἔργον ἀρχαίας. Εἰ 11.
δὲ καί τις ὑλοτόμος τέκτων εὐκίνητον φυτὸν ἐκπρίσας, περιέξυσεν εὐμαθῶς πάντα τὸν φλοιὸν αὐ-
τοῦ, καὶ τεχνησάμενος εὐπρεπῶς κατεσκεύασε χρήσιμον σκεῦος εἰς ὑπηρεσίαν ζωῆς, Τὰ δὲ ἀπο- 12.
βλήματα τῆς ἐργασίας εἰς ἑτοιμασίαν τροφῆς ἀναλώσας ἐνεπλήσθη, Τὸ δὲ ἐξ αὐτῶν ἀπόβλημα εἰς 13.
οὐθὲν εὔχρηστον, ξύλον σκολιὸν, καὶ ὄζοις συμπεφυκὸς, λαβὼν ἔγλυψεν ἐν ἐπιμελείᾳ ἀργίας αὐτοῦ,
καὶ ἐμπειρίᾳ συνέσεως ἐτύπωσεν αὐτὸ, ἀπείκασεν αὐτὸ εἰκόνι ἀνθρώπου, Ἢ ζώῳ τινὶ εὐτελεῖ 14.
ὡμοίωσεν αὐτὸ, καταχρίσας μίλτῳ, καὶ φύκει ἐρυθήνας χρόαν αὐτοῦ, καὶ πᾶσαν κηλῖδα τὴν ἐν
αὐτῷ καταχρίσας, Καὶ ποιήσας αὐτῷ αὐτοῦ ἄξιον οἴκημα, ἐν τοίχῳ ἔθηκεν αὐτὸ ἀσφαλισάμενος 15.
σιδήρῳ· Ἵνα μὲν οὖν μὴ καταπέσῃ, προενόησεν αὐτοῦ, εἰδὼς ὅτι ἀδυνατεῖ ἑαυτῷ βοηθῆσαι, καὶ 16.
γάρ ἐστιν εἰκὼν, καὶ χρείαν ἔχει βοηθείας. Περὶ δὲ κτημάτων καὶ γάμων αὐτοῦ καὶ τέκνων προσ- 17.
ευχόμενος, οὐκ αἰσχύνεται τῷ ἀψύχῳ προσλαλῶν. Καὶ περὶ μὲν ὑγιείας τὸ ἀσθενὲς ἐπικαλεῖ- 18.
ται, περὶ δὲ ζωῆς τὸν νεκρὸν ἀξιοῖ, περὶ δὲ ἐπικουρίας τὸν ἀπειρότατον ἱκετεύει, περὶ δὲ ὁδοιπο-

XXVII. οὓς ἐδόκουν—κολαζόμενοι] οἷς εδοκουν θεοις κολαζομενοι εν αυτοις 106. οὓς ἐδόκουν θεοὺς] οἷς εδοκουν θεους 248. οἷς εδοκουν θεοις 261. κολαζόμενοι] εβασανιζοντο 157. εἰδέναι] ∧ 157. ἐπῆλθε] ηλθεν 23. (253. ut videtur.)

I. καὶ ἐκ τῶν ὁρωμ.] και εκ τωνδε ορωμ. 23. και ενεκα των ορωμ. 106. οὔτε τοῖς] οτε τοις 23. ουδε τοις 253. προσχόντες] προσεχοντες 23, 106, 157, 248, 254, 261, 296. Compl. Alex.

II. ἢ πνεῦμα] ἢ και πνευμα 248. πρυτάνεις] πρυτανις 106, 261.

III. τερπόμενοι] + ταυτα 23, 106, 157, 248, 253, 254, 261, 296. Compl. Alex. θεοὺς ὑπελάμβανον] υπελαμβανον θεους ειναι 23. tr. 157. + ειναι 253. γνώτωσαν] γνωτωσαν αν 106.

IV. δύναμιν καὶ ἐνέργειαν] δυναμει και ενεργεια 68. Compl. Ald. præmitt. την 106. πόσῳ ὁ κατασκ.] ποσω μαλλον ὁ κατασκ. 55, 254.

V. Ἐκ γὰρ μεγέθους] ἀπὸ γὰρ μεγέθους Cyrill. Alex. v. 538. et al. καλλονῆς] præmitt. και 55, 248, 253, 254, 296. Compl. (Alex. in char. min.) Euſeb. Præp. Evang. p. 636. Athan. i. 35. Chryſoſt. ii. 99. Cyrill. Alex. l. cit. Theodoret. i. 163. et al. + αυτων 106, 261. κτισμάτων] præmitt. και 23, 106, 261. Compl. Ald. ὁ γενεσ. αὐτῶν θεωρ.] τὸν πάντων γενεσιουργὸν καθορᾶσθαι Greg. Nyſſ. i. 378. θεωρεῖται] καθορᾶται Chryſoſt. l. cit.

VI. ἐπὶ τούτοις] ετι τουτοις III. ἐστὶ μέμψις] tr. 157, 248, 254, 296. Compl. Alex.

VIII. Πάλιν δὲ] ∧ δε 106, 261.

IX. ἵνα δύνωνται] ινα δυνανται 157. τὸν τούτων δεσπότην] τουτου τον δεσποτην 106. του τουτου δεσποτην 261.

X. οἵτινες ἐκάλεσαν] οἵ τινας ἐκάλεσαν Ald. τέχνης] præmitt. και 296. ἐμμελέτημα] εμμελετηματα (23. ſcr. ενμελετηματα) 106, 253. ἢ λίθον] ∧ ἢ 157.

XI. εὐκίνητον] ευκτινον 23. ευτηκτον 248. (f. ευτυκτον) Compl. ἐκκίνητον Ald. περιέξυσεν] περιεξεσεν 23, 248. Compl. εὐμαθῶς] ευφυως (marg. ab ead. m. ευμαθως) 296.

XII. Τὰ δὲ ἀποβλήματα] το δε αποβλητον 23. τα δε υπολειμματα 55, 296. Alex. τα δε αποβλητα 106, 261. τα δε υποληματα 157. τα δε προβληματα 254. εἰς ἑτοιμασίαν] εις υπηρεσιαν III. ἑτοιμασίαν τροφῆς] tr. 55. ∧ τροφης 254. ἐνεπλήσθη] ενεπλησεν 23.

XIII. συμπεφυκὸς] εμπεφυκος 157. ἐν ἐπιμελείᾳ] habet ἐν in charact. minore Alex. ἀργίας] ἐργασίας Alex. καὶ ἐμπειρίᾳ] και εν εμπειρια 23. και εν ημερα εμπειρια 253. συνέσεως] ανεσεως III, 23, 68, 106, 253, 296. Ald. ανεσεως αυτου 157. ἀπείκασεν] απεικασεν τε 254, 296. Alex.

XIV. ὡμοίωσεν] αφωμοιωσεν 296. καταχρίσας] καταχρησας γη 23. + γη 253. ἐρυθήνας] ερυθηνος III. ερυθρηνας 248. Compl. ερυθοινας 261. χρόαν] χροιαν 106, 261. χρόα Ald. αὐτοῦ] αυτω 261.

XV. αὐτῷ] αυτο 106. αὐτοῦ ἄξιον] ∧ αυτου 23, 261.

XVI. ἑαυτῷ] αυτω 106.

XVII. γάμων—προσευχόμενος] γαμου και τεκνων αυτου ευχομενος 23. γάμων αὐτοῦ] ∧ αυτου 106, 261. αὐτοῦ καὶ τέκνων] και τεκνων αυτου 253. προσλαλῶν] λαλων 23.

XVIII. ὑγιείας] υγειας 106, 261. τὸν νεκρὸν] το νεκρον 157, 248. Compl. Alex. τὸν ἀπειρότατον] το απειροτατον 157, 248. Compl. Alex. το ακειροτατον 261. χρῆσθαι] χρησασθαι 55, 253, 254, 296.

ΚΕΦ. XIII.
19. ρίας τὸ μηδὲ βάσει χρῆσθαι δυνάμενον, Περὶ δὲ πορισμῦ καὶ ἐργασίας καὶ χειρῶν ἐπιτυχίας τὸ
ἀδρανέςατον ταῖς χερσὶν εὐδράνειαν αἰτεῖται.

ΚΕΦ. XIV.
1. ΠΛΟΥΝ τις πάλιν ςελλόμενος, καὶ ἄγρια μέλλων διοδεύειν κύματα, τῦ φέροντος αὐτὸν πλοίου
2. σαθρότερον ξύλον ἐπιβοᾶται. Ἐκεῖνο μὲν γὰρ ὄρεξις πορισμῶν ἐπενόησε, τεχνίτης δὲ σοφίᾳ
3. κατεσκεύασεν, Ἡ δὲ σὴ, Πάτερ, διακυβερνᾷ πρόνοια, ὅτι ἔδωκας καὶ ἐν θαλάσσῃ ὁδὸν καὶ ἐν
4. κύμασι τρίβον ἀσφαλῆ, Δεικνὺς ὅτι δύνασαι ἐκ παντὸς σώζειν, ἵνα κἂν ἄνευ τέχνης τις ἐπιβῇ.
5. Θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τῆς σοφίας σου ἔργα, διὰ τοῦτο καὶ ἐλαχίςῳ ξύλῳ πιςεύουσιν ἄν-
6. θρωποι ψυχὰς, καὶ διελθόντες κλύδωνα σχεδίᾳ διεσώθησαν. Καὶ ἀρχῆς γὰρ ἀπολλυμένων ὑπε-
ρηφάνων γιγάντων, ἡ ἐλπὶς τοῦ κόσμου ἐπὶ σχεδίας καταφυγῦσα, ἀπέλιπεν αἰῶνι σπέρμα γενέ-
7. 8. σεως τῇ σῇ κυβερνηθεῖσα χειρί. Εὐλόγηται γὰρ ξύλον δι' ὗ γίνεται δικαιοσύνη. Τὸ χειροποί-
ητον δὲ ἐπικατάρατον αὐτὸ, καὶ ὁ ποιήσας αὐτὸ, ὅτι ὁ μὲν εἰργάζετο, τὸ δὲ φθαρτὸν θεὸς ὠνο-
9. 10. μάσθη. Ἐν ἴσῳ γὰρ μισητὰ Θεῷ καὶ ὁ ἀσεβῶν καὶ ἡ ἀσέβεια αὐτῦ. Καὶ γὰρ τὸ πραχθὲν
11. σὺν τῷ δράσαντι κολασθήσεται. Διὰ τῦτο καὶ ἐν εἰδώλοις ἐθνῶν ἐπισκοπὴ ἔςαι, ὅτι ἐν κτί-
σματι Θεῦ εἰς βδέλυγμα ἐγενήθησαν, καὶ εἰς σκάνδαλα ψυχαῖς ἀνθρώπων, καὶ εἰς παγίδα πο-
12. 13. σὶν ἀφρόνων. Ἀρχὴ γὰρ πορνείας ἐπίνοια εἰδώλων, εὕρεσις δὲ αὐτῶν φθορὰ ζωῆς. Οὔτε γὰρ ἦν
14. ἀπ' ἀρχῆς, ὔτε εἰς τὸν αἰῶνα ἔςαι. Κενοδοξίᾳ γὰρ ἀνθρώπων εἰσῆλθεν εἰς κόσμον, καὶ διὰ τῦτο
15. σύντομον αὐτῶν τέλος ἐπενοήθη. Ἀώρῳ γὰρ πένθει τρυχόμενος πατὴρ, τῦ ταχέως ἀφαιρεθέντος
τέκνου εἰκόνα ποιήσας, τὸν τότε νεκρὸν ἄνθρωπον, νῦν ὡς θεὸν ἐτίμησε, καὶ παρέδωκε τοῖς ὑπο-
16. χειρίοις μυςήρια, καὶ τελετάς. Εἶτα ἐν χρόνῳ κρατυνθὲν τὸ ἀσεβὲς ἔθος ὡς νόμος ἐφυλάχθη,
17. καὶ τυράννων ἐπιταγαῖς ἐθρησκεύετο τὰ γλυπτά. Οὓς ἐν ὄψει μὴ δυνάμενοι τιμᾷν ἄνθρωποι διὰ
τὸ μακρὰν οἰκεῖν, τὴν πόῤῥωθεν ὄψιν ἀνατυπωσάμενοι, ἐμφανῆ εἰκόνα τῦ τιμωμένου βασιλέως
18. ἐποίησαν, ἵνα τὸν ἀπόντα ὡς παρόντα κολακεύωσι διὰ τῆς σπυδῆς. Εἰς ἐπίτασιν δὲ θρησκείας
19. καὶ τὺς ἀγνοῦντας ἡ τῦ τεχνίτυ προετρέψατο φιλοτιμία. Ὁ μὲν γὰρ τάχα τῷ κρατῦντι βου-
20. λόμενος ἀρέσαι, ἐξεβιάσατο τῇ τέχνῃ τὴν ὁμοιότητα ἐπὶ τὸ κάλλιον. Τὸ δὲ πλῆθος ἐφελκόμε-
νον διὰ τὸ εὔχαρι τῆς ἐργασίας, τὸν πρὸ ὀλίγου τιμηθέντα ἄνθρωπον, νῦν σέβασμα ἐλογίσαντο.
21. Καὶ τῦτο ἐγένετο τῷ βίῳ εἰς ἔνεδρον, ὅτι ἢ συμφορᾷ ἢ τυραννίδι δυλεύσαντες ἄνθρωποι, τὸ ἀκοι-
22. νώνητον ὄνομα λίθοις καὶ ξύλοις περιέθεσαν. Εἶτ' οὐκ ἤρκεσε τὸ πλανᾶσθαι περὶ τὴν τῦ Θεῦ

XIX. Περὶ δὲ πορισμῦ] περι δε πορισμων 157. καὶ χειρῶν] ∧ και 157. τὸ ἀδρανέςατον] τὸν ἀδρανέςατον Compl. Ald. εὐδράνειαν] εὐδράνειον Compl.

I. τις πάλιν] tr. Ald. μέλλων διοδεύειν] tr. 23. τῦ φέροντος &c. ad fin. com.] τυ φεροντος αυτυ πλοιυ, σαθροτερον ξυλυ επιβοαται 248. πλοίου] ξυλου 157. Alex. ἐπιβοᾶται] επιβοα 23, 253.

II. ὄρεξις] ορεξεις 157. πορισμῶν] πορισμω 106. ἐπενόησε] επενθησεν 23. τεχνίτης] τεχνιτις 68, 157. Compl. Alex. Clem. Alex. p. 786.

III. διακυβερνᾷ] διακυβερναται 106, 261.

IV. ἐκ παντὸς] ἐκ πάντων Alex. ἵνα κἂν] ∧ ινα 23, 253. ινα και 55, 106, 248, 261, 296. ἵνα καὶ ἂν (cum ἂν in char. min.) Alex.

V. τῆς σοφίας σου] ∧ σου 23. της σης σοφιας 253. καὶ ἐλαχίςῳ] και εν ελαχιςω 23, 106, 157. κλύδωνα] κλυδωνας 23, 55, 254.

VI. Καὶ ἀρχῆς] ∧ και 23, 106, 261. ἀπέλιπεν] κατελιπεν 106, 261. κατελειπεν 296.

VII. Εὐλόγηται] ευλογημενον 106, 261. ευλογειται 248, 296.

VIII. Τὸ χειροπ. δὲ] ∧ δε 23. το δε χειροποιητον 157, 248. Compl. το χειροπ. γαρ 253. ἐπικατ. αὐτὸ] ∧ αυτο 261. ὅτι ὁ μὲν εἰργάζ. τὸ δὲ] ∧ 261. εἰργάζετο] ειργασατο 55, 254. ηργαζετο 253. φθαρτὸν] + ὂν in char. min. Alex.

IX. Ἐν ἴσῳ γὰρ] ∧ γὰρ Compl.

XI. καὶ ἐν εἰδώλοις] ∧ εν 106, 261, 296. ὅτι ἐν κτίσματι] οτι εν κτισμασιν 23. καὶ εἰς σκάνδαλα] και εις σκανδαλον 261. ψυχαῖς ἀνθρώπων] ψυχης ανθρωπων 296. ἀφρόνων] præmitt. ανθρωπων 106, 261.

XII. Ἀρχὴ γὰρ] ∧ γαρ 261. Compl. Athan. i. 8. Ἀρχὴ γὰρ πορνείας] πρώτη πορνεία Didym. de Trin. p. 370. εὕρεσις] εὑρέσεις Ald. δὲ αὐτῶν] δι' αὐτῶν Ald.

XIII. ἔςαι] μενει 157.

XIV. Κενοδοξίᾳ γὰρ] κενοδοξια δε 23. εἰσῆλθεν] præmitt. θάνατος inter uncos Alex. εἰς κόσμον] εις τον κοσμον 23, 55, 106, 157, 248, 253, 254, 261, 296. Compl. Alex. Euſeb. Præp. Evang. p. 30. αὐτῶν τέλος] αυτων το τελος 55, 157, 248, 254, 261. Compl. Alex. το τελος αυτων 106, 296. tr. 253.

XV. τὸν τότε] τον ποτε III, 296. ὡς θεὸν] ὡς ζῶντα Euſeb. l. cit. ἐτίμησε] ετιμασεν 23. ἐτίμησαν Ald.

XVI. Εἶτα ἐν χρόνῳ] εἴ τ' εν χρονω 248. ἐν χρόνῳ] ∧ εν 23. κρατυνθὲν] κρατηθεν 106. Compl. Ald. ἐφυλάχθη] ωνομασθη 106, 261. ἐθρησκεύετο] εθρησκευοντο 106, 261.

XVII. Οὓς] ὃς (ſic) 106. ἀνατυπωσάμενοι] præmitt. τυπω 23, 253. τυπωσαμενοι 254. τῦ τιμωμένου] τυ τετιμημενου 157. Euſeb. l. cit. τὸν ἀπόντα ὡς παρόντα] ως παροντα τον απυντα 23, 106, 157, 253. κολακεύωσι] κολακευσωσι 55, 106, 157, 248, 254, 261. Alex. διὰ τῆς σπυδῆς] ∧ της 55, 106, 157, 254, 261. Alex.

XVIII. καὶ τὺς ἀγνοῦντας] + μετα τυτο 253. προετρέψατο] προεγραψατο 106. προετρεπετο 157.

XIX. τάχα] ἴσως Euſeb. l. cit. τῷ κρατῦντι] ∧ τω 253, 254, 261. Ald. Alex. τῇ τέχνῃ] ∧ τη 253.

XX. ἐφελκόμενον] εξερχομενον 106, 261. διὰ τὸ εὔχαρι] δια το ευχαρες III. νῦν σέβασμα] νυν εις σεβασμα 55, 254. νυν σεβασμιον 261. σέβασμα ἐλογίσαντο] ως θεον ενομησαν 157.

XXI. Καὶ τῦτο ἐγένετο] καὶ τῦτο ἐγεγόνει Euſeb. l. cit. ὅτι ἢ συμφορᾷ] ∧ ἢ Ald. περιέθεσαν] περιεθηκαν 106, 157, 248. Compl. Euſeb. l. cit.

XXII. Εἶτ' οὐκ ἤρκεσε] ειτ' ουκ ηρκεσθησαν 23. ειτα ουκ ηρκεσεν αυτοις 106, 261. Alex. Εἶτ' οὐκ ἤρκεσε τὸ πλανᾶσθαι] εἴ τ' οὐ

ΚΕΦ. XIV.

γνῶσιν, ἀλλὰ καὶ μεγάλῳ ζῶντες ἀγνοίας πολέμῳ, τὰ τοσαῦτα κακὰ εἰρήνην προσαγορεύουσιν.
Ἢ γὰρ τεκνοφόνους τελετὰς, ἢ κρύφια μυστήρια, ἢ ἐμμανεῖς ἐξ ἄλλων θεσμῶν κώμους ἄγοντες, 23.
Οὔτε βίους οὔτε γάμους καθαροὺς ἔτι φυλάσσουσιν, ἕτερος δ' ἕτερον ἢ λοχῶν ἀναιρεῖ, ἢ νοθεύων 24.
ὀδυνᾷ. Πάντας δ' ἐπιμὶξ ἔχει, αἷμα καὶ φόνος, κλοπὴ καὶ δόλος, φθορὰ, ἀπιστία, ταραχὴ, ἐπι- 25.
ορκία, θόρυβος ἀγαθῶν, χάριτος ἀμνησία, ψυχῶν μιασμὸς, γενέσεως ἐναλλαγὴ, γάμων ἀταξία, 26.
μοιχεία, καὶ ἀσέλγεια. Ἡ γὰρ τῶν ἀνωνύμων εἰδώλων θρησκεία παντὸς ἀρχὴ κακοῦ καὶ αἰτία 27.
καὶ πέρας ἐστίν. Ἢ γὰρ εὐφραινόμενοι μεμήνασιν, ἢ προφητεύουσι ψευδῆ, ἢ ζῶσιν ἀδίκως, ἢ 28.
ἐπιορκοῦσι ταχέως. Ἀψύχοις γὰρ πεποιθότες εἰδώλοις, κακῶς ὀμόσαντες, ἀδικηθῆναι οὐ προσ- 29.
δέχονται. Ἀμφότερα δὲ αὐτοὺς μετελεύσεται τὰ δίκαια, ὅτι κακῶς ἐφρόνησαν περὶ Θεοῦ προσχόν- 30.
τες εἰδώλοις, καὶ ἀδίκως ὤμοσαν ἐν δόλῳ καταφρονήσαντες ὁσιότητος. Οὐ γὰρ ἡ τῶν ὀμνυομένων 31.
δύναμις, ἀλλ' ἡ τῶν ἁμαρτανόντων δίκη ἐπεξέρχεται ἀεὶ τὴν τῶν ἀδίκων παράβασιν.

ΚΕΦ. XV.

ΣΥ δὲ ὁ Θεὸς ἡμῶν χρηστὸς καὶ ἀληθὴς, μακρόθυμος καὶ ἐν ἐλέει διοικῶν τὰ πάντα. Καὶ γὰρ 1. 2.
ἐὰν ἁμάρτωμεν, σοί ἐσμεν, εἰδότες σου τὸ κράτος· οὐχ ἁμαρτησόμεθα δὲ, εἰδότες ὅτι σοὶ λελο-
γίσμεθα. Τὸ γὰρ ἐπίστασθαί σε ὁλόκληρος δικαιοσύνη, καὶ εἰδέναι τὸ κράτος σου ῥίζα ἀθανα- 3.
σίας. Οὔτε γὰρ ἐπλάνησεν ἡμᾶς ἀνθρώπων κακότεχνος ἐπίνοια, οὐδὲ σκιαγράφων πόνος ἄκαρ- 4.
πος, εἶδος σπιλωθὲν χρώμασι διηλλαγμένοις· Ὧν ὄψις ἄφροσιν εἰς ὄνειδος ἔρχεται, ποθεῖ τε 5.
νεκρᾶς εἰκόνος εἶδος ἄπνουν. Κακῶν ἐρασταὶ ἄξιοί τε τοιούτων ἐλπίδων, καὶ οἱ δρῶντες, καὶ οἱ πο- 6.
VIII. μετάγεται] αγεται (præcedit εις inter lin. ab al. m.) 106. καὶ χρήματα] + φιλαργυριας γαρ ȣδεν ανομωτερον· ȣτος γαρ και την εαυτȣ ψυχην εκπρακτον ποιει. 106. ∧ και 155. + δολια 248. Compl. (Alex. in charact. minore.)

IX. Τί ὑπερηφανεύεται] præmitt. φιλαργύρȣ μὲν γὰρ ȣ̓δὲν ἀνομώτερον· ȣ̓͂τος γὰρ καὶ τὴν ἑαυτȣ͂ ψυχὴν ἔκπρακτον ποιεῖ in char. min. Alex. τί ἀλαζονεύει Chrysost. vi. 418. γῆ καὶ σποδός] + φιλαργυρου μεν γαρ ȣδεν ανομωτερον· ȣτος γαρ και την εαυτȣ ψυχην εκπρακτον ποιει 248. Compl. ὅτι ἐν &c. ad fin. com.] *in vita ejus projecit interanea ejus*. Origen. iii. 389. ὅτι καὶ ἐν τῇ ζωῇ αὐτȣ͂ ἐξȣδένωται τὰ ἐνδόσθια αὐτȣ͂. Chrysost. vi. 190, 191. ὅτι ἐν ζωῇ] οτι εν τη ζωη αυτȣ 106. + αυτȣ 248. Compl. ἔῤῥιψα] εῤῥιψε 106. εῤῥιψαν 157, 248. Compl. Alex. τὰ ἐνδόσθια αὐτȣ͂] τα ενδοσθια αυτω 55.

X. σκώπτει] εκκοπτει 55, 254. σκοπει 106. κοπτει 157, 248. Compl.

XI. Ἐν γὰρ τῷ ἀποθ.] και γαρ τω αποθ. 55. καὶ σκώληκας] και σκωληκες 23. ∧ καὶ Ald.

ΣΟΦΙΑ ΣΕΙΡΑΧ.

ΚΕΦ. Χ.

ρία καὶ σκώληκας. Ἀρχὴ ὑπερηφανίας, ἀνθρώπου ἀφισταμένου ἀπὸ Κυρίου, καὶ ἀπὸ τοῦ ποι- 12.
ήσαντος αὐτὸν ἀπέστη ἡ καρδία αὐτοῦ. Ὅτι ἀρχὴ ὑπερηφανίας ἁμαρτία, καὶ ὁ κρατῶν αὐτῆς 13.
ἐξομβρήσει βδέλυγμα· διὰ τοῦτο παρεδόξασε Κύριος τὰς ἐπαγωγὰς, καὶ κατέστρεψεν εἰς τέλος
αὐτούς. Θρόνους ἀρχόντων καθεῖλεν ὁ Κύριος, καὶ ἐκάθισε πραεῖς ἀντ' αὐτῶν. Ῥίζας ἐθνῶν 14. 15.
ἐξέτιλεν ὁ Κύριος, καὶ ἐφύτευσε ταπεινοὺς ἀντ' αὐτῶν. Χώρας ἐθνῶν κατέστρεψεν ὁ Κύριος, καὶ 16.
ἀπώλεσεν αὐτὰς ἕως θεμελίων γῆς. Ἐξήρανεν ἐξ αὐτῶν καὶ ἀπώλεσεν αὐτοὺς, καὶ κατέπαυσεν 17.
ἀπὸ γῆς τὸ μνημόσυνον αὐτῶν. Οὐκ ἔκτισται ἀνθρώποις ὑπερηφανία, οὐδὲ ὀργὴ θυμοῦ γεννήμασι 18.
γυναικῶν. Σπέρμα ἔντιμον ποῖον; σπέρμα ἀνθρώπου· σπέρμα ἔντιμον ποῖον; οἱ φοβούμενοι τὸν 19.
Κύριον· σπέρμα ἄτιμον ποῖον; σπέρμα ἀνθρώπου· σπέρμα ἄτιμον ποῖον; οἱ παραβαίνοντες ἐν-
τολάς. Ἐν μέσῳ ἀδελφῶν ὁ ἡγούμενος αὐτῶν ἔντιμος, καὶ οἱ φοβούμενοι Κύριον ἐν ὀφθαλμοῖς αὐ- 20.
τοῦ. Πλούσιος καὶ ἔνδοξος καὶ πτωχὸς, τὸ καύχημα αὐτῶν φόβος Κυρίου. Οὐ δίκαιον ἀτιμάσαι 22. 23.
πτωχὸν συνετὸν, καὶ οὐ καθήκει δοξάσαι ἄνδρα ἁμαρτωλόν. Μεγιστὰν καὶ κριτὴς καὶ δυνάστης 24.
δοξασθήσεται, καὶ οὐκ ἔστιν αὐτῶν τις μείζων τοῦ φοβουμένου τὸν Κύριον. Οἰκέτῃ σοφῷ ἐλεύθεροι 25.
λειτουργήσουσι, καὶ ἀνὴρ ἐπιστήμων οὐ γογγύσει. Μὴ σοφίζου ποιῆσαι τὸ ἔργον σου, καὶ μὴ δοξά- 26.
ζου ἐν καιρῷ στενοχωρίας σου. Κρείσσων ἐργαζόμενος ἐν πᾶσιν, ἢ περιπατῶν, ἢ δοξαζόμενος καὶ 27.
ἀπορῶν ἄρτων. Τέκνον, ἐν πραΰτητι δόξασον τὴν ψυχήν σου, καὶ δὸς αὐτῇ τιμὴν κατὰ τὴν ἀξίαν 28.
αὐτῆς. Τὸν ἁμαρτάνοντα εἰς τὴν ψυχὴν αὐτοῦ τίς δικαιώσει; καὶ τίς δοξάσει τὸν ἀτιμάζοντα 29.
τὴν ζωὴν αὐτοῦ; Πτωχὸς δοξάζεται δι' ἐπιστήμην αὐτοῦ, καὶ πλούσιος δοξάζεται διὰ τὸν πλοῦτον 30.
αὐτοῦ. Ὁ δὲ δοξαζόμενος ἐν πτωχείᾳ, καὶ ἐν πλούτῳ ποσαχῶς; καὶ ὁ ἄδοξος ἐν πλούτῳ, καὶ ἐν 31.
πτωχείᾳ ποσαχῶς;

ΚΕΦ. XI.

ΣΟΦΙΑ ταπεινοῦ ἀνύψωσε κεφαλὴν, καὶ ἐν μέσῳ μεγιστάνων καθίσει αὐτόν. Μὴ αἰνέσεις ἄνδρα 1. 2.

XII. ἀφισταμένου—ἀπὸ τοῦ] αποστηναι απο του 106. ποιήσαντος αὐτὸν] ∧ αυτον 157.

XIII. ἀρχὴ ὑπερηφαν. ἁμαρτία] αρχη αμαρτιας υπερηφανια 248. Compl. Chrysost. viii. 55, et al. καὶ ὁ κρατῶν] και οτι ὁ κρατων 55. ἐξομβρήσει] εξομβρισει 157. εξυβρισει 248. Compl. βδέλυγμα] + και καταστραφησεται εις τελος αυτους (αυτους virgulis transfix. ab al. m.) 106. βδελυγματα 157. + και καταστραφησεται εις τελος 248. Compl. διὰ τοῦτο &c. ad fin. com.] ∧ (supplet. in marg. ab al. m.) 106. τὰς ἐπαγωγὰς &c. ad fin. com.] και κατεστρεφεν εις τελος αυτους 308.

XIV. ἀρχόντων] αρχοντων υπερηφανων 23. καθεῖλεν] κατεστρεψεν 23. καὶ ἐκάθισε] και ανεκαθησεν 155. ἀντ' αὐτῶν] + ενδοθεν 248. Compl.

XV. Ῥίζας ἐθνῶν] + υπερηφανων 23, 106, 248. Compl. (Alex. in charact. minore.) ἐξέτιλεν] εξηρεν 23. εξειλε 106, 248. Compl. ὁ Κύριος] ∧ ὁ 106, 248. Compl. ταπεινοὺς] ταπεινος 308. ταπεινοὺς ἀντ' αὐτῶν] αντ' αυτων εν δοξη ταπεινους 248. Compl. ἀντ' αὐτῶν] ∧ αντ' 155.

XVI. ὁ Κύριος] ∧ ὁ 248. Compl. ἀπώλεσεν αὐτὰς] ∧ αυτας 307.

XVII. Ἐξήρανεν] εξηρεν 23, 106, 155, 157, 248, 254, 296, 307. Compl. Alex. ἐξ αὐτῶν] αυτους 55, 106, 155, 157, 254, 307. Alex. καὶ κατέπαυσεν] + αυτους 155. ἀπὸ γῆς] εκ γης 307.

XVIII. Οὐκ ἔκτισται] ουκ εκτισθη 307. ἀνθρώποις] ανθρωπος 248. ὑπερηφανία] ὑπερηφάνιαν (sic) 155. γεννήμ. γυναικῶν] præmitt. εν 55, 106, 157, 254.

XIX. Σπέρμα ἔντιμον 1°. &c. ad fin. com.] σπερμα ασφαλειας οἱ φοβουμενοι Κυριον, και εντιμον φυτευμα οἱ αγαπωντες αυτον· σπερμα ατιμιας οἱ μη προσεχοντες τω νομω, σπερμα πλανησεως οἱ παραβαινοντες εντολας 248. Compl. σπέρμα 3°—σπέρμα 6°] ∧ alterutr. cum. intermed. 106. οἱ φοβούμ. τὸν Κύριον] οἱ φοβουμ. Κυριον 23. ὁ φοβουμενος τον Κυριον 254. σπέρμα ἄτιμον ποῖον 1°] σπερμα εντιμον ποιον 155. σπερμα ατιμον τι (sic infra) 308. σπέρμα ἄτιμον ποῖον 2°] ∧ 155. σπέρμα ἀνθρώπου 2°] ∧ 155. ∧ σπερμα 308. οἱ παραβαίνοντες] οἱ μη παραβαινοντες 155.

XX. οἱ φοβούμ. Κύριον] οἱ φοβουμ. τον Κυριον 157, 296, 307, 308. ἐν ὀφθαλμοῖς αὐτοῦ] + προληψεως αρχη φοβος Κυριου· εκβολης δε αρχη, και σκληρισμος και υπερηφανια (cum και primo virgul. transfix. ab eadem m.) 106. + προ ληξεως αρχη φοβος Κυριου, εκβολη δε αρχης σκληρυσμος και υπερηφανια 248. Compl. + πρὸ λήξεως ἀρχῆς φόβος Κυρίου· ἐκβολὴ δὲ ἀρχῆς σκληρισμὸς καὶ ὑπερηφανία in charact. minore Alex.

XXIII. καὶ οὐ καθήκει] και οὐ καθηκεν 23, 55, 106, 155, 157, 254, 307. Ald. Alex.

XXIV. Μεγιστὰν] μεγιστανες 23. Compl. μεγιστανος 155, 307, 308. μεγισταν δε 248. καὶ κριτὴς] και κριται 248. Compl. καὶ δυνάστης] και δυνασται 248. Compl. δοξασθήσεται] θαυμασθησεται 55, 254. δοξασθησονται 248. Compl. αὐτῶν τίς μείζων] τις αυτων μειζων 248. Compl. τοῦ φοβουμένου] τῶν φοβουμένων Alex.

XXV. Οἰκέτῃ σοφῷ] οικετη συνετω 23, 106, 248, 307. Compl. οὐ γογγύσει] σὺν γογγήσει (sic) 155. + πᾶς δευόμενος (sic) 248. + παιδευόμενος Compl. (Alex. in charact. minore.)

XXVI. στενοχωρίας σου] ∧ σου 106. Ald.

XXVII. Κρείσσων] κρεισσων γαρ 248, 254. κρεισσον 307. κρεῖσσον γὰρ Compl. ἐργαζόμενος] + και περισσευων 106, (157. scr. περισσευον) 296. Alex. præmitt. ὁ 248. Compl. ἐν πᾶσιν] εν πονοις 55, 254. ἐν πᾶσιν, ἢ περιπατῶν] και περισσευων εν πασιν 23, 248. Compl. ἢ δοξαζόμενος] ∧ ἢ 55, 106, 155, 157, 296. Alex. ἢ ὁ δοξαζομενος 248. Compl. εργαζομενος 307. καὶ ἀπορῶν] καὶ ὑστερῶν Alex. ἄρτων] αρτου 106, 155, 248. Compl.

XXVIII. ἐν πραΰτητι] + σου 248. Compl. δὸς αὐτῇ] ποίησον τῇ ψυχῇ σου Chrysost. xii. 231. ἀξίαν] τάξην (sic) 155.

XXIX. εἰς τὴν ψυχὴν αὐτοῦ] ∧ τὴν Alex. καὶ τίς δοξάσει] και τις ατιμασει 106. τὸν ἀτιμάζοντα] τον δοξαζοντα 106. ∧ τον 157.

XXX. δι' ἐπιστήμην αὐτοῦ] διὰ τὴν ἐπιστήμην αὐτοῦ Ald.

XXXI. Ὁ δὲ δοξαζόμενος] ὁ δεδοξασμενος 106, 157, 248, 296, 307. Compl. Alex. ἐν πτωχείᾳ, καὶ ἐν πλούτῳ] εν πλουτῳ, και εν πτωχειᾳ 23, 254. sic, sine εν secundo, 296. ἐν πλούτῳ 1°] + αυτου 307. ποσαχῶς] ποσαχης 23. ποσαπλως 296, 308. καὶ ὁ ἄδοξος] και αδοξος 23. καὶ ὁ ἄδοξος &c. ad fin. com.] ∧ 307. Compl. ἐν πλούτῳ] εν πτωχεια 23, 296. καὶ ἐν πτωχείᾳ] εν πλουτω 23. ∧ και 248. Ald. και εν πλουτω 296.

I. ἀνύψωσε] ανυψωσει 23, 55, 106, 155, 157, 248, 254. Compl. Alex. υψωσει 307. κεφαλὴν] + αυτου 55, 106, 155, 157, 248, 254, 296, 307. Compl. Alex. καθίσει] καθησει III.

II. Μὴ αἰνέσεις] μη επαινεσεις (primo επαινεσης) 106. μη αινεσης 157, 248, 296, 307. Compl. Alex. Μὴ αἰνέσ. ἄνδρα] μὴ ἐπαινέσης ἄνθρωπον Chrysost. ii. 179. βδελύξῃ] βδελυξει 308. ἄνθρωπον] ἄνδρα Chrysost. l. cit. (Cf. xi. 572.)

ΚΕΦ. XI.

3. ἐν κάλλει αὐτοῦ, καὶ μὴ βδελύξῃ ἄνθρωπον ἐν ὁράσει αὐτοῦ. Μικρὰ ἐν πετεινοῖς μέλισσα, καὶ
4. ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς. Ἐν περιβολῇ ἱματίων μὴ καυχήσῃ, καὶ ἐν ἡμέρᾳ δόξης μὴ
5. ἐπαίρου, ὅτι θαυμαςὰ τὰ ἔργα Κυρίου, καὶ κρυπτὰ τὰ ἔργα αὐτοῦ ἐν ἀνθρώποις. Πολλοὶ τύραν-
6. νοι ἐκάθισαν ἐπὶ ἐδάφους, ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα. Πολλοὶ δυνάςαι ἠτιμάσθησαν
7. σφόδρα, καὶ ἔνδοξοι παρεδόθησαν εἰς χεῖρας ἑτέρων. Πρὶν ἐξετάσῃς μὴ μέμψῃ· νόησον πρῶτον
8. 9. καὶ τότε ἐπιτίμα. Πρὶν ἢ ἀκοῦσαι μὴ ἀποκρίνου, καὶ ἐν μέσῳ λόγων μὴ παρεμβάλλου. Περὶ
10. πράγματος οὗ οὐκ ἔςι σοι χρεία, μὴ ἔριζε, καὶ ἐν κρίσει ἁμαρτωλῶν μὴ συνέδρευε. Τέκνον, μὴ
περὶ πολλὰ ἔςωσαν αἱ πράξεις σου· ἐὰν πληθυνῇς, οὐκ ἀθωωθήσῃ· καὶ ἐὰν διώκῃς, οὐ μὴ κατα-
11. λάβῃς, καὶ οὐ μὴ ἐκφύγῃς διαδράς. Ἔςι κοπιῶν καὶ πονῶν καὶ σπεύδων, καὶ τόσῳ μᾶλλον ὑςε-
12. ρεῖται. Ἔςι νωθρὸς καὶ προσδεόμενος ἀντιλήψεως, ὑςερῶν ἰσχύϊ, καὶ πτωχείᾳ περισσεύει, καὶ
οἱ ὀφθαλμοὶ Κυρίου ἐπέβλεψαν αὐτῷ εἰς ἀγαθά, καὶ ἀνώρθωσεν αὐτὸν ἐκ ταπεινώσεως αὐτοῦ.
13. 14. Καὶ ἀνύψωσε κεφαλὴν αὐτοῦ, καὶ ἀπεθαύμασαν ἐπ' αὐτῷ πολλοί. Ἀγαθὰ καὶ κακά, ζωὴ καὶ
17. θάνατος, πτωχεία καὶ πλοῦτος παρὰ Κυρίου ἐςί. Δόσις Κυρίου παραμένει εὐσεβέσι, καὶ ἡ εὐ-
18. δοκία αὐτοῦ εἰς τὸν αἰῶνα εὐοδωθήσεται. Ἔςι πλουτῶν ἀπὸ προσοχῆς καὶ σφιγγίας αὐτοῦ, καὶ
19. αὕτη ἡ μερὶς τοῦ μισθοῦ αὐτοῦ. Ἐν τῷ εἰπεῖν αὐτόν, Εὗρον ἀνάπαυσιν, καὶ νῦν φάγωμαι ἐκ τῶν
ἀγαθῶν μου καὶ οὐκ οἶδε τίς καιρὸς παρελεύσεται, καὶ καταλείψει αὐτὰ ἑτέροις, καὶ ἀποθανεῖ-
20. 21. ται. Στῆθι ἐν διαθήκῃ σου καὶ ὁμίλει ἐν αὐτῇ, καὶ ἐν τῷ ἔργῳ σου παλαιώθητι. Μὴ θαύμαζε
ἐν ἔργοις ἁμαρτωλοῦ, πίςευε τῷ Κυρίῳ, καὶ ἔμμενε τῷ πόνῳ σου· ὅτι κοῦφον ἐν ὀφθαλμοῖς Κυρίου
22. διὰ τάχους ἐξάπινα πλουτίσαι πένητα. Εὐλογία Κυρίου ἐν μισθῷ εὐσεβοῦς, καὶ ἐν ὥρᾳ ταχινῇ
23. ἀναθάλλει εὐλογίαν αὐτοῦ. Μὴ εἴπῃς, Τίς ἐςί μου χρεία; καὶ τίνα ἀπὸ τοῦ νῦν ἔςαι μου τὰ
24. 25. ἀγαθά; Μὴ εἴπῃς, Αὐτάρκη μοι ἐςί, καὶ τί ἀπὸ τοῦ νῦν κακωθήσομαι; Ἐν ἡμέρᾳ ἀγαθῶν
26. ἀμνησία κακῶν, καὶ ἐν ἡμέρᾳ κακῶν οὐ μνησθήσεται ἀγαθῶν. Ὅτι κοῦφον ἔναντι Κυρίου ἐν ἡμέρᾳ

III. μέλισσα] ἡ μελισσα 55, 106, 157, 248. Compl. Chryfoft. xi. 145.

IV. τὰ ἔργα Κυρίου] τα εργα του Κυριου 55. + εςι 248. Compl. ἐν ἀνθρώποις] ‸ εν 23, 157, 248, 254, 296, 307. Compl. τοις ανθρωποις 106. habet ἐν in charact. minore Alex.

VI. ἠτιμάσθησαν] ητοιμασθησαν 106. ἑτέρων] εταιρων 157.

VII. Πρὶν ἐξετάσῃς] πριν ἢ εξετασῃς 23, 55, 248, 254, 307. Compl. Alex. πριν εξετασαι 106. ὁ πριν εξετασης 155. πριν η εξετασεις 157. μὴ μέμψῃ] μη μεμφου 68, 106. Ald. μη πεμψει 155. + δι' ἀκοῆς in charact. minore Alex.

VIII. Πρὶν ἢ ἀκοῦσαι] ‸ ἢ 23, 155, 296. Alex. ‸ πριν 308. μὴ ἀποκρίνου] + ῥῆμα in charact. minore Alex. παρεμβάλλου] παραβαλλου 23. παρεμβαλλε ρημα 248. Compl.

IX. περὶ πράγματος] περὶ δὲ πράγματος Ald. ἔςι σοι χρεία] ‸ χρεια 23, 248, 296, 307. Compl. habet χρεία in char. min. Alex.

X. μὴ περὶ πολλὰ] μη επι πολλα 155. αἱ πράξεις σου] ‸ σου 253. ἐὰν πληθυνῇς] εαν γαρ πληθυνῃς 55, 106, 157, 248, 254. Compl. ἐὰν διώκῃς] εαν διωκεις 307. οὐ μὴ ἐκφύγῃς] ου μη φυγῃς 253. οὐ μὴ ἐκφεύγῃς Ald. διαδράς] εαν διαδρασκῃς 23, 253. δραμοντα marg. ab al. m. 106.

XI. κοπιῶν καὶ πονῶν] πονων και κοπιων 253. τόσῳ μᾶλλον] ποσῳ μαλλον III. τοσουτω μαλλον 55, 155, 157, 248, 254. Compl. τὸ σῶμα μᾶλλον (fic) 307. ὑςερεῖται] + δι' επαγγελειαν ωμων ιδιων [αυτα] 253.

XII. καὶ προσδεόμενος] ‸ και 23, 55, 106, 155, 157, 248, 254, 307. Compl. Alex. ὑςερῶν ἰσχύϊ] υςερων ισχυει 307. καὶ πτωχείᾳ περισσεύει] και πτωχειᾳ περισσευων 55, 106, 155, 157. και περισσευων πτωχειᾳ 248, 253. Compl. περισσεύει] περισευσει 296. οἱ ὀφθαλμοὶ Κυρίου ἐπέβλεψαν] οφθαλμος Κυριου επεβλεψεν 248. Compl. fic, nifi ὁ οφθαλμος, 307.

XIII. Καὶ ἀνύψωσε] και υψωσε 106. κεφαλὴν αὐτοῦ] + απο συντριβης 248, 253. Compl. (Alex. in charact. minore.) καὶ ἀπεθαύμασαν] και εθαυμασαν 106, 248. Compl. ἐπ' αὐτῷ] εν αυτῳ 55. πολλοί] + θεωρησαντες 23, 248, 253. Compl.

XIV. παρὰ Κυρίου ἐςί] + σοφια και επιςημη και γνωσις νομου παρα Κυριου· αγαπησις και οδοι καλων εργων παρ' αυτου εςιν. πλανη και σκοτος (fcr. ενοτος) αμαρτωλοις συνεκτιςαι· τοις δε τα υπ' ωσιν (fic) επι κακια συνγηρα κακια. 23. + σοφια και επιςημη και γνωσις νομου παρα Κυριου· αγαπησις και οδοι καλων εργων παρ' αυτου εςι· πλανη και σκοτος αμαρτωλοις συνεκτιςαι· οἷς δε γαυριωσιν επι κακιαις συνεγειρει κακα. 106. + σοφια και επιςημη και γνωσις νομου παρα Κυριου· αγαπησις και οδοι καλων εργων παρ' αυτου εισι· πλανη και σκοτος αμαρτωλοις συνεκτιςαι· τοις δε γαυριωσιν επι κακα συγγηρα κακια. 248. Compl. + eadem, nifi ἐπὶ κακίᾳ συγγηρᾷ κακά, in char. min. Alex. παρα Κυριου, αγαπησις και οδοι καλων εργων παρ' αυτου εςι. πλανη και σκοτος αμαρτωλοις συνεκτιςαι. τοις δε γαυριωσιν επι κακιᾳ σὺν γηρῷ (fic) κακα. 253.

XVII. παραμένει] διαμενει 253. εἰς τὸν αἰῶνα] ‸ τον 308. εἰς τὸν αἰῶνα εὐοδωθήσεται] εὐοδοῖ εις τον αιωνα 248. Compl.

XVIII. καὶ σφιγγίας] και σκνηφειας 106. ‸ και 253. ἡ μερὶς τοῦ μισθοῦ] ἡ μερις αυτου απο του μισθου 23, 248, 253. Compl.

XIX. καὶ νῦν—ἀγαθῶν μου] και νυν φαγομαι απο των αγαθων μου αδιαλειπτως 106. φάγωμαι] φαγομαι 157, 296, 307. Ald. ἐκ τῶν ἀγαθῶν μου] απο των αγαθων μου αδιαλειπτως 248. Compl. + ἀδιαλείπτως in charact. minore Alex. παρελεύσεται] + αυτον 248, 253. Compl.

XX. ἐν αὐτῇ] ‸ εν 155. εν αυτῳ 248, 307. Compl. καὶ ἐν τῷ ἔργῳ σου] ‸ εν 106.

XXI. πίςευε τῷ Κυρίῳ] πιςευε δε Κυριῳ 55, 106, 155, 157, 248, 253, 254. Compl. Alex. πιςευε δε τῳ Κυριῳ 296, 307. τῷ πόνῳ σου] præmitt. εν 253. πλουτίσαι] πλουτησαι III, 307.

XXII. Εὐλογία Κυρίου] ευλογια γαρ Κυριου 106. ἐν μισθῷ] εμμεσῳ III. εὐσεβοῦς] ευσεβειας 157. εὐλογίαν αὐτοῦ] ευφροσυνην αυτου 55, 254.

XXIII. Τίς ἐςί] τις ετι εςι 253. μου χρεία] + αρεσκειας 248. Compl. καὶ τίνα] και τι 155. και τινι 157, 248. Compl. ἔςαι μου] εςαι μοι 23, 248, 307. Compl. εςι μου 106. εςι μοι 253. τὰ ἀγαθὰ] ‸ τα 253.

XXIV. Μὴ εἴπῃς] καὶ εἴπῃς Ald. Αὐτάρκη μοι ἐςὶ] + και πολλα μοι ἃ εχω 106, 248. Compl. + ἃ εχω 253. καὶ τί ἀπὸ] και τινι απο 55. και οτι απο 155. κακωθήσομαι] κακωθησωμαι 155. + εν ζωη 248. Compl.

XXV. Ἐν ἡμέρᾳ ἀγαθῶν] εν ημερᾳ αγαθῃ III, 106, 296. ἐν ἡμέρᾳ ἑορτῆς Greg. Nyff. iii. 351. ἀγαθῶν] κακων (155. corr. ut in Ed.) 157. ἀμνησία κακῶν] αμνησικακια 106. ἀμνηςία πρέπει κακῶν Greg. Nyff. l. cit. καὶ ἐν ἡμέρᾳ κακῶν] και εν ημερα αγαθων 157. οὐ μνησθήσεται] οὐ μνησθησομαι 55. ‸ οὐ Ald. οὐ μνησθ. ἀγαθῶν] αμνησια αγαθων 157.

XXVI. ἔναντι Κυρίου] εν οφθαλμοις Κυριου 55, 254. Alex. κατὰ τὰς ὁδοὺς αὐτοῦ] κατα τα εργα αυτου 248. Compl.

ΚΕΦ. XI.

τελευτῆς ἀποδοῦναι ἀνθρώπῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ. Κάκωσις ὥρας ἐπιλησμονὴν ποιεῖ τρυφῆς, καὶ 27.
ἐν συντελείᾳ ἀνθρώπου ἀποκάλυψις ἔργων αὐτοῦ. Πρὸ τελευτῆς μὴ μακάριζε μηδένα, καὶ ἐν 28.
τέκνοις αὐτοῦ γνωσθήσεται ἀνήρ. Μὴ πάντα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶκόν σου, πολλὰ γὰρ 29.
τὰ ἔνεδρα τοῦ δολίου. Πέρδιξ θηρευτὴς ἐν καρτάλλῳ οὕτως καρδία ὑπερηφάνου, καὶ ὡς ὁ κατάσκο- 30.
πος ἐπιβλέπει πτῶσιν. Τὰ γὰρ ἀγαθὰ εἰς κακὰ μεταστρέφων ἐνεδρεύει, καὶ ἐν τοῖς αἱρετοῖς ἐπι- 31.
θήσει μῶμον. Ἀπὸ σπινθῆρος πυρὸς πληθύνεται ἀνθρακία, καὶ ἄνθρωπος ἁμαρτωλὸς εἰς αἷμα 32.
ἐνεδρεύει. Πρόσεχε ἀπὸ κακούργου, πονηρὰ γὰρ τεκταίνει, μήποτε μῶμον εἰς τὸν αἰῶνα δῷ σοι. 33.
Ἐνοίκισον ἀλλότριον, καὶ διαστρέψει σε ἐν ταραχαῖς, καὶ ἀπαλλοτριώσει σε τῶν ἰδίων σου. 34.

ΚΕΦ. XII.

ΕΑΝ εὖ ποιῇς, γνῶθι τίνι ποιεῖς, καὶ ἔσται χάρις τοῖς ἀγαθοῖς σου. Εὐποίησον εὐσεβεῖ, καὶ 1. 2.
εὑρήσεις ἀνταπόδομα, καὶ εἰ μὴ παρ᾽ αὐτοῦ, ἀλλὰ παρὰ ὑψίστου. Οὐκ ἔστιν ἀγαθὰ τῷ ἐνδελε- 3.
χίζοντι εἰς κακὰ, καὶ τῷ ἐλεημοσύνην μὴ χαριζομένῳ. Δὸς τῷ εὐσεβεῖ, καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρ- 4.
τωλοῦ. Εὐποίησον τῷ ταπεινῷ, καὶ μὴ δῷς ἀσεβεῖ· ἐμπόδισον τοὺς ἄρτους αὐτοῦ, καὶ μὴ δῷς αὐτῷ, 5.
ἵνα μὴ ἐν αὐτοῖς σε δυναστεύσῃ· διπλάσια γὰρ κακὰ εὑρήσεις ἐν πᾶσιν ἀγαθοῖς οἷς ἂν ποιήσῃς
αὐτῷ. Ὅτι καὶ ὁ ὕψιστος ἐμίσησεν ἁμαρτωλοὺς, καὶ τοῖς ἀσεβέσιν ἀποδώσει ἐκδίκησιν. Δὸς τῷ 6. 7.
ἀγαθῷ, καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρτωλοῦ. Οὐκ ἐκδικηθήσεται ἐν ἀγαθοῖς ὁ φίλος, καὶ οὐ κρυβήσε- 8.
ται ἐν κακοῖς ὁ ἐχθρός. Ἐν ἀγαθοῖς ἀνδρὸς οἱ ἐχθροὶ αὐτοῦ ἐν λύπῃ, καὶ ἐν τοῖς κακοῖς αὐτοῦ 9.
καὶ ὁ φίλος διαχωρισθήσεται. Μὴ πιστεύσῃς τῷ ἐχθρῷ σου εἰς τὸν αἰῶνα· ὡς γὰρ ὁ χαλκὸς ἰοῦ- 10.
ται, οὕτως ἡ πονηρία αὐτοῦ. Καὶ ἐὰν ταπεινωθῇ καὶ πορεύηται συγκεκυφὼς, ἐπίστησον τὴν ψυ- 11.
χήν σου καὶ φύλαξε ἀπ᾽ αὐτοῦ, καὶ ἔσῃ αὐτῷ ὡς ἐκμεμαχὼς ἔσοπτρον, καὶ γνώσῃ ὅτι οὐκ εἰς τέλος
κατίωσε. Μὴ στήσῃς αὐτὸν παρὰ σεαυτὸν, μὴ ἀνατρέψας σε στῇ ἐπὶ τὸν τόπον σου· μὴ καθίσῃς 12.
αὐτὸν ἐκ δεξιῶν σου, μήποτε ζητήσῃ τὴν καθέδραν σου, καὶ ἐπ᾽ ἐσχάτῳ ἐπιγνώσῃ τοὺς λόγους μου,

XXVII. ἐπιλησμονὴν] ἐπὶ πλησμονὴν 307. τρυφῆς] τροφης 155. + πολλης 253. καὶ ἐν συντελείᾳ] ∧ εν 23, 253. και συντελειαν 248. Compl. ἀνθρώπου] ανθρωπων 254.

XXVIII. Πρὸ τελευτῆς—μηδένα] Μὴ μακαρίζῃς ἄνδρα πρὸ τελευτῆς αὐτοῦ Euſeb. Præp. Evang. p. 610. ſic, niſi μακαρίσῃς, Theodoret. iv. 916. Πρὸ τελευτῆς &c. ad fin. com.] *Ne beatificaveris hominem ante mortem, quia neſcis quæ erunt ejus noviſſima.* Origen. iv. 506. γνωσθήσεται] επιγνωσθησεται 55, 253, 254. ἀνήρ] habet in char. minore Alex.

XXIX. εἴσαγε] εισαγαγε 106, 155, 254, 296. τοῦ δολίου] του διαβολου 106, 248. Compl.

XXX. Πέρδιξ θηρευτὴς] πέρδιξ θηρευθεὶς Compl. οὕτως καρδία] ουτω λογος εν καρδιᾳ 55, 254. καὶ ὡς ὁ κατάσκ.] ∧ ὁ 23, 106, 248. Compl. ἐπιβλέπει πτῶσιν] επιβας επι πτωσιν 248. Compl.

XXXI. εἰς] εἰσὶ (ſic) 106. καὶ ἐν τοῖς αἱρετοῖς &c. ad fin. com. ſeq.] ∧ 106. ἐν τοῖς αἱρετοῖς] εν τοις ετεροις III. ∧ αιρετοις 155. εν τοις αιρετικοις 248. Compl. εν τοις αινετοις 253. εν τοις εργοις 307.

XXXII. Ἀπὸ σπινθῆρος πυρὸς] απο σπινθηρος μικρας 248. Compl. πληθύνεται] πληθυνθησεται 55, 254.

XXXIII. τεκταίνει] τεκταινεται 106, 248, 307. Compl. μήποτε &c. ad fin. com.] μηποτε δω σοι μῶμον εις τον αιωνα 248. Compl. δῷ σοι] δωσει 155. δως 296.

XXXIV. Ἐνοίκισον] ενοικησον 106. Ἐνοίκισον ἀλλότριον] ενοικος αλλοτριος 253. καὶ διαστρέψει σε] και διαστρεψεις 296. Ald. ἐν ταραχαῖς] εν ταραχη 23, 248, 253. Compl. καὶ ἀπαλλοτριώσει] και αλλοτριωσει (ſcr. αλλοτριωσι) 23. τῶν ἰδίων σου] των οδων σου 155. εκ των ιδιων σου 248. Compl.

I. Ἐὰν εὖ ποιῇς] εαν εὐ ποιεις 307. κἀν εὐ ποιης 308. ἐὰν ποιῇς ἀγαθὸν Athan. ii. 235. γνῶθι] βλέπε Athan. l. cit. τίνι ποιεῖς] τι ποιεις 296.

II. εὐσεβεῖ] ευσεβη 106, 307. Compl. ἀλλὰ] αλλα και 307. παρὰ ὑψίστου] παρα του υψιστου 23, 55, 106, 155, 157, 248, 253, 254, 307. Compl. Alex.

III. Οὐκ ἔστιν ἀγαθὰ] ουκ εσται αγαθα 23, 155, 157, 248, 253, 254. Compl. Alex. τῷ ἐνδελεχίζοντι] ∧ τῳ 307. ἐλεημοσύνην] ἐλεημοσύνης Compl. μὴ χαριζομένῳ] μὴ χωριζομένῳ Compl.

IV. τῷ εὐσεβεῖ] ∧ τῳ 106. μὴ ἀντιλάβῃ] μη αντιλαμβανου 307. Alex. τοῦ ἁμαρτωλοῦ] ∧ του 106, 248, 307. Compl. του πονηρου 253.

V. τῷ ταπεινῷ] ∧ τῳ 55, 106, 155, 157, 248, 253, 254, 296, 307. Compl. Alex. καὶ μὴ δῷς 1°] και μη δος 307. τοὺς ἄρτους αὐτοῦ] τους αρτους σου 23, 248. Compl. γὰρ κακὰ] ∧ κακα 307. εὑρήσεις] ευρησουσιν III. ευρησει σοι 248. Compl. ευρησει σοι κρυφιως 253. εὑρήσει σε Alex. οἷς ἂν ποιήσῃς αὐτῷ] οἷς αν ποιης αυτω 23, 248. Compl. Ald. οἷς εαν ποιησης αυτω 55, 157, 254, 296. Alex. οἷς αν ποιησης αυτω ματαιως 253. οἷς αν ποιησεις αυτω 307.

VI. καὶ ὁ ὕψιστος] ∧ ὁ Ald. τοῖς ἀσεβέσιν] τοῖς εὐσεβέσιν Compl. ἀποδώσει ἐκδίκησιν] αποδῳ εις εκδικησιν III. + φυλασσει δε αυτους εις ημεραν εκδικησεως αυτων 106. + φυλασσει δε αυτους εις ημεραν εκδικησεως αυτων κραταιαν 248. Compl. (Alex. in charact. minore.) + eadem, niſi κραταιαν αυτων, 253.

VII. μὴ ἀντιλάβῃ] μὴ ἀντιλάβου Alex. τοῦ ἁμαρτωλοῦ] αμαρτωλω 155. ∧ του 248, 253, 307. Compl. Alex.

VIII. Οὐκ ἐκδικηθήσεται] ου κρυβησεται 55, 254. ουκ επιγνωσθησεται 106, 253. ουκ εκβληθησεται 155, 248. Compl. οὐκ ἐμβληθήσεται Alex.

IX. καὶ ὁ φίλος] ∧ και 155.

X. ἡ πονηρία αὐτοῦ] præmitt. και 55, 106, 157, 254, 307.

XI. καὶ πορεύηται] και πορευσηται 155. καὶ πορεύεται Ald. συγκεκυφὼς] κεκυφως 307. τὴν ψυχήν σου] τῇ ψυχῇ σου Alex. καὶ φύλαξε] και φυλαξαι 55, 68, 106, 248, 254, 296, 307. Compl. Ald. καὶ ἔσῃ αὐτῷ] και εση επ᾽ αυτω 307. ὡς ἐκμεμαχὼς] ως εκμασσων (marg. ab al. m. και εκμαχως) 296. ως εμμεμαχως 307. ως ὁ εκμασσων 308. καὶ γνώσῃ] και επιγνωσῃ 253. κατίωσε] κατιωσαι 106. κατιωκε 253. κατίωται Alex.

XII. Μὴ στήσῃς αὐτὸν] μὴ στήσῃς αὐτῷ Ald. παρὰ σεαυτὸν] παρα σεαυτω 55, 157, 248, 253, 254, 296, 307. Compl. Alex. παρὰ σεαυτὸν—καθίσῃς] παρα σεαυτω· μηδε καθισης 106. μὴ ἀνατρ.] ινα μη ανατρ. 253. μὴ ἀνατρέψας σε] μη καταστρεψας σε 23. μηποτε καταστρεψας σε 248. Compl. μη αναστρεψας σε 155, 157, 308. Alex. μὴ ἀναστρέψας Ald. στῇ] εστη 155. Ald. στῇ ἐπὶ τὸν τόπον σου] εις τον τοπον σου στη 253. ἐπὶ τὸν τόπον σου] επι του τοπου σου 296, 308. τὴν καθέδραν σου] + λαβειν 106, 248. Compl. ἐπ᾽ ἐσχάτῳ] επ᾽ εσχατων 55, 106, (155. ſcr. αισχατων.) 157, 248, 254, 307. Compl. Alex. ἐπιγνώσῃ] ευρησεις 106. κατανυγήσῃ] κατανυγισῃ. Μη δεσμευσεις δις αμαρτιαν· εν γαρ μιᾳ ουκ αθωωθησῃ 68. Ald.

ΚΕΦ. XII.

13. καὶ ἐπὶ τῶν ῥημάτων μου κατανυγήσῃ. Τίς ἐλεήσει ἐπαοιδὸν ὀφιόδηκτον, καὶ πάντας τοὺς προσ-
14. άγοντας θηρίοις; Οὕτως τὸν προσπορευόμενον ἀνδρὶ ἁμαρτωλῷ καὶ συμφυρόμενον ἐν ταῖς ἁμαρ-
15. 16. τίαις αὐτοῦ. Ὥραν μετὰ σοῦ διαμενεῖ, καὶ ἐὰν ἐκκλίνῃς, οὐ μὴ καρτερήσῃ. Καὶ ἐν τοῖς χείλεσιν
αὐτοῦ γλυκανεῖ ὁ ἐχθρὸς, καὶ ἐν τῇ καρδίᾳ αὐτοῦ βουλεύσεται ἀνατρέψαι σε εἰς βόθρον· ἐν ὀφθαλ-
17. μοῖς αὐτοῦ δακρύσει ὁ ἐχθρὸς, καὶ ἐὰν εὕρῃ καιρὸν, οὐκ ἐμπλησθήσεται ἀφ' αἵματος. Κακὰ ἂν
18. ὑπαντήσῃ σοι, εὑρήσεις αὐτὸν ἐκεῖ πρότερόν σου, καὶ ὡς βοηθῶν ὑποσχάσει πτέρναν σου. Κινή-
σει τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐπικροτήσει ταῖς χερσὶν αὐτοῦ, καὶ πολλὰ διαψιθυρίσει, καὶ ἀλλοι-
ώσει τὸ πρόσωπον αὐτοῦ.

ΚΕΦ. XIII.

1. 2. Ο ΑΠΤΟΜΕΝΟΣ πίσσης μολυνθήσεται, καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ ὁμοιωθήσεται αὐτῷ. Βά-
ρος ὑπὲρ σὲ μὴ ἄρῃς, καὶ ἰσχυροτέρῳ σου καὶ πλουσιωτέρῳ μὴ κοινώνει· τί κοινωνήσει χύτρα πρὸς
3. λέβητα; αὕτη προσκρούσει, καὶ αὕτη συντριβήσεται. Πλούσιος ἠδίκησε, καὶ αὐτὸς προσενεβριμή-
4. σατο· πτωχὸς ἠδίκηται, καὶ αὐτὸς προσδεηθήσεται. Ἐὰν χρησιμεύσῃς, ἐργᾶται ἐν σοί· καὶ
5. ἐὰν ὑστερήσῃς, καταλείψει σε. Ἐὰν ἔχῃς, συμβιώσεταί σοι, καὶ ἀποκενώσει σε, καὶ αὐτὸς οὐ
6. πονέσει. Χρείαν ἔσχηκέ σου, καὶ ἀποπλανήσει σε, καὶ προσγελάσεταί σοι, καὶ δώσει σοι ἐλ-
7. πίδα· λαλήσει σοι καλὰ, καὶ ἐρεῖ, Τίς ἡ χρεία σου; Καὶ αἰσχυνεῖ σε ἐν τοῖς βρώμασιν αὐτοῦ,
ἕως οὗ ἀποκενώσῃ σε δὶς ἢ τρὶς, καὶ ἐπ' ἐσχάτῳ καταμωκήσεταί σου· μετὰ ταῦτα ὄψεταί σε, καὶ
8. καταλείψει σε, καὶ τὴν κεφαλὴν αὐτοῦ κινήσει ἐπὶ σοί. Πρόσεχε μὴ ἀποπλανηθῇς, καὶ μὴ τα-
9. πεινωθῇς ἐν εὐφροσύνῃ σου. Προσκαλεσαμένου σε δυνάστου, ὑποχωρῶν γίνου, καὶ τόσῳ μᾶλλον
10. προσκαλέσεταί σε. Μὴ ἔμπιπτε ἵνα μὴ ἀπωσθῇς, καὶ μὴ μακρὰν ἀφίστω ἵνα μὴ ἐπιλησθῇς.
11. Μὴ ἔπεχε εἰσηγορεῖσθαι μετ' αὐτοῦ, καὶ μὴ πίστευε τοῖς πλείοσι λόγοις αὐτοῦ· ἐκ πολλῆς γὰρ
12. λαλιᾶς πειράσει σε, καὶ ὡς προσγελῶν ἐξετάσει. Ἀνελεήμων ὁ μὴ συντηρῶν λόγους, καὶ οὐ μὴ

XIII. προσάγ. θηρίοις] προσαγ. θηριον 308. + ἑαυτοῦς Chrysost. ii. 776.

XIV. τὸν προσπορευόμενον] τον προσαγοντα 253. καὶ συμφυρόμενον] και συμφερομενον III. (155. corr. ut in Ed. ab eadem m.) και τον συμπεριφερομενον 253. ἐν ταῖς ἁμαρτίαις] ∧ εν 253.

XV. διαμενεῖ] διαμένει εν στασει (scr. στασι) 23. διαμένει 55, 106, 254, 307. + εν στασει δικαια 248. Compl. διαμένει εν στασει δικαια 253. καὶ ἐὰν ἐκκλίνῃς] ∧ και 55, 254. και εαν εκκλινη 253. οὐ μὴ καρτερήσῃ] + απο αδικιας 23, 253. ου καρτερησει 55. ου μη καρτερει 155. ου μη καρτερησει 157, 307. ∧ μη 254.

XVI. Καὶ ἐν τοῖς χείλεσιν] ∧ και 55, 157, 253, 254. ὁ ἐχθρὸς 1°] ∧ ὁ 23. + και πολλα ψιθυρισει και ερει σοι καλα λεγων 68. Ald. καὶ ἐν τῇ καρδίᾳ—ὁ ἐχθρὸς 2°] εν οφθαλμοις αυτου δακρυσει· και η καρδια αυτου βουλευσεται αναστρεψαι σε εις βοθρον 23. sic, cum ἐν τῇ καρδίᾳ pro ἡ καρδία αὐτοῦ, Ald. ἀνατρέψαι] ἀναστρέψαι Ald. εἰς βόθρον] εις βοθυνον 55, 254. ἐν ὀφθαλμοῖς] præmitt. και 253. δακρύσει ὁ ἐχθρὸς] ∧ ὁ εχθρος 248, 253. Compl. Ald. καὶ ἐὰν εὕρῃ] ∧ και 55, 254.

XVII. Κακὰ ἂν] κακα εαν 106, 157, 248, 254, 296, 307. Compl. Alex. Κακὰ ἂν—πρότερόν σου] εαν σοι υπαντηση κακα, ευρησεις αυτον προτερον σου εκει 253. ὑπαντήσῃ σοι] συναντηση σοι 106. απαντηση σοι 155. υποστηση σοι 254. εὑρήσεις] ευρησει (scr. ευρησι) 23. αὐτὸν] εαυτον 23. ἐκεῖ πρότερόν σου] προτερον εκει σου III, 155. ∧ προτερον 23. προτερον σου εκει 55, 106, 157, 248, 254, 296, 307. Compl. καὶ ὡς βοηθῶν] και ως ανθρωπος βοηθων 248. Compl. ὑποσχάσει] υποσκαψει 23, 253. υποχαλαση 296, 308. υποσκελισει 307. πτέρναν σου] τας πτερνας σου 253.

XVIII. Κινήσει τὴν κεφαλὴν αὐτοῦ] και την κεφαλην αυτου κινησει 23. sic, sine και, 55, 155, 248, 253, 307. Compl. Alex. την κεφαλην κινησει αυτου 254. την κεφαλην αυτου κινησει επι σοι 106, 157, 296, 308. ταῖς χερσὶν αὐτοῦ] ∧ αυτου 23, 248, 253, 307. Compl. καὶ πολλὰ] ∧ και 106. καὶ πολλὰ &c. ad fin. com.] ∧ 155. διαψιθυρίσει] διαψιθυριει 23, 106, 248. Compl. ψιθυρισει 55, 254. διαψιθ. καὶ ἀλλοιώσει] διαψιθυριζων αλλοιωσει 253.

I. μολυνθήσεται] + εν αυτη 248. Compl. καὶ ὁ κοινωνῶν] ∧ ὁ 248. Compl. ὑπερηφάνῳ] υπερηφανος 155.

II. μὴ ἄρῃς] + εν ζωη σου 248. Compl. καὶ ἰσχυρ. σου καὶ πλουσιωτ.] και πλουσιωτερω σου και ισχυροτερω σου 253. καὶ πλουσιωτέρῳ] + σου 248, 254, 307. Compl. Alex. προσκρούσει] συγκρουση 155.

III. ἠδίκησε] ηδικηται 253. καὶ αὐτὸς 1°] και αυτο 155. καὶ αὐτὸς προσενεβρ.] και αυτου προσδεηθησονται 248. Compl. προσενεβριμήσατο] ενεβριμησατο 23. προσενεμβριμησατο 106. πτωχὸς &c. ad fin. com.] πτωχος ηδικησε και αυτος προσαπειληθησεται 248. Compl. πτωχὸς ἠδίκηται] πτωχος ηδικηθη 55, 254.

IV. καταλείψει σε] εγκαταλειψει σε 106. καταθλιψει σε 248. Compl.

V. Ἐὰν ἔχῃς] præmitt. και 248. Compl. οὐ πονέσει] ου ποιησει 23. ου πονησει 253. ου μη πονει 307.

VI. Χρείαν ἔσχ.] χρειαν τινα εσχ. 253. καὶ ἀποπλανήσει σε] και αποπλανα σε 307. δώσει σοι ἐλπίδα] δωσει σοι ελπιδας 296. καλὰ] κακα 155. καὶ ἐρεῖ] και ερεις III.

VII. ἐν τοῖς βρώμασιν αὐτοῦ] ∧ εν 248. Compl. εν τοις βρωμασιν αυτων 307. ἀποκενώσῃ] αποκενωσει 157, 248. Compl. Ald. Alex. καὶ ἐπ' ἐσχάτῳ] και επ' εσχατων 23, 106, 248, 254, 296. Compl. καταμωκήσεται] καταμωμησεται 23. καταμωκ. σου] καταμωκ. σε 55, 254. μετὰ ταῦτα] præmitt. και 248. Compl. καταλείψει σε] καταληψει σε 308. ἐπὶ σοί] επι σε 106, 296.

VIII. μὴ ἀποπλανηθῇς] + τη διανοια 23, 248. Compl. + τη διανοια σου 106. μη πλανηθης 307. καὶ μὴ ταπεινωθῇς] ∧ μη 55, 254. ἐν εὐφροσύνῃ σου] εν ευφροσυνη καρδιας σου 23, 248, 253. Compl.

IX. ὑποχωρῶν γίνου] tr. 253. τόσῳ μᾶλλον] τοσουτον μαλλον 106. τοσουτω μαλλον 248. Compl. τῷ σῷ μᾶλλον (sic) 307. προσκαλέσεταί σε] ∧ σε 23, 155, 307. tr. 55, 106, 157, 254, 296. προσκαλεσεται πλεοναζων 248. + πλεοναζων 253. σε προσκαλέσεται πλεονάζων Compl. σε προσκαλέσηται Alex.

X. ἵνα μὴ ἀπωσθῇς] ∧ ινα 55, 155, 253, 254. μη απωσθης ακριτως 106. + ακριτως 248. Compl. μη αποθης 307. habet ἵνα in char. min. Alex. μακρὰν ἀφίστω] μακραν αφιστων 68. Ald. μακροὺς αφιστω 253. ἐπιλησθῇς] εμπλησθης (corr. ab al. m. ut in Ed.) 248.

XI. εἰσηγορεῖσθαι] ισηγορεισθαι 106, 254. μετ' αὐτοῦ] αυτῳ 253. καὶ μὴ πίστευε] και μη πιστευσης 55, 248, 254. Compl. ἐξετάσει] + τα κρυπτα σου 23, 106, 248, 253. Compl. + σε 55, 68, 155, 157, 254, 296. Ald. Alex. προσγελασει σε 307.

XII. Ἀνελεήμων—λόγους] ανελεημονως δε συντηρησει λογους σου 253. λόγους] λογους σου 23. οὐ μὴ φείσηται] ου μη φεισεται 307. Compl. Ald. περὶ κακώσεως] περι κακωσεως σου 248. Compl. απο κακωσεως 307.

ΚΕΦ. XIII.

φείσηται περὶ κακώσεως καὶ δεσμῶν. Συντήρησον καὶ πρόσεχε σφοδρῶς, ὅτι μετὰ τῆς πτώσεώς 13.
σου περιπατεῖς. Πᾶν ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτῷ, καὶ πᾶς ἄνθρωπος τὸν πλησίον αὐτοῦ. Πᾶσα 15. 16.
σὰρξ κατὰ γένος συνάγεται, καὶ τῷ ὁμοίῳ αὐτοῦ προσκολληθήσεται ἀνήρ. Τί κοινωνήσει λύκος 17.
ἀμνῷ; οὕτως ἁμαρτωλὸς πρὸς εὐσεβῆ. Τίς εἰρήνη ὑαίνῃ πρὸς κύνα; καὶ τίς εἰρήνη πλουσίῳ πρὸς 18.
πένητα; Κυνήγια λεόντων ὄναγροι ἐν ἐρήμῳ, οὕτως νομαὶ πλουσίων πτωχοί. Βδέλυγμα ὑπερη- 19. 20.
φάνῳ ταπεινότης, οὕτως βδέλυγμα πλουσίῳ πτωχός. Πλούσιος σαλευόμενος στηρίζεται ὑπὸ φίλων, 21.
ταπεινὸς δὲ πεσὼν προσαπωθεῖται ὑπὸ φίλων. Πλουσίου σφαλέντος πολλοὶ ἀντιλήπτορες, ἐλά- 22.
λησεν ἀπόῤῥητα καὶ ἐδικαίωσαν αὐτόν· ταπεινὸς ἔσφαλε καὶ προσεπετίμησαν αὐτῷ, ἐφθέγξατο
σύνεσιν καὶ οὐκ ἐδόθη αὐτῷ τόπος. Πλούσιος ἐλάλησε καὶ πάντες ἐσίγησαν, καὶ τὸν λόγον αὐτοῦ 23.
ἀνύψωσαν ἕως τῶν νεφελῶν· πτωχὸς ἐλάλησε, καὶ εἶπαν, Τίς οὗτος; κἂν προσκόψῃ, προσανα-
τρέψουσιν αὐτόν. Ἀγαθὸς ὁ πλοῦτος ᾧ μή ἐστιν ἁμαρτία, καὶ πονηρὰ ἡ πτωχεία ἐν στόμασιν 24.
ἀσεβοῦς. Καρδία ἀνθρώπου ἀλλοιοῖ τὸ πρόσωπον αὐτοῦ, ἐάν εἰς ἀγαθὰ ἐάν τε εἰς κακά. Ἴχνος 25. 26.
καρδίας ἐν ἀγαθοῖς πρόσωπον ἱλαρὸν, καὶ εὕρεσις παραβολῶν διαλογισμοὶ μετὰ κόπου.

ΚΕΦ. XIV.

ΜΑΚΑΡΙΟΣ ἀνὴρ ὃς οὐκ ὠλίσθησεν ἐν στόματι αὐτοῦ, καὶ οὐ κατενύγη ἐν λύπῃ ἁμαρτίας. Μα- 1. 2.
κάριος οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ, καὶ ὃς οὐκ ἔπεσεν ἀπὸ τῆς ἐλπίδος αὐτοῦ. Ἀνδρὶ μικρολόγῳ 3.
οὐ καλὸς ὁ πλοῦτος, καὶ ἀνθρώπῳ βασκάνῳ ἱνατί χρήματα; Ὁ συνάγων ἀπὸ τῆς ψυχῆς αὐτοῦ, 4.
συνάγει ἄλλοις, καὶ ἐν τοῖς ἀγαθοῖς αὐτοῦ τρυφήσουσιν ἕτεροι. Ὁ πονηρὸς ἑαυτῷ, τίνι ἀγαθὸς 5.
ἔσται; καὶ οὐ μὴ εὐφρανθήσεται ἐν τοῖς χρήμασιν αὐτοῦ. Τοῦ βασκαίνοντος ἑαυτὸν οὐκ ἔστι πονη- 6.
ρότερος, καὶ τοῦτο ἀνταπόδομα τῆς κακίας αὐτοῦ. Κἂν εὐποιῇ, ἐν λήθῃ ποιεῖ, καὶ ἐπ᾽ ἐσχάτων 7.
ἐκφαίνει τὴν κακίαν αὐτοῦ. Πονηρὸς ὁ βασκαίνων ὀφθαλμῷ, ἀποστρέφων πρόσωπον καὶ ὑπερο- 8.
ρῶν ψυχάς. Πλεονέκτου ὀφθαλμὸς οὐκ ἐμπίπλαται μερίδι, καὶ ἀδικία πονηρὰ ἀναξηραίνει ψυ- 9.

XIII. καὶ πρόσεχε] και προσχε 308. καὶ πρόσχες Compl. σφοδρῶς] σφοδρα 68. Ald. + του ακουειν 106, 248. Compl. περιπατεῖς] + ακουων αυτα εν υπνω σου γρηγορησον· παση ζωη σου αγαπα τον Κυριον· και επικαλου αυτον εν σωτηρια σου. 106. + ακουων ταυτα εν υπνω σου γρηγορησον παση ζωη αγαπα τον Κυριον και επικαλου αυτον εις σωτηριαν σου. 248. Compl. + eadem, nisi ἐπικαλοῦ αὐτοῦ, in charact. minore Alex. + ακουων αυτα εν υπνοις σου και γρηγορησεις παση ζωη αγαπα τον Κυριον και επικαλου αυτον εις σωτηριαν σου 253.

XV. Πᾶν ζῶον] ἕκαστον ζῶον Cyrill. Alex. iv. 944. τὸ ὅμοιον αὐτῷ] το ομοιον αυτου 23, 68, 106. Chrysost. ix. 461. xi. 12. καὶ πᾶς ἄνθρωπος] + αγαπα 248. Compl. ‸ πας 254. Chrysost. l. cit. καὶ πᾶς ἄνθρωπος—συνάγεται in com. seq.] ‸ cum intermed. Cyrill. Alex. l. cit. τὸν πλησίον αὐτοῦ] ‸ αυτου 55, 254. τὸ πλησίον αὐτοῦ Ald.

XVI. Πᾶσα σὰρξ] præmitt. και 307. κατὰ γένος] + αυτης 55, 254. συνάγεται] συναπτεται 307.

XVII. οὕτως ἁμαρτωλὸς] ουδε αμαρτωλος 253. πρὸς εὐσεβῆ] ευσεβει 253.

XVIII. εἰρήνη] ειρηνην 155.

XIX. Κυνήγια] και ως θηρα (ex corr. ab al. m.) 106. νομαὶ πλουσίων] νομη πλουσιων 253. πτωχοί] præmitt. οἱ 23, 106, 155, 157, 253.

XX. Βδέλυγμα ὑπερηφάνῳ] βδελυγμα υπερηφανων 248. Compl. ταπεινότης] ταπεινωσις 254, 296. Alex. βδέλυγμα πλουσίῳ] βδελυγμα πλουσιου 155.

XXI. ὑπὸ φίλων 1°—ὑπὸ φίλων 2°] ‸ alterutr. cum intermed. 155. ταπεινὸς &c. ad fin. com.] ‸ 106. ταπεινὸς δὲ] πτωχος δε 248. Compl. προσαπωθεῖται] προσαποθανειται 296, 308.

XXII. ἐδικαίωσαν αὐτόν] εδικαιωσαν πολλοι 155. ταπεινὸς ἔσφαλε] ταπεινος ουκ εσφαλε 253. ταπεινος ελαλησε 307. ταπεινὸς ἐσφάλη Alex. προσεπετίμησαν] προσετιμησαν 106, 253.

XXIII. ἀνύψωσαν] ανυψωσεν 307. ἀνύψ. ἕως τῶν νεφελ.] εως των νεφελ. ανυψ. 253. καὶ εἶπαν] και ειπον 106. κἂν προσκόψῃ] και εαν προσκοψη 248. Compl. καν προσκοψει 308. προσανατρέψουσιν] προσανατρεπουσιν 307. Alex.

XXIV. Ἀγαθὸς] + ἐστιν Alex. ὁ πλοῦτος] ‸ ὁ 308. ᾧ μή ἐστιν] ᾧ μη προσεστιν 248, 253. Compl. ἐν στόμασιν ἀσεβοῦς] εν στοματι ασεβους 55, 106, (155. scr. στοματη) 157, 248, 296, 307. Compl. Alex. ἐν στόμασιν εὐσεβοῦς Ald.

XXV. ἐὰν εἰς ἀγαθὰ] εαν τε εις αγαθα 23, 55, 106, 157, 248, 253, 254, 307. Compl. Alex. εἰς κακά] + και αγαθυνει προσωπον εν τερψει καρδια θαλλουσα 106, 248. Compl. (Alex. in charact. minore.) εις πονηρα, και αγαθυνει προσωπον εν τερψει καρδια ευθαλλουσα 253.

XXVI. πρόσωπον ἱλαρὸν] tr. 23. προσωπον ιλαρυνει (scr. ηλαρυνει) 155. προσωπον θαλλον 248. Compl. διαλογισμοὶ] διαλογισμος 23, 253. Compl. διαλογισμων 307. μετὰ κόπου] μετα κοσμου 23. μετα κοπων 106, 157, 254, 296. Alex. μετα κοπον 155.

I. Μακάριος ἀνὴρ] μακάριος ὡς ἀληθῶς ἀνὴρ Clem. Alex. p. 200. ‸ ἀνὴρ Isidor. Pel. p. 116. ἐν στόματι αὐτοῦ] εν τω στοματι αυτου 23, 55, 248, 254. Compl. Alex. εν στοματι αυτων 307. ἐν γλώσσῃ αὐτοῦ Isidor. Pel. l. cit. καὶ οὐ κατενύγη] και ὃς οὐ κατενυγη 106. ἐν λύπῃ] εν πληθει 248. Compl. ἁμαρτίας] αμαρτιων 55, 155, 157, 248, 254. Compl. Alex. αμαρτωλων 307.

II. ἀπὸ τῆς ἐλπίδος αὐτοῦ] + της επι τον Κυριον 23, 253. + της επι Κυριον 106, 248. Compl.

III. οὐ καλὸς] ουκ αγαθος 253. καὶ ἀνθρώπῳ βασκάνῳ] και ανδρι βασκανω 248. Compl.

IV. τρυφήσουσιν] εντρυφησουσιν 155. τρυφησωσιν 308.

V. ἑαυτῷ] σεαυτω 253. ἀγαθὸς ἔσται] tr. 248. Compl. καὶ οὐ μὴ] και ουκ 248. Compl. εὐφρανθήσεται] ευφρανθη 23, 253, 307. ἐν τοῖς χρήμασιν αὐτοῦ] εν τοις αγαθοις αυτου 23, 253. επι τοις χρημασιν αυτου 55, 155, 157, 254.

VI. βασκαίνοντος] βασκανοντος III. οὐκ ἔστι πονηρότερος] ουκ εστι πονηροτερον 106. τοῦτο ἀνταπόδομα] τουτο το ανταποδομα 155, 253. τῆς κακίας] της καρδιας 155.

VII. Κἂν εὐποιῇ] και ευποιη 155. και εαν ευποιηση 248. Compl. και εαν εὖ ποιει 307. και ευποιει 308. ἐν λήθῃ ποιεῖ] ουχ εκων ποιει 248. Compl. καὶ ἐπ᾽ ἐσχάτων] και επ᾽ εσχατω 253. ἐκφαίνει] εκφανει 55, 248, 254. Compl.

VIII. ὁ βασκαίνων] + ιδειν 248. Compl. ὀφθαλμῷ] οφθαλμον εαυτου III. + ἑαυτοῦ Alex.

IX. Πλεονέκτου] πλεονέκτου δὲ Alex. οὐκ ἐμπίπλαται] ου πιμπλαται 248, 253. Compl. μερίδι] μεριδα III. μεριδος 106, 248. Compl. Alex. præmitt. εν 253. + πονηρα 308. καὶ ἀδικία πονηρὰ] και αδικια πονηρου 248. Compl. ψυχήν] + αυτου 23, 248. Compl.

ΣΟΦΙΑ ΣΕΙΡΑΧ.

ΚΕΦ. XIV.

10. 11. χήν. Ὀφθαλμὸς πονηρὸς φθονερὸς ἐπ᾽ ἄρτῳ, καὶ ἐλλιπὴς ἐπὶ τῆς τραπέζης αὐτȣ̃. Τέκνον,
12. καθὼς ἐὰν ἔχεις εὐποίει σεαυτὸν, καὶ προσφορὰς Κυρίῳ ἀξίως πρόσαγε. Μνήσθητι ὅτι θάνα-
13. τος ȣ̓ χρονιεῖ, καὶ διαθήκη ᾅδȣ ȣ̓χ ὑπεδείχθη σοι. Πρίν σε τελευτῆσαι εὐποίει φίλῳ· καὶ κατὰ
14. τὴν ἰσχύν σου ἔκτεινον καὶ δὸς αὐτῷ. Μὴ ἀφυςερήσῃς ἀπὸ ἀγαθῆς ἡμέρας, καὶ μερὶς ἐπιθυ-
15. μίας ἀγαθῆς μή σε παρελθάτω. Οὐχὶ ἑτέρῳ καταλείψεις τȣ̀ς πόνȣς σου, καὶ τȣ̀ς κόπους σου
16. εἰς διαίρεσιν κλήρου; Δὸς καὶ λάβε, καὶ ἀπάτησον τὴν ψυχήν σου, ὅτι ȣ̓κ ἔςιν ἐν ᾅδȣ ζητῆσαι
17. 18. τρυφήν. Πᾶσα σὰρξ ὡς ἱμάτιον παλαιȣ̃ται· ἡ γὰρ διαθήκη ἀπ᾽ αἰῶνος, θανάτῳ ἀποθανῇ. Ὡς
φύλλον θάλλον ἐπὶ δένδρου δασέος, τὰ μὲν καταβάλλει, ἄλλα δὲ φύει· ȣ̔́τως γενεὰ σαρκὸς καὶ
19. αἵματος, ἡ μὲν τελευτᾷ, ἑτέρα δὲ γεννᾶται. Πᾶν ἔργον σηπόμενον ἐκλείπει, καὶ ὁ ἐργαζόμενος
20. αὐτὸ μετ᾽ αὐτȣ̃ ἀπελεύσεται. Μακάριος ἀνὴρ ὃς ἐν σοφίᾳ τελευτήσει, καὶ ὃς ἐν συνέσει αὐτȣ̃
21. διαλεχθήσεται. Ὁ διανοȣ́μενος τὰς ὁδȣ̀ς αὐτῆς ἐν καρδίᾳ αὐτȣ̃, καὶ ἐν τοῖς ἀποκρύφοις αὐτῆς
22. 23. νοηθήσεται. Ἔξελθε ὀπίσω αὐτῆς ὡς ἰχνευτὴς, καὶ ἐν ταῖς εἰσόδοις αὐτῆς ἐνέδρευε. Ὁ παρα-
24. κύπτων διὰ τῶν θυρίδων αὐτῆς, καὶ ἐπὶ τῶν θυρωμάτων αὐτῆς ἀκροάσεται. Ὁ καταλύων σύνεγγυς
25. τȣ̃ οἴκȣ αὐτῆς, καὶ πήξει πάσσαλον ἐν τοῖς τοίχοις αὐτῆς. Στήσει τὴν σκηνὴν αὐτȣ̃ κατὰ χεῖ-
26. ρας αὐτῆς, καὶ καταλύσει ἐν καταλύματι ἀγαθῶν. Θήσει τὰ τέκνα αὐτȣ̃ ἐν τῇ σκέπῃ αὐτῆς,
27. καὶ ὑπὸ τȣ̀ς κλάδȣς αὐτῆς αὐλισθήσεται. Σκεπασθήσεται ὑπ᾽ αὐτῆς ἀπὸ καύματος, καὶ ἐν τῇ
δόξῃ αὐτῆς καταλύσει.

ΚΕΦ. XV.

1. 2. Ο ΦΟΒΟΥΜΕΝΟΣ Κύριον ποιήσει αὐτὸ, καὶ ὁ ἐγκρατὴς τȣ̃ νόμου καταλήψεται αὐτήν. Καὶ
3. ὑπαντήσεται αὐτῷ ὡς μήτηρ, καὶ ὡς γυνὴ παρθενίας προσδέξεται αὐτόν. Ψωμιεῖ αὐτὸν ἄρτον
4. συνέσεως, καὶ ὕδωρ σοφίας ποτίσει αὐτόν. Στηριχθήσεται ἐπ᾽ αὐτὴν καὶ οὐ μὴ κλιθῇ, καὶ ἐπ᾽
5. αὐτῆς ἐφέξει καὶ οὐ μὴ καταισχυνθῇ. Καὶ ὑψώσει αὐτὸν παρὰ τȣ̀ς πλησίον αὐτȣ̃, καὶ ἐν μέσῳ
6. ἐκκλησίας ἀνοίξει ςόμα αὐτȣ̃. Εὐφροσύνην καὶ ςέφανον ἀγαλλιάματος καὶ ὄνομα αἰώνιον κατα-
7. κληρονομήσει. Οὐ μὴ καταλήψονται αὐτὴν ἄνθρωποι ἀσύνετοι, καὶ ἄνδρες ἁμαρτωλοὶ οὐ μὴ

X. καὶ ἐλλιπὴς &c. ad fin. com.] ∧ 307. ἐπὶ τῆς τραπέζης] επι τραπεζη 155.

XI. ἐὰν ἔχεις] εαν εχης 55, 68, 106, 157, 248, 254, 296. Compl. Ald. Alex. αν εχης 155. εὐποίει σεαυτὸν] ∧ σεαυτον 23. ευποιει σεαυτω 55, 157, 248, 253, 254. Compl. εὖ ποίησον σεαυτω 106. εὖ ποιη σεαυτω 307. προσφορὰς Κυρίῳ] tr. 253. ἀξίως] ∧ 106. ἀξίως πρόσαγε] tr. 253. πρόσαγε] προσαγαγε 55, 106, 155, 254.

XII. ὑπεδείχθη σοι] υπελειφθη σοι 106.

XIII. Πρίν σε τελευτῆσαι] πριν ἢ τελευτησαι σε 106. πριν ἢ σε τελευτησαι 296, 307, 308. εὐποίει] εὖ ποίησον 106.

XIV. Μὴ ἀφυςερήσῃς] μη υςερει 23. ἀπὸ ἀγαθῆς] habet in charact. minore Alex. παρελθάτω] παρελθετω 55, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex.

XV. Οὐχὶ ἑτέρῳ] ȣχι ετεροις 55, 106, 155, 157, 296. Alex. ȣχι ετερȣς 307. ȣχι ετεραν 308. τȣ̀ς πόνȣς σου] τȣς εαυτȣ πονȣς 253. εἰς διαίρεσιν] εις διαιρεσεις 55, 106, (155. scr. διαιρεσις) 157, 307. Compl. Alex. κλήρȣ] κληρων 307. Alex.

XVI. καὶ ἀπάτησον] και αποτισον III. και αγιασον 106, 248, 253, 296. Compl. Ald. Alex. ἐν ᾅδου] εν αδη 23. ἐν ᾅδει Alex. ζητῆσαι] ∧ 296, 308. ζητῆσαι τρυφήν] μνησθηναι ζωην 253. τρυφήν] τρυφης III. τροφη 296, 308. τροφήν Compl.

XVII. Πᾶσα σὰρξ] præmitt. και 307. παλαιȣ̃ται] παλαιωθησεται 307. ἀπ᾽ αἰῶνος] εως αιωνος 106. ἡ απ᾽ αιωνος 248. Compl. ἀποθανῇ] αποθανειται 23. τελευτα 106. αποθανει 307.

XVIII. θάλλον] θαλλου 296. ȣ̔́τως γενεὰ] ȣτως και γενεα 106, (155. scr. γεναια) 157, 248, 296, 307. Compl. Alex. ἑτέρα δὲ] αλλη δε 155. γεννᾶται] + δια προςαγματος Κυριου 253.

XIX. ἐκλείπει] εκλειψει κατα ποιησιν 253.

XX. τελευτήσει] μελετησει καλα 106, 248, 253. Compl. τελευτα 307. μελετήσει Alex. καὶ ὃς &c. ad fin. com.] και εν συνεσει διαλεγησεται αγια. 253. διαλεχθήσεται] διαδεχθησεται αγια 23. + αγια 248. Compl. διαδεχθησεται 254.

XXI. Ὁ διανοȣ́μενος] ∧ ὁ 155. Alex. τὰς ὁδȣ̀ς αὐτῆς] τας οδȣς αυτȣ 248, 307. Compl. ἐν καρδίᾳ αὐτȣ̃] εν καρδια αυτης 155. ἀποκρύφοις αὐτῆς] αποκρυφοις αυτοις 155. ἀποκρύφοις αὐτȣ̃ Ald. νοηθήσεται] εννοηθησεται 55, 106, 155, 157, 248, 253, 254, 296, 307. Compl. Alex.

XXII. ἐν ταῖς εἰσόδοις] εν ταις οδοις 23, 55, 106, 155, 157, 248, 254, 296, 307. Compl. Alex.

XXIV. καὶ πήξει] και πησσει III. καὶ πήξει &c. ad fin. com.] ∧ 68. Ald. και εν τοις τοιχοις αυτης πηξει πασσαλον 248, 253. Compl. τοίχοις αὐτῆς] τοιχοις αυτων 308.

XXV. τὴν σκηνὴν αὐτȣ̃] τὴν σκηνὴν αὐτῆς Ald. ἐν καταλύματι ἀγαθῶν] εν καταλυματι αγαθω 23.

XXVI. Θήσει] ςησει 155, 157, 307. ςηση 296, 308. καὶ ςήσει Alex. τὰ τέκνα αὐτȣ̃] τα τεκνα αυτης 23. ἐν τῇ σκέπῃ] ∧ τῃ 296, 308. Alex.

XXVII. ὑπ᾽ αὐτῆς] απ᾽ αυτης III, 106, 157, 248, 296. Compl. Alex. εν τη σκεπη αυτης 23, 253. ἀπὸ καύματος] απο καυσωνος 253.

I. Ὁ φοβȣμ. Κύριον] ὁ φοβȣμ. τον Κυριον 248, 253. Compl. ∧ ὁ 308. ποιήσει αὐτὸ] ποιησει αυτα 23, 106, 248, 253. Compl. καὶ ὁ ἐγκρατὴς &c. ad fin. com.] και ὁ ειληφως γνωσιν νομȣ ευρησει αυτην 23, 253. ὁ ἐγκρατ. τȣ̃ νόμȣ] ὁ εγκρατης γνωσεως νομȣ 248. Compl. καταλήψεται] αντιληψεται 106. ευρησει 248. Compl. καταλειψεται 308. αὐτήν] αυτον III. αυτων 106.

II. Καὶ ὑπαντήσεται] απαντησεται γαρ 23, 253. και υπαντησει 55, 106, 155, 157. Alex. Καὶ ὑπαντήσεται—μήτηρ] και ως μητηρ υπαντησει αυτω 248. Compl. ∧ cum intermed. 307. αὐτῷ] αυτȣ 155. ∧ 308. αὐτόν] ∧ 106.

III. Ψωμιεῖ] ψωμιεις 23. ψωμισει 106. ποτίσει] ποιησει 23. ποτιει 155, 157, 254, 296, 307. Compl. Alex.

IV. Στηριχθήσεται] ςηρισθησεται III, 23. ἐπ᾽ αὐτὴν] εν αυτη 23. υπ᾽ αυτης 106. καὶ ἐπ᾽ αὐτῆς] και επ᾽ αυτην 23. και επ᾽ αυτῃ 55, 157, 254. Alex.

V. καὶ ἐν μέσῳ] ∧ και 55, 254. ςόμα αὐτȣ̃] præmitt. το 55, 106, 157, 307, 308. Alex. το ςομα αυτης 155.

VI. ςέφανον ἀγαλλιάματος] + ευρησει 106, 248. Compl. Alex. ςεφανον αγαλλιασεως 155, 307. ὄνομα αἰώνιον] ονομα αιωνος 23, 155, 157, 248, 253. Compl. Alex. κατακληρονομήσει] κληρονομησει 106. + αυτον 248. Compl.

VII. Οὐ μὴ καταλήψονται] οὐ μη καταληψωνται 106. præmitt. και 248, 253. Compl. ἄνθρωποι ἀσύνετοι] tr. 106. καὶ ἄνδρες

ΚΕΦ. XV.

ἴδωσιν αὐτήν. Μακράν ἐςιν ὑπερηφανίας, καὶ ἄνδρες ψεῦςαι οὐ μὴ μνησθήσονται αὐτῆς. Οὐχ 8. 9.
ὡραῖος αἶνος ἐν ςόματι ἁμαρτωλοῦ, ὅτι οὐ παρὰ Κυρίου ἀπεςάλη. Ἐν γὰρ σοφίᾳ ῥηθήσεται αἶ- 10.
νος, καὶ ὁ Κύριος εὐοδώσει αὐτόν. Μὴ εἴπῃς, Ὅτι διὰ Κύριον ἀπέςην· ἃ γὰρ ἐμίσησεν, οὐ ποι- 11.
ήσεις. Μὴ εἴπῃς, Ὅτι αὐτός με ἐπλάνησεν· οὐ γὰρ χρείαν ἔχει ἀνδρὸς ἁμαρτωλοῦ. Πᾶν βδέ- 12. 13.
λυγμα ἐμίσησε Κύριος καὶ οὐκ ἔςιν ἀγαπητὸν τοῖς φοβουμένοις αὐτόν. Αὐτὸς ἐξ ἀρχῆς ἐποίησεν 14.
ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ. Ἐὰν θέλῃς, συντηρήσεις ἐντολὰς, καὶ πί- 15.
ςιν ποιῆσαι εὐδοκίας. Παρέθηκέ σοι πῦρ καὶ ὕδωρ, οὗ ἐὰν θέλῃς ἐκτενεῖς τὴν χεῖρά σου. Ἔναντι 16. 17.
ἀνθρώπων ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ ὃ ἐὰν εὐδοκήσῃ δοθήσεται αὐτῷ. Ὅτι πολλὴ σοφία τοῦ Κυ- 18.
ρίου, ἰσχυρὸς ἐν δυναςείᾳ καὶ βλέπων τὰ πάντα. Καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐ- 19.
τὸν, καὶ αὐτὸς ἐπιγνώσεται πᾶν ἔργον ἀνθρώπου. Καὶ οὐκ ἐνετείλατο οὐδενὶ ἀσεβεῖν, καὶ οὐκ ἔδω- 20.
κεν ἄνεσιν οὐδενὶ ἁμαρτάνειν.

ΚΕΦ. XVI.

ΜΗ ἐπιθύμει τέκνων πλῆθος ἀχρήςων, μὴ εὐφραίνου ἐπὶ υἱοῖς ἀσεβέσιν. Ἐὰν πληθύνωσι, μὴ 1. 2.
εὐφραίνου ἐπ' αὐτοῖς, εἰ μή ἐςιν φόβος Κυρίου μετ' αὐτῶν. Μὴ ἐμπιςεύσῃς τῇ ζωῇ αὐτῶν, καὶ 3.
μὴ ἔπεχε ἐπὶ τὸν τόπον αὐτῶν· κρείσσων γὰρ εἷς ἢ χίλιοι, καὶ ἀποθανεῖν ἄτεκνον ἢ ἔχειν τέκνα
ἀσεβῆ. Ἀπὸ γὰρ ἑνὸς συνετοῦ συνοικισθήσεται πόλις, φυλὴ δὲ ἀνόμων ἐρημωθήσεται. Πολλὰ 4. 5.
τοιαῦτα ἑώρακα ἐν ὀφθαλμοῖς μου, καὶ ἰσχυρότερα τούτων ἀκήκοε τὸ οὖς μου. Ἐν συναγωγῇ ἁμαρ- 6.
τωλῶν ἐκκαυθήσεται πῦρ, καὶ ἐν ἔθνει ἀπειθεῖ ἐξεκαύθη ὀργή. Οὐκ ἐξιλάσατο περὶ τῶν ἀρ- 7.
χαίων γιγάντων, οἳ ἀπέςησαν τῇ ἰσχύϊ αὐτῶν. Οὐκ ἐφείσατο περὶ τῆς παροικίας Λὼτ, οὓς ἐβδε- 8.
λύξατο διὰ τὴν ὑπερηφανίαν αὐτῶν. Οὐκ ἠλέησεν ἔθνος ἀπωλείας, τοὺς ἐξηρμένους ἐν ἁμαρτίαις 9.
αὐτῶν. Καὶ οὕτως ἑξακοσίας χιλιάδας πεζῶν τοὺς ἐπισυναχθέντας ἐν σκληροκαρδίᾳ αὐτῶν. Κἂν 10. 11.
ᾖ εἷς σκληροτράχηλος, θαυμαςὸν τοῦτο εἰ ἀθωωθήσεται, ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτοῦ· δυνάςης

ἁμαρτωλοὶ] και ανθρωποι αμαρτωλοι 55, 106, 155, 254, 296, 307, 308. Alex. ἴδωσιν] ιδωσαν 155.

VIII. ὑπερηφανίας] præmitt. απο 106. Compl. ἄνδρες ψεῦςαι] ανδρες ψευδεις 23. οὐ μὴ μνησθ.] ∧ μη 55, 254. Compl. μνησθήσονται] μνησθωσιν 106.

IX. Οὐχ ὡραῖος] ου γὰρ ὡραῖος Chryfoft. i. 438. Cyrill. Alex. ii. 716. Οὐχ ὡραῖος αἶνος] *Non eſt ſpecioſa laus Dei* Origen. iv. 513. αἶνος] præmitt. ὁ 296. Athan. i. 798. 864. ἐν ςόματι ἁμαρτωλοῦ] εν ςοματι αμαρτωλων 254. παρὰ Κυρίου] παρα του Κυριου 55, 254. ἀπεςάλη] + αυτω 106, 248. Compl.

XI. ἀπέςην] απεςιν 155. ἃ γὰρ &c. ad fin. com.] ἃ γαρ εποιησεν ου μισησει 307.

XII. Ὅτι αὐτός] ∧ οτι 23, 106, 248, 253, 307. Compl. με ἐπλάνησεν] με επλασεν 55, 106, 157, 248, 296, 307. Compl.

XIII. Κύριος] præmitt. ὁ 23, 55, 106, 155, 157, 248, 253, 254, 296, 307. Compl. Alex.

XIV. Αὐτὸς] ουτος 23. αυτος γαρ 155. ἄνθρωπον] præmitt. τον 106. διαβουλίου] διαβολιου 157.

XV. Ἐὰν θέλῃς] εαν θελεις 307. συντηρήσεις] συντηρησαι 55, 157, 253, 254. διατηρησεις 307. συντηρήσῃς Ald. ποιῆσαι] ποιησεις 106.

XVI. Παρέθηκέ σοι] παρεθηκε σε 307. παρέθηκά σοι Chryfoft. ii. 758. οὗ ἐὰν &c. ad fin. com.] ∧ Chryfoft. l. cit. οὗ ἐὰν θέλῃς] οὗ εαν θελεις 307. ἐκτενεῖς] εκτεινεις 157, 254. εκτεινον 248. Compl. τὴν χεῖρά σου] τας χειρας σου 253.

XVII. Ἔναντι ἀνθρώπων &c. ad fin. com.] τὴν ζωὴν καὶ τὸν θάνατον, οὗ ἐὰν θέλῃς ἔκτεινόν σου τὴν χεῖρα. Chryfoft. l. cit. καὶ ὃ ἐὰν εὐδοκ.] και σε αν ευδοκ. 253. εὐδοκήσῃ] ευδοκησει III, 106, 307.

XVIII. σοφία τοῦ Κυρίου] præmitt. ἡ 23, 55, 155, 157, 248, 253, 254, 296. Compl. Alex. ἡ σοφια του Θεου 106. ἡ ευδοκια Κυριου 307. ἰσχυρὸς] præmitt. και 106, 248. Compl.

XIX. ἀνθρώπου] αυτου III. ανθρωπων 155.

XX. Καὶ οὐκ 1°] ∧ και 23, 106, 155, 157, 248, 253, 254, 296, 307. Compl. Alex. οὐδενὶ ἀσεβεῖν] ασεβειν ουδενι 248. Compl. ἔδωκεν] εδωσεν III. ἄνεσιν] ανθρωπων (fcr. ανων) 23. ἄνεσιν οὐδενὶ] tr. 106. ανεσιν τινι 307.

I. πλῆθος ἀχρήςων] πληθος αχρηςον 55, 106, 155, 248, 254. Compl. Alex. μὴ εὐφραίνου] μηδε ευφραινου 55, 155, 157, 248, 254, 296, 307. Compl. Ald. Alex.

II. Ἐὰν πληθύνωσι] εαν πληθυνθωσι 55, 106, 157, 254, 296, 307. (308. ut videtur.) εἰ μὴ &c. ad fin. com.] εἰ μή ἐςι φόβος μετ' αὐτῶν Θεοῦ Chryfoft. i. 81. (Cf. v. 300.) μετ' αὐτῶν] επ' αυτοις 155.

III. τῇ ζωῇ αὐτῶν] την ζωην αυτων 106. καὶ μὴ—τόπον αὐτῶν] ∧ 106, 307. ἐπὶ τὸν τόπον] επι το πληθος 23, 55, 155, 157, 248, 253, 254, 296. Compl. Alex. Chryfoft. v. 300. κρείσσων] κρεισσον 307. Compl. εἷς] + δικαιος 248. Compl. (Alex. in char. minore.) ἀσεβῆ] + καὶ κρείσσων εἷς ποιῶν τὸ θέλημα Κυρίου ἢ μυρίοι παράνομοι Chryfoft. l. cit. (Cf. ii. 261. et al.)

IV. φυλὴ δὲ] αυλη δε 296. ἀνόμων] ασεβων 248. Compl. ἐρημωθήσεται] + εν ταχει 106, 248. Compl. (Alex. in char. minore.)

V. ἑώρακα ἐν ὀφθαλμοῖς μου] εωρακεν ὁ οφθαλμος μου 23, 248, 253. Compl. εωρακαν οἱ οφθαλμοι μοι 307. ὀφθαλμοῖς μου] præmitt. τοις 254. τὸ οὖς μου] το ους σου III.

VI. ἐν ἔθνει ἀπειθεῖ] εν εθνει ασεβει 307. ἐξεκαύθη] εκκαυθησεται 307.

VII. Οὐκ ἐξιλάσατο] ουκ ἐξιλᾶτο III. præmitt. και 254. περὶ τῶν ἀρχαίων γιγάντων] περι των αρχαιων παντων γιγαντων 248. Compl. τῇ ἰσχύϊ αὐτῶν] εν τη ισχυι της αφροσυνης αυτων 106, 248. Compl. (Alex. cum ἐν et τῆς ἀφροσύνης in charact. minore.) τη ισχυι αυτω 308.

IX. Οὐκ ἠλέησεν] præmitt. και 106. præmitt. ουκ ημελησεν και 155. τοὺς ἐξηρμένους] τους εξηρημωμενους 55, 254. τους εξερχομενους 248. Compl. ἐν ἁμαρτίαις αὐτῶν] + ἃς εποιουν 248. Compl.

X. Καὶ οὕτως &c. ad fin. com.] μαςιγων, ελεων, τυπτων, ιωμενος Κυριος εν οικτιρμω και παιδεια διεφυλαξε (fcr. διαφυλαξε) 55. τοὺς ἐπισυναχθ. ἐν σκληροκ.] ∧ (fupplet. in marg. ab al. m. τους εξηρμενους εν σκληροκαρδιαις) 106. ἐν σκληροκαρδίᾳ αὐτῶν] εν σκληροκαρδιαις αυτων 254, 307. αὐτῶν] + μαςιγων· ελεων· τυπτων· ιωμενος Κυριος εν οικτιρμω και παιδεια διεφυλαξε. 106. Compl. + eadem, nifi παιδια, 248.

XI. Κἂν ᾖ εἷς] ἐὰν ᾖ εἷς 55, 308. καὶ ἐὰν ᾖ εἷς 248. Compl. κἂν εἴη 307. σκληροτράχηλος] σκληροκαρδιος 23, 307. σκληροκαρδιος και σκληροτραχηλος 155. + εν λαω 248. Compl. (Alex. in charact. minore.) θαυμαςὸν τοῦτο] ∧ τουτο 253. παρ' αὐτοῦ] παρ' αυτω 23, 55, 106, 155, 157, 253, 254, 296, 307, 308. Alex. παρ' αυτω δια ταχους 248. Compl. μετ' αὐτοῦ Clem. Alex. p. 141. δυνάςης] δυναςῶν III. δυνάςης—ἔλεος αὐτοῦ in com. feq.] Κύριος γὰρ ἀμφοῖν οὗτος μόνος δυνάςης, εὐΐλασμον ἐκχέων ὀργὴν κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ Clem. Alex. l. cit. ἐκχέων] ἐκχέσιν (fic) 68.

ΚΕΦ. XVI.

12. ἐξιλασμῶν, καὶ ἐκχέων ὀργήν. Κατὰ τὸ πολὺ ἔλεος αὐτȣ̃, ȣ̃τως καὶ πολὺς ὁ ἔλεγχος αὐτȣ̃· ἄν-
13. δρα κατὰ τὰ ἔργα αὐτȣ̃ κρίνει. Οὐκ ἐκφεύξεται ἐν ἁρπάγμασιν ἁμαρτωλὸς, καὶ ȣ̓ μὴ καθυςε-
14. ρήσει ὑπομονὴν εὐσεβȣ̃ς. Πάσῃ ἐλεημοσύνῃ ποιήσει τόπον, ἕκαςος κατὰ τὰ ἔργα αὐτȣ̃ εὑρήσει.
17. Μὴ εἴπῃς, Ὅτι ἀπὸ Κυρίου κρυβήσομαι, μὴ ἐξ ὕψȣς τίς μου μνησθήσεται; ἐν λαῷ πλείονι οὐ
18. μὴ μνησθῶ, τίς γὰρ ἡ ψυχή μȣ ἐν ἀμετρήτῳ κτίσει; Ἰδȣ̀ ὁ ȣ̓ρανὸς καὶ ὁ ȣ̓ρανὸς τȣ̃ ȣ̓ρανȣ̃ τȣ̃ Θεȣ̃,
19. ἄβυσσος καὶ γῆ σαλευθήσονται ἐν τῇ ἐπισκοπῇ αὐτȣ̃. Ἅμα τὰ ὄρη καὶ τὰ θεμέλια τῆς γῆς,
20. ἐν τῷ ἐπιβλέψαι εἰς αὐτὰ, τρόμῳ συσσείονται. Καὶ ἐπ' αὐτοῖς οὐ διανοηθήσεται καρδία· καὶ
21. τὰς ὁδȣ̀ς αὐτȣ̃ τίς ἐνθυμηθήσεται; Καὶ καταιγὶς, ἣν ȣ̓κ ὄψεται ἄνθρωπος, τὰ δὲ πλείονα τῶν
22. ἔργων αὐτȣ̃ ἐν ἀποκρύφοις. Ἔργα δικαιοσύνης τίς ἀναγγελεῖ, ἢ τίς ὑπομενεῖ; μακρὰν γὰρ ἡ δια-
23. θήκη. Ἐλαττȣ́μενος καρδίᾳ διανοεῖται ταῦτα, καὶ ἀνὴρ ἄφρων καὶ πλανώμενος διανοεῖται μωρά.
24. 25. Ἄκȣσόν μου, τέκνον, καὶ μάθε ἐπιςήμην, καὶ ἐπὶ τῶν λόγων μου πρόσεχε τῇ καρδίᾳ σȣ. Ἐκ-
26. φαίνω ἐν ςαθμῷ παιδείαν, καὶ ἐν ἀκριβείᾳ ἀπαγγέλλω ἐπιςήμην. Ἐν κρίσει Κυρίȣ τὰ ἔργα αὐ-
27. τȣ̃ ἀπ' ἀρχῆς, καὶ ἀπὸ ποιήσεως αὐτῶν διέςειλε μερίδας αὐτῶν. Ἐκόσμησεν εἰς αἰῶνα τὰ ἔργα
αὐτȣ̃, καὶ τὰς ἀρχὰς αὐτῶν εἰς γενεὰς αὐτῶν· ȣ̃τε ἐπείνασαν, ȣ̃τε ἐκοπίασαν, καὶ οὐκ ἐξέλιπον
28. ἀπὸ τῶν ἔργων αὐτῶν. Ἕκαςος τὸν πλησίον αὐτȣ̃ οὐκ ἔθλιψε, καὶ ἕως αἰῶνος οὐκ ἀπειθήσουσι
29. τȣ̃ ῥήματος αὐτȣ̃. Καὶ μετὰ ταῦτα Κύριος εἰς τὴν γῆν ἐπέβλεψε, καὶ ἐνέπλησεν αὐτὴν τῶν ἀγα-
30. θῶν αὐτȣ̃. Ψυχὴν παντὸς ζώȣ ἐκάλυψε τὸ πρόσωπον αὐτῆς, καὶ εἰς αὐτὴν ἡ ἀποςροφὴ αὐτῶν.

ΚΕΦ. XVII.

1. 2. ΚΥΡΙΟΣ ἔκτισεν ἐκ γῆς ἄνθρωπον, καὶ πάλιν ἀπέςρεψεν αὐτὸν εἰς αὐτήν. Ἡμέρας ἀριθμȣ̃ καὶ
3. καιρὸν ἔδωκεν αὐτοῖς, καὶ ἔδωκεν αὐτοῖς ἐξȣσίαν τῶν ἐπ' αὐτῆς. Καθ' ἑαυτȣ̀ς ἐνέδυσεν αὐτȣ̀ς ἰσχὺν,

XII. πολὺς ὁ ἔλεγχος] πολυ ελεγχος 23. το ελεγχος 248. Compl. ∧ πολυς 254. Clem. Alex. l. cit. et p. 146. τὰ ἔργα αὐτȣ̃] ∧ αυτȣ 253. κρίνει] κτεινει (scr. κτινι) III. κρινεῖ 55, 106, 157, 248, 254, 296, 307. Compl. Clem. Alex. p. 140.

XIII. ἐν ἁρπάγμασιν] εν αρπαγματι 23. 55, 155, 157, 248. 253, 254, 296. Compl. Alex. καθυςερήσει] καθυςερηση 106, 307. Compl. ὑπομονὴν] υπομονη 55, 106, 155, 157, 248, 253, 254, 296, 307. Compl. Alex. εὐσεβȣ̃ς] ἀσεβȣ̃ς Compl.

XIV. Πάσῃ ἐλεημοσύνῃ] πασης ελεημοσυνης 253. ποιήσει τόπον] ποιει τοπον 55, 254. ποιησον τοπον 248. Compl. ποιηση τοπον 307. ἕκαςος] εκαςος γαρ 106, 248. Compl. εὑρήσει] + Κυριος εσκληρυνε Φαραω μη ειδεναι αυτον· οπως αν γνωσθη ενεργηματα λυτρȣ (sic) τη υπ' ȣρανον· παση κτισει το ελεος αυτȣ φανερον· και το φως αυτȣ και το σκοτος εμερισε τω αδαμαντι. 106. + eadem, nisi ενεργ. αυτȣ, et παση τη κτισει, 248. Compl. (Alex. in char. min.)

XVII. Ὅτι ἀπὸ Κυρίου] ∧ οτι 248. Compl. ὅτι παρὰ Κυρίου Alex. μὴ ἐξ ὕψȣς] και εξ υψȣς 23, 106, 155, 157, 248, 253, 307. Compl. Alex. ἐν λαῷ πλείονι] εν γαρ λαω πλειονι 307. ȣ̓ μὴ μνησθῶ] οὐ μη γνωσθω 23, 106, 155, 157, 253, 296, 308. Alex. οὐ μη γνωσθη 307. τίς γὰρ ἡ ψυχή μου] τις γαρ μου ἡ ψυχη 106, 157.

XVIII. Ἰδȣ̀ ὁ ȣ̓ρανὸς] ∧ ὁ 155. Ald. καὶ ὁ ȣ̓ρανὸς] ∧ 106. τȣ̃ Θεȣ̃] ∧ 23, 106, 155, 157, 248, 253, 254, 296, 307. Compl. Alex. καὶ γῆ] + και τα εν αυτοις 106, 248. Compl. και ἡ γη 296. + καὶ τὰ ἐν αὐτῇ in charact. min. Alex. σαλευθήσονται &c. ad fin. com.] εν τη επισκοπη αυτȣ σαλευονται 23, 253. sic, nisi σαλευθησονται, 55, 106, 157, 248, 254, 307. Alex. sic, nisi σαλευθησεται, 155. (296. corr. σαλευθησονται) Compl.

XIX. Ἅμα τὰ ὄρη] præmitt. Απας ὁ κοσμος γεγονως και γινομενος εν θεληματι αυτȣ. 248. Ἅμα τὰ ὄρη—εἰς αὐτὰ] ἐν τῷ ἐπιβλέψαι σε ταραχθήσονται ἐπὶ σȣ ὄρη Chrysost. v. 66. ἐν τῷ ἐπιβλέψαι] + Κυριον 106. εν τω επιβλεπειν 155. εἰς αὐτὰ] εις τ' αυτα Κυριον 248. επ' αυτα 296. ἐπ' αὐτὰ Κύριον Compl. τρόμῳ συσσείονται] tr. 248. Compl. συσσείονται] σειονται (scr. σιονται) 155.

XX. Καὶ ἐπ' αὐτοῖς] και επ' αυτȣς 155. Καὶ ἐπ' αὐτοῖς—καρδία] και αξιως ȣ̓ διανοηθησεται επ' αυτοις καρδια 248. Compl. καὶ τὰς ὁδȣ̀ς αὐτȣ̃] και τας οδȣς αυτης 155.

XXI. Καὶ καταιγὶς] ∧ και 248. Compl. τῶν ἔργων αὐτȣ̃] των εργων αυτων III. τῶν ἔργων τȣ̃ Θεȣ̃ Origen. iii. 203. ἐν ἀποκρύφοις] præmitt. ἐςιν 248, 307. Compl. Origen. l. cit.

XXII. Ἔργα δικαιοσύνης] + αυτȣ 106, 248. Compl. μακρὰν γὰρ] μακρα γαρ 106. ἡ διαθήκη] + και εξετασις απαντων εν τελευτη 106, 248. Compl. (Alex. in charact. minore.)

XXIII. Ἐλαττȣ́μ. καρδίᾳ] ελαττονȣμενος καρδιᾳ (155. ut videtur) Alex. ∧ καρδιᾳ 248. Compl. διανοεῖται ταῦτα] διανοεῖται μάταια Alex. καὶ πλανώμενος] και διεςραμμενος 106. καὶ πλανώμ. διανοεῖται μωρά] διανοειται πλανωμ. μωρα 248. Compl.

XXIV. καὶ μάθε] και μαθησῃ 307. πρόσεχε—Ἐκφαίνω in com. seq.] προσεχε· τη καρδια σου εκφανω 106. πρόσεχε τῇ καρδίᾳ σου] προσεχετω ἡ καρδια σου 55, 254. τῇ καρδίᾳ σȣ] ∧ σȣ 155.

XXV. Ἐκφαίνω] εκφανω 23, 55, 106, 157, 248, 253, 254. Compl. Ald. Alex. εκφαινων 155. ἀπαγγέλλω] απαγγελω 55, 106, 157, 248, 253. Compl. Alex. επαγγελλω 155. Ald. επαγγελω 307. ἐπιςήμην] + αυτȣ 106, 248. Compl. (Alex. in charact. minore.)

XXVI. Ἐν κρίσει] præmitt. και 248. Compl. καὶ ἀπὸ ποιήσεως—τὰ ἔργα αὐτȣ̃ in com. seq.] ∧ 307. ποιήσεως αὐτῶν] ποιήσεως αὐτȣ̃ Ald. διέςειλεν] διέςελλεν Ald. μερίδας αὐτῶν] μεριδα αυτων 106.

IV. Κύριε πάτερ—ἀπ' ἐμοῦ ad fin. com. feq.] κυριε παντοκρατορ της αειγενους κτισεως σου μη καταλιπης εν τοις επελπιζουσι την αδιαλειπτον επισκοπην· μητε μετεωρισμον οφθαλμων μοι δως· αποστησον ταυτα διαπαντος απο του δουλου σου· ελπιδας κενας και επιθυμιας αποστρεψον απ' εμου δουλευειν διαπαντος. 106. μὴ δῷς μοι] μη μοι δως 248. Compl.

V. Καὶ ἐπιθυμίαν ἀπόστρεψον] και γιγαντωδη ψυχην αποστησον διαπαντος απο δουλων σου· ελπιδας κενας και επιθυμιας αποστρεψον 248. Compl. (Alex. cum omnibus præter ~~καὶ ἐπιθυμ.~~ ἀποστρέψ. in charact. minore.) ἀπόστησον ἀπὸ τῶν δούλων σου ἐλπίδας κενάς· καὶ ἐπιθυμίας ἀπρεπεῖς ἀπόστρεψον ἀπ' ἐμοῦ. Clem. Alex. p. 226. ἀπ' ἐμοῦ] + και κρατησεις τον θελοντα σοι δουλευειν διαπαντος 248. Compl. (Alex. in charact. minore.)

VI. ὄρεξις] ορεξεις 106, 253. καὶ συνουσιασμὸς] και συνουσιασμου 106. μὴ παραδῷς με] + τον οικετην σου 106, 248. Compl.

ΠΑΙΔΕΙΑ ΣΤΟΜΑΤΟΣ] ∧ 23, 106, 157, 253. Compl. παιδείας στόματος Ald. habet in charact. minore Alex.

VII. Παιδείαν—τέκνα] ακουσατε τεκνα παιδειαν στοματος αληθινου 248. Compl. Παιδείαν στόματος] + αληθινου 106, 157.

VIII. Καταλειφθήσεται] καταληφθησεται 157. Καταλειφθ. ἁμαρτωλὸς] + εν τη αφροσυνη αυτου 157. εν τη αφροσυνη αυτου καταλειφθ. ὁ αμαρτωλος 248. Compl. σκανδαλισθήσονται] σκανδαλισθησεται 23.

IX. καὶ ὀνομασίᾳ] και ονομα 254. καὶ ὀνομασίᾳ &c ad fin. com.] μηδὲ τῷ ὀνόματι τοῦ ἁγίου συνεθισθῇς Chryfoft. ix. 87. τοῦ ἁγίου] + επι ματαιω 106. τοῦ ὑψίστου Alex. μὴ συνεθισθῇς] μη συνεθισθεις 106.

X. Ὥσπερ γὰρ] ∧ γαρ 55, 106, 157, 253, 254. οὐκ ἐλαττωθήσεται] οὐ καθαρισθήσεται Chryfoft. l. cit. οὕτως καὶ] ∧ και 23, 248, 254. Compl. ουτως 155. οὕτως οὐδὲ Chryfoft. l. cit. ὀνομάζων] præmitt. ὁ Alex. + Θεὸν Chryfoft. ii. 150. διαπαντὸς] + το ονομα

τίας οὐ μὴ καθαρισθῇ. Ἀνὴρ πολύορκος πλησθήσεται ἀνομίας, καὶ οὐκ ἀποστήσεται ἀπὸ τοῦ 11.
οἴκου αὐτοῦ μάστιξ· ἐὰν πλημμελήσῃ, ἁμαρτία αὐτοῦ ἐπ' αὐτῷ, κἂν ὑπερίδῃ, ἥμαρτε δισσῶς· καὶ
εἰ διακενῆς ὤμοσεν, οὐ δικαιωθήσεται, πλησθήσεται γὰρ ἐπαγωγῶν ὁ οἶκος αὐτοῦ. Ἔστι λέξις 12.
ἀντιπεριβεβλημένη θανάτῳ, μὴ εὑρεθήτω ἐν κληρονομίᾳ Ἰακώβ· ἀπὸ γὰρ εὐσεβῶν ταῦτα πάντα
ἀποστήσεται, καὶ ἐν ἁμαρτίαις οὐκ ἐγκυλισθήσονται. Ἀπαιδευσίαν ἀσυρῆ μὴ συνεθίσῃς τὸ στόμα 13.
σου, ἔστι γὰρ ἐν αὐτῇ λόγος ἁμαρτίας. Μνήσθητι πατρὸς καὶ μητρός σου, ἀναμέσον γὰρ μεγι- 14.
στάνων συνεδρεύεις· μήποτ' ἐπιλάθῃ ἐνώπιον αὐτῶν, καὶ τῷ ἐθισμῷ σου μωρανθῇς, καὶ θελήσεις
εἰ μὴ ἐγεννήθης, καὶ τὴν ἡμέραν τοῦ τοκετοῦ σου καταράσῃ. Ἄνθρωπος συνεθιζόμενος λόγοις 15.
ὀνειδισμοῦ, ἐν πάσαις ταῖς ἡμέραις αὐτοῦ οὐ μὴ παιδευθῇ. Δύο εἴδη πληθύνουσιν ἁμαρτίας, καὶ 16.
τὸ τρίτον ἐπάξει ὀργήν· ψυχὴ θερμὴ ὡς πῦρ καιόμενον, οὐ μὴ σβεσθῇ ἕως ἂν καταποθῇ· ἄν-
θρωπος πόρνος ἐν σώματι σαρκὸς αὐτοῦ, οὐ μὴ παύσηται ἕως ἂν ἐκκαύσῃ πῦρ. Ἀνθρώπῳ πόρνῳ 17.
πᾶς ἄρτος ἡδύς, οὐ μὴ κοπάσῃ ἕως ἂν τελευτήσῃ. Ἄνθρωπος παραβαίνων ἀπὸ τῆς κλίνης αὐ- 18.
τοῦ, λέγων ἐν τῇ ψυχῇ αὐτοῦ, Τίς με ὁρᾷ; σκότος κύκλῳ μου, καὶ οἱ τοῖχοί με καλύπτουσι, καὶ
οὐθείς με ὁρᾷ, τί εὐλαβοῦμαι; τῶν ἁμαρτιῶν μου οὐ μὴ μνησθήσεται ὁ ὕψιστος· Καὶ ὀφθαλμοὶ ἀν- 19.
θρώπων ὁ φόβος αὐτοῦ· καὶ οὐκ ἔγνω ὅτι ὀφθαλμοὶ Κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροι, ἐπι-
βλέποντες πάσας ὁδοὺς ἀνθρώπων, καὶ κατανοοῦντες εἰς ἀπόκρυφα μέρη. Πρινὴ κτισθῆναι τὰ 20.
πάντα ἔγνωσται αὐτῷ, οὕτως καὶ μετὰ τὸ συντελεσθῆναι. Οὗτος ἐν πλατείαις πόλεως ἐκδικηθή- 21.
σεται, καὶ οὗ οὐχ ὑπενόησε, πιασθήσεται. Οὕτως καὶ γυνὴ καταλιποῦσα τὸν ἄνδρα, καὶ παρι- 22.
στῶσα κληρονόμον ἐξ ἀλλοτρίου. Πρῶτον μὲν γὰρ ἐν νόμῳ ὑψίστου ἠπείθησε, καὶ δεύτερον εἰς ἄν- 23.
δρα ἑαυτῆς ἐπλημμέλησε, καὶ τὸ τρίτον ἐν πορνείᾳ ἐμοιχεύθη, ἐξ ἀλλοτρίου ἀνδρὸς τέκνα παρέ-
στησεν. Αὕτη εἰς ἐκκλησίαν ἐξαχθήσεται, καὶ ἐπὶ τὰ τέκνα αὐτῆς ἐπισκοπὴ ἔσται. Οὐ διαδώ- 24. 25.
σουσι τὰ τέκνα αὐτῆς εἰς ῥίζαν, καὶ οἱ κλάδοι αὐτῆς οὐ δώσουσι καρπόν. Καταλείψει εἰς κατά- 26.
ραν τὸ μνημόσυνον αὐτῆς, καὶ τὸ ὄνειδος αὐτῆς οὐκ ἐξαλειφθήσεται. Καὶ ἐπιγνώσονται οἱ κατα- 27.
λειφθέντες, ὅτι οὐθὲν κρεῖττον φόβου Κυρίου, καὶ οὐθὲν γλυκύτερον τοῦ προσέχειν ἐντολαῖς Κυρίου.

Κυριου 55, 157, 254. Alex. ἀπὸ ἁμαρτίας &c. ad fin. com.] ου μη καθαρισθη απο αμαρτιας 248. Compl.

XI. ἐὰν πλημμελήσῃ] εαν πλημμεληθη 23. ἐπ' αὐτῷ] + κρυψει αυτην υπο την γλωσσαν αυτου 55, 254. κἂν ὑπερίδῃ] και εαν υπεριδη 157. κἂν ὑπερείδη Alex. ἐπαγωγῶν] επαγωγης 248. Compl. ἐπαγ. ὁ οἶκος αὐτοῦ] ὁ οικος αυτου επαγ. 155.

XII. ἀντιπεριβεβλημένη] περιβεβλημενη 106. θανάτῳ] θανατων 23. ἀποστήσεται] αποστησονται 55, 106, 157, 254. αποστησωνται 155. καὶ ἐν ἁμαρτίαις &c. ad fin. com.] και ουκ εγκυλισθησονται εν αμαρτιαις 106. οὐκ ἐγκυλισθήσονται] ουκ εκκυλισθησονται 155.

XIII. Ἀπαιδευσίαν ἀσυρῆ] απαιδευσια ορκου 55. ακολασια ορκου 248. Compl. ἀσυρῆ] αισχρα ακολαστων marg. 254. μὴ συνεθίσῃς] μη εθισης 248. Compl. μη συνεθιση 253. μὴ συνεθίζῃς Ald. λόγος ἁμαρτίας] λογισμὸς ἁμαρτίας Ald.

XIV. Μνήσθητι πατρὸς] + σου 106. Alex. ἀναμέσον γὰρ] ‸ γαρ 106. μεγιστάνων] παγιδων 155. συνεδρεύεις] συνεδρεύσεις Compl. μήποτ' ἐπιλάθῃ] μήποτ' ἐπιλάθῃς Ald. μωρανθῇς] μαρανθῇς Compl. καὶ θελήσεις] και θελησης 157. καὶ θελήσ. εἰ μὴ ἐγεννήθ.] ‸ 106. καταράσῃ] μη καταραση 68, 253. habet in charact. minore Alex.

XVI. πληθύνουσιν] πληθυνωσιν III. ἕως ἂν] εως ου 253.

XVII. Totum comma parenthesi includit Alex. οὐ μὴ κοπάσῃ] ου μη κοπασει 155. ου μη κοπιαση 296. τελευτήσῃ] τελευτησει 155.

XVIII. Ἄνθρωπος] + πόρνος inter uncos Alex. præmitt. ὁ Clem. Alex. p. 229. παραβαίνων] ὁ ἀναιβαίνων Clem. Alex. l. cit. ἀπὸ τῆς κλίνης] ἀπὸ τῆς κοίτης Alex.. ἐπὶ τῆς κλίνης Clem. Alex. l. cit. κλίνης αὐτοῦ] κλινης εαυτου 253. λέγων] præmitt. ὁ 55. Clem. Alex. l. cit. ἐν τῇ ψυχῇ] habet ἐν in charact. minore Alex. Τίς με— καλύπτουσι] σκότος καλύπτει με, καὶ οἱ τοῖχοι κύκλῳ μου, καὶ τίς με ὁρᾷ; Basil. M. iii. 615. κύκλῳ μου] primo videtur scriptum esse κυκλωσει, sed ab eadem manu correctum sic: κυκλωσμου. 106. με καλύπτουσι] σκέπη μου Clem. Alex. l. cit. καὶ οὐθεὶς &c. ad fin. com.] καὶ οὐδεὶς βλέπει τὰς ἁμαρτίας μου· τί εὐλαβοῦμαι, μὴ μνησθήσεται ὁ ὕψιστος; Clem. Alex. l. cit. τί εὐλαβοῦμαι] τίνα εὐλαβοῦμαι Alex.

XIX. Καὶ ὀφθαλμοὶ] και εν οφθαλμοις 23. Καὶ ὀφθαλμοὶ— Κυρίου] ‸ cum intermed. 106. καὶ οὐκ ἔγνω] και ουκ οιδεν 296, 308. ὀφθαλμοὶ Κυρίου] + του υψιστου 248. Compl. Clem. Alex. l. cit. φωτεινότεροι] φωτεινοτερον 106. + εισιν 248. Compl. (Alex. in charact. minore.) Clem. Alex. l. cit. ἐπιβλέποντες] præmitt. οἱ 248. Compl. οἳ ἐπιβλέπουσι Clem. Alex. l. cit. ἐπιβλέπ. πάσ. ὁδοὺς ἀνθρώπ.] βλέποντες εἰς τὰ ἔργα τῶν ἀνθρώπων Chrysost. iii. 201. καὶ κατανοοῦντες] καὶ κατανοοῦσιν Clem. Alex. l. cit. εἰς ἀπόκρυφα μέρη] ‸ εἰς Alex.

XX. Comma integr. parenthesi includit Alex. Πρινὴ κτισθῆναι] πριν κτισθηναι 23. τὰ πάντα] απαντα 155. τὰ πάντα ἔγνωσται αὐτῷ] εγνωσται αυτω τα παντα 23, 253. αὐτῷ] + τα παντα 248. Compl. μετὰ τὸ συντελεσθῆναι] + καθορα τα παντα 248. Compl. μετὰ τὸ τελεσθῆναι καθορᾷ τὰ πάντα (cum καθορᾷ &c. in charact. minore) Alex.

XXI. Οὗτος] ουτε 106. ουτως 155. καὶ οὗ οὐχ] και ὃς ουχ III, ‸ οὗ Ald. πιασθήσεται] κολασθησεται III.

XXII. Οὕτως] ‸ 106. ομοιως 248. Compl. καταλιποῦσα] καταλείπουσα Compl. τὸν ἄνδρα] + αυτης 155, 157, 248. Compl. παριστῶσα] περιστῶσα Compl. κληρονόμον] κληρονομιαν 106, 248. Compl. ἐξ ἀλλοτρίου] εξ αλλου 23, 248, 253. Compl.

XXIII. ἐν νόμῳ ὑψίστου] εν νομῳ υψιστῳ III. εν νομῳ Κυριου 106. εἰς ἄνδρα ἑαυτῆς ἐπλημμέλησε] εις τον ανδρα 23. ἄνδρα ἑαυτῆς] ανδρα αυτης 55, 106, 155, 157, 248, 253, 254. Compl. Alex. καὶ τὸ τρίτον] ‸ το 55, 106. ἐν πορνείᾳ] + αυτης 296, 308. ἐμοιχεύθη] εμοιχευσε 248. Compl. ἐξ ἀλλοτρίου ἀνδρὸς] και εξ αλλου ανδρος 23, 248, 253. Compl. præmitt. και 106, 155, 157, 254. Alex. παρέστησεν] παρέστηκεν Compl.

XXIV. εἰς ἐκκλησίαν] εν εκκλησια 248. Compl. ‸ εἰς Ald. ἐξαχθήσεται] αχθησεται 155. καὶ ἐπὶ τὰ τέκνα] ‸ τα 55.

XXV. Οὐ διαδώσουσι] οὐ διαδιδωσι 106. τὰ τέκνα αὐτῆς] υιοι αυτων 248. Compl. εἰς ῥίζαν] ‸ εις 248. Compl. οὐ δώσουσι] οὐ ποιησουσιν 23. ουκ οισουσι 55, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex.

XXVI. Καταλείψει] καταλειψις III. præmitt. και 23. Ald.

XXVII. ὅτι οὐθὲν κρεῖττον] οτι ουθεν εστι κρειττον 248. Compl. φόβου Κυρίου] φοβου Θεου 55, 106, 157, 254, 296. τοῦ προσέχειν] του

ΣΟΦΙΑ ΣΕΙΡΑΧ.

ΚΕΦ. XXIV.

ΑΙΝΕΣΙΣ ΣΟΦΙΑΣ.

1. 2. Η ΣΟΦΙΑ αἰνέσει ψυχὴν αὐτῆς, καὶ ἐν μέσῳ λαȣ̃ αὐτῆς καυχήσεται. Ἐν ἐκκλησίᾳ ὑψίςου
3. ςόμα αὐτῆς ἀνοίξει, καὶ ἔναντι δυνάμεως αὐτȣ̃ καυχήσεται. Ἐγὼ ἀπὸ ςόματος ὑψίςȣ ἐξῆλθον,
4. καὶ ὡς ὁμίχλη κατεκάλυψα γῆν. Ἐγὼ ἐν ὑψηλοῖς κατεσκήνωσα, καὶ ὁ θρόνος μου ἐν ςύλῳ νε-
5. 6. φέλης. Γῦρον ȣ̓ρανȣ̃ ἐκύκλωσα μόνη, καὶ ἐν βάθει ἀβύσσων περιεπάτησα. Ἐν κύμασι θαλάσ-
7. σης καὶ ἐν πάσῃ τῇ γῇ, καὶ ἐν παντὶ λαῷ καὶ ἔθνει ἐκτησάμην. Μετὰ τȣ́των πάντων ἀνάπαυ-
8. σιν ἐζήτησα, καὶ ἐν κληρονομίᾳ τίνος αὐλισθήσομαι. Τότε ἐνετείλατό μοι ὁ κτίςης ἁπάντων,
καὶ ὁ κτίσας με κατέπαυσε τὴν σκηνήν μου, καὶ εἶπεν, Ἐν Ἰακὼβ κατασκήνωσον, καὶ ἐν Ἰσραὴλ
9. 10. κατακληρονομήθητι. Πρὸ τȣ̃ αἰῶνος ἀπ᾿ ἀρχῆς ἔκτισέ με, καὶ ἕως αἰῶνος οὐ μὴ ἐκλίπω. Ἐν
11. σκηνῇ ἁγίᾳ ἐνώπιον αὐτȣ̃ ἐλειτȣ́ργησα, καὶ οὕτως ἐν Σιὼν ἐςηρίχθην. Ἐν πόλει ἠγαπημένῃ
12. ὁμοίως με κατέπαυσε, καὶ ἐν Ἱερȣσαλὴμ ἡ ἐξȣσία μου. Καὶ ἐῤῥίζωσα ἐν λαῷ δεδοξασμένῳ, ἐν
13. μερίδι Κυρίȣ κληρονομίας αὐτȣ̃. Ὡς κέδρος ἀνυψώθην ἐν τῷ Λιβάνῳ, καὶ ὡς κυπάρισσος ἐν ὄρεσιν
14. Ἀερμών. Ὡς φοῖνιξ ἀνυψώθην ἐν αἰγιαλοῖς, καὶ ὡς φυτὰ ῥόδȣ ἐν Ἱεριχῷ· ὡς ἐλαία εὐπρεπὴς,
15. ἐν πεδίῳ, καὶ ἀνυψώθην ὡς πλάτανος. Ὡς κιννάμωμον καὶ ἀσπάλαθος ἀρωμάτων δέδωκα ὀσμὴν,
καὶ ὡς σμύρνα ἐκλεκτὴ διέδωκα εὐωδίαν· ὡς χαλβάνη καὶ ὄνυξ καὶ ςακτὴ, καὶ ὡς λιβάνου ἀτμὶς
16. ἐν σκηνῇ. Ἐγὼ ὡς τερέμινθος ἐξέτεινα κλάδȣς μȣ, καὶ οἱ κλάδοι μȣ κλάδοι δόξης καὶ χάριτος.
17. 19. Ἐγὼ ὡς ἄμπελος βλαςήσασα χάριν, καὶ τὰ ἄνθη μου καρπὸς δόξης καὶ πλȣ́τȣ. Προσέλθετε
20. πρὸς μὲ οἱ ἐπιθυμȣ̃ντές μου, καὶ ἀπὸ τῶν γεννημάτων μȣ ἐμπλήσθητε. Τὸ γὰρ μνημόσυνόν μȣ
21. ὑπὲρ μέλι γλυκὺ, καὶ ἡ κληρονομία μου ὑπὲρ μέλιτος κηρȣ̃. Οἱ ἐσθίοντές με ἔτι πεινάσουσι,
22. καὶ οἱ πίνοντές με ἔτι διψήσουσιν. Ὁ ὑπακȣ́ων μου οὐκ αἰσχυνθήσεται, καὶ οἱ ἐργαζόμενοι ἐν
23. ἐμοὶ ȣ̓χ ἁμαρτήσουσι. Ταῦτα πάντα βίβλος διαθήκης Θεȣ̃ ὑψίςου, νόμον ὃν ἐνετείλατο Μωυ-
25. σῆς, κληρονομίαν συναγωγαῖς Ἰακώβ. Ὁ πιμπλῶν ὡς Φεισὼν σοφίαν, καὶ ὡς Τίγρις ἐν ἡμέραις

προσεχοντος 248. Compl. ἐντολαῖς Κυρίου] εντολαις Θεȣ 55, 253. εντολαις Θεȣ. δοξα μεγαλη ακολȣθειν Θεω· μακροτης δε ημερων το προσληφθηναι σε υπ᾿ αυτȣ. 248, Compl. εντολαις τȣ Θεȣ 254. + Δόξα μεγάλη ἀκολȣθεῖν Θεῷ, μακρότης δὲ ἡμερῶν τὸ προσληφθῆναί σε ὑπ᾿ αὐτȣ̃. in charact. minore Alex.

ΑΙΝΕΣΙΣ ΣΟΦΙΑΣ] ∧ 23, 106, 157. Compl. tr. 55, 155, 254, 296, 308. Alex. σοφια αινεσεως 248.

I. Ἡ σοφία] ∧ ἡ 23. (106. supplet. in marg. ab al. m.) αἰνέσει] αινει 296, 308. καυχήσεται] καυχησονται III.

II. ςόμα αὐτῆς] præmitt. το 248. Compl. ∧ αυτης 254.

III. καὶ ὡς ὁμίχλη] και ως ομιχλην III.

IV. Ἐγὼ ἐν ὑψηλοῖς] και εν υψηλοις 254.

V. βάθει] βαθυ 155.

VI. Ἐν κύμασι θαλάσσης] adjungit. com. præcedenti 106. κύμασι] κύματι Compl.

VII. Μετὰ τȣ́των] præmitt. καὶ Compl. ἀνάπαυσιν] ανεσιν 155. ἀνάπαυσιν ἐζήτησα] tr. Alex. αὐλισθήσομαι] αυλισθησωμαι 155.

VIII. καὶ εἶπεν] και ειπε μοι 55. ειπε μοι 254. ἐν Ἰακὼβ] habet ἐν in charact. minore Alex. καὶ ἐν Ἰσραὴλ] και εν Ιερȣσαλημ 248. Compl. κατακληρονομήθητι] κληρονομήθητι Alex.

IX. ἀπ᾿ ἀρχῆς] ἀπαρχὴν Alex. καὶ ἕως αἰῶνος] και εως αιωνων 253. Compl. Alex. οὐ μὴ ἐκλίπω] οὐ μη ελλειπω 248. Compl.

X. ἐνώπιον αὐτȣ̃] tr. 106. ἐλειτȣ́ργησα] ἐλειτȣ́ργȣν Alex. ἐςηρίχθην] εςηριχθη 23.

XI. Ἐν πόλει] præmitt. και 155. Ἐν πόλει ἠγαπ.] ἐντολὴ ἠγαπημένη Ald. ἠγαπημένῃ] ηγιασμενη 248. Compl. ὁμοίως] ομοιαις 106. με κατέπαυσε] ∧ με 23. ἡ ἐξȣσία μȣ] ∧ ἡ 23, 155. ἐξȣσίαν μου Alex.

XIII. ἀνυψώθην] υψωθην 248. Compl. ἀνυψώθη Ald. ἐν ὄρεσιν] ἐν ὄρει Alex.

XIV. ἐν αἰγιαλοῖς] και εν κλαδοις 23. εν γαλγαλοις 106. εν γαδδι 248. Compl. εν γαδοις 253. εν εγγαδοις 296, 308. ἐν Ἐνγαδδὶ Alex. ὡς ἐλαία εὐπρεπὴς] præmitt. και 106, 155, 157, 254, 296, 308. Alex. ἐν πεδίῳ] + ωραιω 248. Compl. καὶ ἀνυψώθην ὡς πλάτανος] και ως πλατανος ανυψωθην αφ᾿ υδατος 248. Compl. ὡς πλάτανος] + εφ᾿ υδατος 157. (Alex. in charact. minore.)

XV. Ὡς κιννάμωμον] præmitt. και 296. καὶ ἀσπάλαθος] και ως παλαθος 248. Compl. δέδωκα ὀσμὴν] ∧ 23, 248, 253. Compl. διέδωκα] δεδωκα III, 155. εδωκα 248. Compl. εὐωδίαν] ευωδιας 253. ὡς χαλβάνη] præmitt. και 55, 155, 157, 254, 296, 308. Alex. χαλβάνη] χαρβανη III. ἀτμὶς ἐν σκηνῇ] ατμος εν σκηνη 155, 248. Compl.

XVI. Ἐγὼ] ἐγὼ δὲ Alex. τερέμινθος] τερεβινθος 23, 155, 248. Compl. Alex. κλάδοι ult.] ∧ 23, 248, 253. Compl. δόξης καὶ χάριτος] ∧ και 23.

XVII. βλαςήσασα] εβλαςησα 23, 55, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex. χάριν] ευωδιαν 248. Compl. καὶ πλȣ́τȣ] + εγω μητηρ της αγαπησεως της καλης, και φοβου, και γνωσεως, και της οσιας ελπιδος. διδωμι δε συν πασι τοις τεκνοις μου αειγενεις τοις λεγομενοις υπ᾿ αυτȣ 248. Compl. + Ἐγὼ μητὴρ τῆς ἀγαπήσεως τῆς καλῆς, καὶ φόβου καὶ γνώσεως καὶ τῆς ὁσίας ἐλπίδος. Δίδομαι δὲ σύμπασι τοῖς τέκνοις μου ἀειγενὴς, τοῖς λεγομένοις ὑπ᾿ αὐτȣ̃. in char. minore Alex.

XIX. Προσέλθετε] προσελθατε 23, 155, 253. Alex. οἱ ἐπιθυμȣ̃ντές μου] οἱ επιθυμȣντες με 157. ἐμπλήσθητε] εμπλησθησεσθε 106, (155. scr. εμπλησθησεσθαι) 296, 308.

XX. ὑπὲρ μέλι] υπερ το μελι 23, 106, (155. scr. τω μελη) 157, 254. Alex. γλυκὺ] præmitt. τὸ inter uncos Alex. κηρȣ̃] κηριȣ 23, 55, 155, 157, 248, 253, 254. Compl. κηριον 106, 296. καὶ κηρίου Alex.

XXI. Οἱ ἐσθίοντές με] οἱ εσθοντες με 55, 157, 254. Alex. οἱ τρώγοντές με Greg. Nyss. iii. 308. καὶ οἱ πίνοντές με] ∧ με 55. Ald. ἔτι διψήσȣσιν] ετι διψησεται 106.

XXII. ȣ̓κ αἰσχυνθήσεται] ȣ̓ καταισχυνθησεται 55. + διαπαντος 248. Compl.

XXIII. Θεȣ̃ ὑψίςου] + εκ τȣ δευτερονομιου 248. νόμον] νομος 248, 253. Compl. Alex. νόμου Ald. ὃν ἐνετείλατο] + υμιν 23, 106, 157, 296. + ημιν 55, 155, 248, 253, 254. Compl. Alex. συναγωγαῖς Ἰακώβ] εν συναγωγαις Ιακωβ· μη εκλυεσθε ισχυειν εν Κυριω, ινα κραταιωση υμας αυτος· κολλασθε προς αυτον, Κυριος παντοκρατωρ ὁ Θεος μονος εςι, και ουκ εςιν ετι πλην αυτȣ σωτηρ. 248. Compl. + Μὴ ἐκλύεσθε ἰσχὺν ἐν Κυρίῳ, κολλᾶσθε δὲ πρὸς αὐτὸν ἵνα κραταιώσῃ ὑμᾶς αὐτός· Κύριος παντοκράτωρ ὁ Θεὸς μόνος ἐςὶν, καὶ ȣ̓κ ἔςιν ἔτι πλὴν αὐτȣ̃ σωτήρ. in charact. minore Alex.

XXV. Ὁ πιμπλῶν] εμπιμπλων 55. ὁ πιπλων 157. Alex. εμπιπλων 248. Compl. ὁ εμπιπλων 296, 308. ὡς Φεισὼν] ως Φησων 308. σοφίαν] παντα της σοφιας αυτȣ 248. Compl.

νέων. Ὁ ἀναπληρῶν ὡς Εὐφράτης σύνεσιν, καὶ ὡς Ἰορδάνης ἐν ἡμέραις θερισμοῦ. Ὁ ἐκφαίνων 26. 27.
ὡς φῶς παιδείαν, ὡς Γηὼν ἐν ἡμέραις τρυγητοῦ. Οὐ συνετέλεσεν ὁ πρῶτος γνῶναι αὐτὴν, καὶ 28.
οὕτως ὁ ἔσχατος οὐκ ἐξιχνίασεν αὐτήν. Ἀπὸ γὰρ θαλάσσης ἐπληθύνθη διανόημα αὐτῆς, καὶ ἡ 29.
βουλὴ αὐτῆς ἀπὸ ἀβύσσου μεγάλης. Κἀγὼ ὡς διώρυξ ἀπὸ ποταμοῦ, καὶ ὡς ὑδραγωγὸς ἐξῆλθον 30.
εἰς παράδεισον. Εἶπα, Ποτιῶ μου τὸν κῆπον, καὶ μεθύσω μου τὴν πρασιάν· καὶ ἰδοὺ ἐγένετό 31.
μοι ἡ διώρυξ εἰς ποταμὸν, καὶ ὁ ποταμός μου ἐγένετο εἰς θάλασσαν. Ἔτι παιδείαν ὡς ὄρθρον 32.
φωτιῶ, καὶ ἐκφανῶ αὐτὰ ἕως εἰς μακράν. Ἔτι διδασκαλίαν ὡς προφητείαν ἐκχεῶ, καὶ κατα- 33.
λείψω αὐτὴν εἰς γενεὰς αἰώνων. Ἴδετε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα, ἀλλὰ πᾶσι τοῖς ἐκζητοῦσιν 34.
αὐτήν.

ΚΕΦ. XXV.

ΕΝ τρισὶν ὡραΐσθην, καὶ ἀνέστην ὡραία ἔναντι Κυρίου καὶ ἀνθρώπων· ὁμόνοια ἀδελφῶν, καὶ φι- 1.
λία τῶν πλησίον, καὶ γυνὴ καὶ ἀνὴρ ἑαυτοῖς συμπεριφερόμενοι. Τρία δὲ εἴδη ἐμίσησεν ἡ ψυχή 2.
μου, καὶ προσώχθισα σφόδρα τῇ ζωῇ αὐτῶν· πτωχὸν ὑπερήφανον, καὶ πλούσιον ψεύστην, γέροντα
μοιχὸν ἐλαττούμενον συνέσει. Ἐν νεότητι οὐ συναγήοχας, καὶ πῶς ἂν εὕροις ἐν τῷ γήρᾳ σου; 3.
Ὡς ὡραῖον πολιαῖς κρίσις, καὶ πρεσβυτέροις ἐπιγνῶναι βουλήν; Ὡς ὡραῖα γερόντων σοφία, καὶ 4. 5.
δεδοξασμένοις διανόημα καὶ βουλή. Στέφανος γερόντων πολυπειρία, καὶ τὸ καύχημα αὐτῶν φόβος 6.
Κυρίου. Ἐννέα ὑπονοήματα ἐμακάρισα ἐν καρδίᾳ, καὶ τὸ δέκατον ἐρῶ ἐπὶ γλώσσης· ἄνθρωπος 7.
εὐφραινόμενος ἐπὶ τέκνοις, ζῶν καὶ βλέπων ἐπὶ πτώσει ἐχθρῶν. Μακάριος ὁ συνοικῶν γυναικὶ 8.
συνετῇ, καὶ ὃς ἐν γλώσσῃ οὐκ ὠλίσθησε, καὶ ὃς οὐκ ἐδούλευσεν ἀναξίῳ αὐτοῦ. Μακάριος ὃς εὗρε 9.
φρόνησιν, καὶ ὁ διηγούμενος εἰς ὦτα ἀκουόντων. Ὡς μέγας ὁ εὑρὼν σοφίαν, ἀλλ' οὐκ ἔστιν ὑπὲρ 10.
τὸν φοβούμενον τὸν Κύριον. Φόβος Κυρίου ὑπὲρ πᾶν ὑπερέβαλεν, ὁ κρατῶν αὐτοῦ τίνι ὁμοιωθήσε- 11.
ται; Πᾶσαν πληγὴν καὶ μὴ πληγὴν καρδίας, καὶ πᾶσαν πονηρίαν καὶ μὴ πονηρίαν γυναικός· 13.
Πᾶσαν ἐπαγωγὴν καὶ μὴ ἐπαγωγὴν μισούντων, καὶ πᾶσαν ἐκδίκησιν καὶ μὴ ἐκδίκησιν ἐχθρῶν. 14.
Οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως, καὶ οὐκ ἔστι θυμὸς ὑπὲρ θυμὸν ἐχθροῦ. Συνοικῆσαι λέοντι 15. 16.

XXVI. Ἰορδάνης] præmitt. ὁ 157, 253. θερισμοῦ] θερους 55, 254.

XXVII. παιδείαν] + γνωσεως 248. Compl. (Alex. in charact. minore.) ὡς Γηὼν] ως γνων 23. ως γαιων 106. præmitt. και 248, 254. Compl. (Alex. in charact. minore.)

XXVIII. καὶ οὕτως &c. ad fin. com.] ∧ 106. οὐκ ἐξιχνίασεν] ∧ ουκ 296, 308.

XXIX. ἐπληθύνθη] επληθυνον 155. διανόημα αὐτῆς] διανοηματα αυτης 55, 106, 253, 254, 296, 308. Alex. τα διανοηματα αυτης 248. Compl. καὶ ἡ βουλὴ αὐτῆς] και ἡ βουλη αυτου III. και ἡ βοηθεια αυτης 155.

XXX. Κἀγὼ ὡς] εγω ἡ σοφια ως 248. Compl. ὡς διώρυξ] ως διωρυξα 106.

XXXI. Εἶπα] ειπον 248. Compl. Ποτιῶ] ποτισω 55, 106, (155. scr. ποτησω) 248, 254, 296. Compl. Ald. Alex. τὸν κῆπον] + τον αριστον 248. Compl. (Alex. in charact. minore.) πρασιάν] λυβαδηα (sic; marg. ab al. m.) 106. + την δικαιαν 248. Compl. ἐγένετό μοι ἡ διώρυξ] εγενετο μου ἡ διωρυξ 308. Alex. εἰς ποταμὸν] ∧ εἰς Ald. ὁ ποταμός μου] ∧ μου 106. ἐγένετο ult.] εγενετο μοι 106, 157.

XXXII. Ἔτι παιδείαν] οτι παιδειαν 55, 248. Compl. επι παιδειαν 157. ὡς ὄρθρον] ∧ ως 155. καὶ ἐκφανῶ] και εμφαινω III, 155. και εκφαινω 296, 308. αὐτὰ] αυτην 106, 248. Compl. Alex.

XXXIII. Ἔτι διδασκαλίαν] οτι διδασκαλιαν 55, (157. ex corr.) 248, 296. Compl. εἰς γενεὰς αἰώνων] εις γενεαν αιωνων III, 157, 296, 308. εις γενεας αιωνος 23, 106, 253. εις γενεας των αιωνων 248. Compl.

XXXIV. τοῖς ἐκζητοῦσιν αὐτὴν] τοις ζητουσιν αυτην 55, 254.

I. ἔναντι Κυρίου] εναντιον Κυριου 155. καὶ ἀνθρώπων] præmitt. εναντι Κυριου 248. Compl. ὁμόνοια] ομονοιαν 248. Compl. ομουσια 308. φιλία Chrysost. v. 380. φιλία] φιλιαν 248. Compl. ψελια (sic) 308. τῶν πλησίον] των πλησιων 155, 157. Ald. του πλησιον 248, 308. Compl. καὶ γυνὴ καὶ ἀνὴρ] και ανηρ και γυνη 248, 253. Compl. γυνὴ &c. ad fin. com.] γυνὴ ἀνδρὶ συμπεριφερόμενη Chrysost. xi. 142. ἑαυτοῖς συμπεριφ.] ἀλλήλοις συμπεριφ. Chrysost. v. 380.

II. Τρία δὲ εἴδη] ∧ δὲ Athan. iii. part. i. p. 38. καὶ προσώχθισα—ζωῇ αὐτῶν] ∧ cum intermed. Athan. l. cit. γέροντα] præmitt. και 106, 248. Compl. (Alex. in charact. minore.) μοιχὸν] μωρον 23. ἐλαττούμ. συνέσει] ελαττουμ. εν συνεσει 253.

III. Ἐν νεότητι] præmitt. ἃ 55, 106, 155, 157, 254, 296. Alex. + σου 248. Compl. ἃ ἐν νεότητί σου (cum σου in char. min.) Alex. οὐ συναγήοχας] οὐ συνηγαγες 248. Compl. εὕροις] ευρης 106, 248, 296. Compl. Ald. ἐν τῷ γήρᾳ σου] εν τω γηρει σου 55, 254, 296.

IV. ἐπιγνῶναι] γνωναι 248. Compl.

V. Ὡς ὡραῖα γερόντων σοφία] ∧ Ald.

VI. Κυρίου] post hanc vocem sequitur titulus: περι γυναικος πονηρας. 155.

VII. Ἐννέα ὑπονοήματα] εννεα διανοηματα 157. ἐν καρδίᾳ] + μου 55, 106, 157, 248, 253, 254. Compl. ἐν τῇ καρδίᾳ μου Alex. καὶ τὸ δέκατον] και το δευτερον 254. ἐπὶ γλώσσης] απο γλωσσης III. επι γλωσση 23. εν τη γλωσση μου 248. Compl. + μου in in charact. minore Alex. ἄνθρωπος &c. ad fin. com.] ∧ 106. εὐφραιν. ἐπὶ τέκνοις] επι τεκνοις ευφραιν. 248. Compl. ἐπὶ πτώσει] επι πτωσεις (scr. πτωσης) 23.

VIII. αὐτοῦ] εαυτου 23, 55, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex.

IX. ὃς εὗρε] ∧ ὃς Ald. ὁ διηγούμενος] ὁ λέγων Chrysost. iii. 354.

XI. Φόβος Κυρίου] αγαπησις δε Κυριου 248. Compl. ἀγάπησις Κυρίου Alex. ὑπὲρ πᾶν ὑπερέβαλεν] παντα υπερεβαλε 55, 254. Chrysost. xi. 218. υπερ παντα υπερεβαλε 106, 155, 157, 308. υπερ παντα υπερεβαλεν εις φωτισμον 248. Compl. + εἰς φωτισμὸν in charact. min. Alex. ὁ κρατῶν] præmitt. και 55, 106, 155, 157, 254, 296, 308. αὐτοῦ] αυτου 248. Compl. αὐτῆς Alex. τίνι ὁμοιωθήσεται] + φοβος Κυριου αρχη αγαπησεως αυτου· πιστις δε αρχη κολλησεως αυτου 248. Compl. (Alex. in charact. minore.)

XIII. Πᾶσαν πληγὴν] præmitt. και 55.

XIV. Πᾶσαν ἐπαγωγὴν] præmitt. και 55, 155, 157, 254, 296, 308. Alex. καὶ μὴ ἐπαγωγὴν] ∧ (supplet. in marg. ab al. m.) 106.

XV. ὑπὲρ κεφαλὴν] υπερ κεφαλης 155. Compl. ὑπὲρ θυμὸν] υπερ θυμων 155. ὑπὲρ θυμοῦ Compl.

XVI. λέοντι καὶ δράκοντι] δρακοντι και λεοντι 253. εὐδοκή-

ΚΕΦ. XXV.

17. καὶ δράκοντι εὐδοκήσω, ἢ ἐνοικῆσαι μετὰ γυναικὸς πονηρᾶς. Πονηρία γυναικὸς ἀλλοιοῖ τὴν ὅρα-
18. σιν αὐτῆς, καὶ σκοτεῖ τὸ πρόσωπον αὐτῆς ὡς σάκκον. Ἀναμέσον τῦ πλησίον αὐτῦ ἀναπεσεῖται
19. ὁ ἀνὴρ αὐτῆς, καὶ ἀκέσας ἀνεςέναξε πικρά. Μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός· κλῆρος
20. ἁμαρτωλῦ ἐπιπέσοι αὐτῇ. Ἀνάβασις ἀμμώδης ἐν ποσὶ πρεσβυτέρυ· ὕτως γυνὴ γλωσσώδης ἀν-
21. 22. δρὶ ἡσύχῳ. Μὴ προσπέσῃς ἐπὶ κάλλος γυναικὸς, καὶ γυναῖκα μὴ ἐπιποθήσῃς. Ὀργὴ καὶ ἀν-
23. αίδεια καὶ αἰσχύνη μεγάλη, γυνὴ ἐὰν ἐπιχορηγῇ τῷ ἀνδρὶ αὐτῆς. Καρδία ταπεινὴ καὶ πρόσ-
ωπον σκυθρωπὸν καὶ πληγὴ καρδίας γυνὴ πονηρά· χεῖρες παρειμέναι καὶ γόνατα παραλελυ-
24. μένα, ἥτις οὐ μακαριεῖ τὸν ἄνδρα αὐτῆς. Ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας, καὶ δι' αὐτὴν ἀποθνή-
25. 26. σκομεν πάντες. Μὴ δῷς ὕδατι διέξοδον, μηδὲ γυναικὶ πονηρᾷ ἐξυσίαν. Εἰ μὴ πορεύεται κατὰ
χεῖρά σȣ, ἀπὸ τῶν σαρκῶν σȣ ἀπότεμε αὐτήν.

ΚΕΦ. XXVI.

1. 2. ΓΥΝΑΙΚΟΣ ἀγαθῆς μακάριος ὁ ἀνὴρ, καὶ ἀριθμὸς τῶν ἡμερῶν αὐτῦ διπλάσιος. Γυνὴ ἀνδρεία
3. εὐφραίνει τὸν ἄνδρα αὐτῆς, καὶ τὰ ἔτη αὐτῦ πληρώσει ἐν εἰρήνῃ. Γυνὴ ἀγαθὴ μερὶς ἀγαθὴ, ἐν με-
4. ρίδι φοβȣμένων Κύριον δοθήσεται. Πλȣσίȣ δὲ καὶ πτωχῦ καρδία ἀγαθὴ, ἐν παντὶ καιρῷ πρόσ-
5. ωπον ἱλαρόν. Ἀπὸ τριῶν εὐλαβήθη ἡ καρδία μȣ, καὶ ἐπὶ τῷ τετάρτῳ προσώπῳ ἐδεήθην· διαβο-
6. λὴν πόλεως, καὶ ἐκκλησίαν ὄχλου, καὶ καταψευσμὸν ὑπὲρ θάνατον, πάντα μοχθηρά. Ἄλγος
7. καρδίας καὶ πένθος γυνὴ ἀντίζηλος ἐπὶ γυναικὶ, καὶ μάςιξ γλώσσης πᾶσιν ἐπικοινωνῦσα. Βο-
8. οζύγιον σαλευόμενον γυνὴ πονηρὰ, ὁ κρατῶν αὐτῆς ὡς ὁ δρασσόμενος σκορπίου. Ὀργὴ μεγάλη
9. γυνὴ μέθυσος, καὶ ἀσχημοσύνην αὐτῆς οὐ συγκαλύψει. Πορνεία γυναικὸς ἐν μετεωρισμοῖς ὀφ-
10. θαλμῶν, καὶ ἐν τοῖς βλεφάροις αὐτῆς γνωσθήσεται. Ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ ςερέωσον φυλα-
11. κὴν, ἵνα μὴ εὑρῦσα ἄνεσιν ἑαυτῇ χρήσηται. Ὀπίσω ἀναιδῦς ὀφθαλμῦ φύλαξαι, καὶ μὴ θαυ-
12. μάσῃς ἐὰν εἰς σὲ πλημμελήσῃ. Ὡς διψῶν ὁδοιπόρος τὸ ςόμα ἀνοίγει, καὶ ἀπὸ παντὸς ὕδατος
τῦ σύνεγγυς πίεται, κατέναντι παντὸς πασσάλου καθήσεται, καὶ ἔναντι βέλȣς ἀνοίξει φαρέτραν.
13. 14. Χάρις γυναικὸς τέρψει τὸν ἄνδρα αὐτῆς, καὶ τὰ ὀςᾶ αὐτῦ πιανεῖ ἡ ἐπιςήμη αὐτῆς. Δόσις Κυ-
15. ρίου γυνὴ σιγηρὰ, καὶ ὐκ ἔςιν ἀντάλλαγμα πεπαιδευμένης ψυχῆς. Χάρις ἐπὶ χάριτι γυνὴ αἰ-

σω] ευδοκησε III. ευδοκησαι 23, 55, 106, 155, 254, 296. ευδοκω 248. Compl. ευδοκησας 308. ἢ ἐνοικῆσαι] ἢ συνοικησαι 23, 55, (155. scr. συνηκησαι) 157, 248, 296. Compl. Alex. ἢ οικησαι 106.

XVII. ἀλλοιοῖ] αλλοτριοι 248. Compl. τὴν ὅρασιν αὐτῆς] το προσωπον αυτης 157, 248. Compl. τὸ πρόσωπον αὐτῆς] την ορασιν αυτης 254. ὡς σάκκον] ως αρκος 23, 55, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex.

XVIII. τῦ πλησίον] των πλησιον 248, 253. Compl. ἀναπεσεῖται] ανεπεσεν 155. ὁ ἀνὴρ αὐτῆς] præmitt. και 155. καὶ ἀκέσας] ∧ και 155. και ακυσιως 248. Compl. και ακυσασα 296. ἀνεςέναξε] ανας εναξει 248. Compl. πικρά] πικρος 155. δι' αυτην 248. Compl.

XIX. ἐπιπέσοι] επιπεσει 155. αὐτῇ] επ' αυτη 106.

XX. Ἀνάβασις ἀμμώδης] præmitt. ως 248. Compl. ἐν ποσὶ] ἐπὶ ποσὶ Compl. πρεσβυτέρου] πρεσβυτου 248. Compl. γυνὴ— ἡσύχῳ] ανδρι ησυχω γυνη γλωσσωδης 157. ἀνδρὶ ἡσύχῳ] præmitt. και 253.

XXI. ἐπὶ κάλλος] προς καλλος 23, 253. ∧ επι 106. επι καλλη 155. εις καλλος 248. Compl. καὶ γυναῖκα] + εν καλλει 55, 106, (155. scr. καλλη) 157, 254, 296, 308. Ald. Alex. μὴ ἐπιποθήσῃς] μη επιθυμησης 55, 254, 296. + εις τρυφην 248. Compl.

XXIII. χεῖρες παρειμέναι] χειρες πονηραι 106. οὐ μακαριεῖ] ου παρακαλεσει 248. Compl. τὸν ἄνδρα αὐτῆς] + εν ςενωσει 248. Compl.

XXV. Μὴ δῷς] μὴ δὸς Athan. i. 637. ὕδατι διέξοδον] tr. 248. Compl. ἐξυσίαν] παρρησιαν 23, 106, 155, 157, 253, 254. παρρησιαν εξοδου 248. Compl. (Alex. cum ἐξόδυ in charact. minore.)

XXVI. Εἰ μὴ πορεύεται] εἰ μη πορευη 308. ἀπὸ τῶν σαρκῶν σȣ] εκ των σαρκων σȣ 254. ἀπότεμε αὐτήν] + διδȣ και απολυσον 248. Compl. (Alex. in charact. minore.)

I. ὁ ἀνὴρ] ∧ ὁ 308. Ald. καὶ ἀριθμὸς] και ὁ αριθμος 55, 106, 155, 157, 248, 253, 296. Compl. Alex. διπλάσιος] διπλασιον III. διπλασια 296, 308.

II. καὶ τὰ ἔτη αὐτῦ] και τα ετη της ζωης αυτȣ 248. Compl.

III. Γυνὴ ἀγαθὴ] γυνη ανδρεια και αγαθη 106. μερὶς ἀγαθὴ] + εν παντι καιρω προσωπον ιλαρον 106. φοβȣμ. Κύριον] φοβȣμ. τον Κυριον 55, 248, 254. Compl. Alex.

IV. καρδία ἀγαθὴ] + προς Κυριον 248. Compl. (Alex. in char. minore.) πρόσωπον ἱλαρόν] προσωπον εχοντες ιλαρον γαυριασουσιν 248. Compl. + ἔχοντες γαυριάσουσιν in charact. minore Alex.

V. εὐλαβήθη] ευλαβηθησεται 296, 308. ἡ καρδία μου] μου ἡ καρδια 248. Compl. ∧ ἡ Alex. ἐδεήθην] εφοβηθην III, 55, 106, 155, 157, 248, 253, 296. Compl. καταψευσμὸν] καταψευσμων (ex corr. ab eadem m.) 155.

VI. Ἄλγος καρδίας] αχθος καρδιας 248. Compl. αλγος δε καρδιας 253. ἐπὶ γυναικὶ] ∧ επι 248. Compl.

VII. Βοοζύγιον] ως ζυγιον 106. ὡς ὁ δρασσόμενος] ∧ ὁ 55, 106, 248, 254. Compl. Alex. σκορπίου] απο σκορπιου 155.

VIII. γυνὴ μέθυσος] + και ρεμβας 248. Compl. (Alex. in char. minore.) καὶ ἀσχημοσύνην] και την ασχημοσυνην 248. Compl. ὐ συγκαλύψει] οὐ μη συγκαλυψη 106, 157. οὐ μη συγκαλυψει 155. Alex. ὐ συγκαλυπτη 253. ὐ συγκαλύπτει Clem. Alex. p. 187.

IX. ἐν μετεωρισμοῖς] ἐν μετεωρισμῷ Alex. Clem. Alex. p. 294.

X. ἀδιατρέπτῳ] ἀδιατρέπτως Ald. ἄνεσιν] αναπαυσιν 55, 254.

XI. πλημμελήσῃ] πλημμελήσει Alex.

XII. ὁδοιπόρος] οδοιποροις 254. τὸ ςόμα ἀνοίγει] ∧ το 55, 106, 155, 157, 248, 254. Compl. Alex. ἀνοίγει] ανοιξει 55, 106, 155, 157, 248, 253, 254, 296. Alex. ανοιξει ευρων πηγην 248. Compl. κατέναντι] præmitt και 155.

XIII. τὸν ἄνδρα αὐτῆς] ∧ τον 155, 248, 296. Compl. Alex. καὶ τὰ ὀςᾶ αὐτῦ] και τα οςα αυτης 155. ἡ ἐπιςήμη αὐτῆς] τη επιςημη αυτης 23. ∧ ἡ 106, 296, 308.

XIV. γυνὴ σιγηρὰ] γυνη σιδηρα 106. + και ευνȣς 248. Compl. (Alex. in charact. minore.)

XV. γυνὴ αἰσχυντηρὰ] + και πιςη 248. Compl. (Alex. in char. minore.) ψυχῆς] + αυτης 23, 248, 253. Compl.

ΚΕΦ. XXVI.

στουντηρὰ, καὶ οὐκ ἔστι σταθμὸς πᾶς ἄξιος ἐγκρατοῦς ψυχῆς. Ἥλιος ἀνατέλλων ἐν ὑψίστοις Κυ- 16.
ρίου, καὶ κάλλος ἀγαθῆς γυναικὸς ἐν κόσμῳ οἰκίας αὐτοῦ. Λύχνος ἐκλάμπων ἐπὶ λυχνίας ἁγίας, 17.
καὶ κάλλος προσώπου ἐπὶ ἡλικίᾳ στασίμῃ. Στύλοι χρύσεοι ἐπὶ βάσεως ἀργυρᾶς, καὶ πόδες 18.
ὡραῖοι ἐπὶ στέρνοις εὐσταθοῦς. Ἐπὶ δυσὶ λελύπηται ἡ καρδία μου, καὶ ἐπὶ τῷ τρίτῳ θυμὸς μοι ἐπ- 28.
ῆλθεν· ἀνὴρ πολεμιστὴς ὑστερῶν δι' ἔνδειαν, καὶ ἄνδρες συνετοὶ ἐὰν σκυβαλισθῶσιν· ἐπανάγων ἀπὸ
δικαιοσύνης ἐπὶ ἁμαρτίαν, ὁ Κύριος ἑτοιμάσει εἰς ῥομφαίαν αὐτόν. Μόλις ἐξελεῖται ἔμπορος ἀπὸ 29.
πλημμελείας, καὶ οὐ δικαιωθήσεται κάπηλος ἀπὸ ἁμαρτίας.

ΚΕΦ. XXVII.

ΧΑΡΙΝ ἀδιαφόρου πολλοὶ ἥμαρτον, καὶ ὁ ζητῶν πληθῦναι ἀποστρέψει ὀφθαλμόν. Ἀναμέσον 1. 2.
ἁρμῶν λίθων παγήσεται πάσσαλος, καὶ ἀναμέσον πράσεως καὶ ἀγορασμοῦ συντριβήσεται ἁμαρτία.
Ἐὰν μὴ ἐν φόβῳ Κυρίου κρατήσῃ κατὰ σπουδὴν, ἐν τάχει καταστραφήσεται αὐτοῦ ὁ οἶκος. Ἐν σεί- 3. 4.
σματι κοσκίνου διαμένει κοπρία, οὕτως σκύβαλα ἀνθρώπου ἐν λογισμῷ αὐτοῦ. Σκεύη κεραμέως δοκι- 5.
μάζει κάμινος, καὶ πειρασμὸς ἀνθρώπου ἐν διαλογισμῷ αὐτοῦ. Γεώργιον ξύλου ἐκφαίνει ὁ καρπὸς 6.
αὐτοῦ, οὕτως λόγος ἐνθυμήματος καρδίας ἀνθρώπου. Πρὸ λογισμοῦ μὴ ἐπαινέσῃς ἄνδρα, οὗτος γὰρ 7.
πειρασμὸς ἀνθρώπων. Ἐὰν διώκῃς τὸ δίκαιον, καταλήψῃ, καὶ ἐνδύσῃ αὐτὸ ὡς ποδήρη δόξης. 8.
Πετεινὰ πρὸς τὰ ὅμοια αὐτοῖς καταλύσει, καὶ ἀλήθεια πρὸς τοὺς ἐργαζομένους αὐτὴν ἐπανήξει. 9.
Λέων θήραν ἐνεδρεύει, οὕτως ἁμαρτίαι ἐργαζομένους ἄδικα. Διήγησις εὐσεβοῦς διαπαντὸς σοφία, 10. 11.
ὁ δὲ ἄφρων ὡς σελήνη ἀλλοιοῦται. Εἰς μέσον ἀσυνέτων συντήρησον καιρὸν, εἰς μέσον δὲ διανοου- 12.
μένων ἐνδελέχιζε. Διήγησις μωρῶν προσόχθισμα, καὶ ὁ γέλως αὐτῶν ἐν σπατάλῃ ἁμαρτίας. 13.
Λαλιὰ πολυόρκου ὀρθώσει τρίχας, καὶ ἡ μάχη αὐτῶν ἐμφραγμὸς ὠτίων. Ἔκχυσις αἵματος μά- 14. 15.
χη ὑπερηφάνων, καὶ ἡ διαλοιδόρησις αὐτῶν ἀκοὴ μοχθηρά. Ὁ ἀποκαλύπτων μυστήρια ἀπώλεσε 16.
πίστιν, καὶ οὐ μὴ εὕρῃ φίλον πρὸς τὴν ψυχὴν αὐτοῦ. Στέρξον φίλον, καὶ πιστώθητι μετ' αὐτοῦ· 17.

XVI. Ἥλιος ἀνατέλλων] + κοσμω 157. ἀγαθῆς γυναικὸς] tr. 248. Compl. οἰκίας αὐτοῦ] οικιας αυτης 23, 55, 106, 155, 157, 248. Compl. Alex.

XVII. καὶ κάλλος προσώπου] και καλλος προ προσωπου 106.

XVIII. Στύλοι χρύσεοι] στυλοι χρυσεως III. ἐπὶ βάσεως] ἐπιβάσεως (sic) 106. ἐπὶ βάσεως ἀργυρᾶς] επι βασεσιν αργυραις 248. Compl. ἐπὶ στέρνοις] επι στερνους 254. ἐπὶ πτέρναις Alex. εὐσταθοῦς] ευσταθεσι· τεκνον ακμην ηλικιας σου συντηρησον υγιη· και μη δως αλλοτριοις την ισχυν σου· αναζητησας παντος πεδιου ευγεων κληρον, σπειρε τα ιδια σπερματα πεποιθως τη ευγενεια σου· ουτως τα γεννηματα σου περιοντα, και παρρησιαν ευγενειας εχοντα μεγαλυνουσι· γυνη μισθια ιση σιαλω λογισθησεται, υπανδρος δε πυργος θανατου τοις χρωμενοις λογισθησεται· γυνη ασεβης ανομω μερις δοθησεται, ευσεβης δε διδοται τω φοβουμενω τον Κυριον· γυνη ασχημων ατιμιαν κατατριψει· θυγατηρ δε ευσχημων και τον ανδρα εντραπησεται· γυνη αδιατρεπτος ως κυων λογισθησεται· ἡ δε εχουσα αισχυνην τον Κυριον φοβηθησεται· γυνη ανδρα ιδιον τιμωσα σοφη πασι φανησεται· ατιμαζουσα δε ασεβης εν υπερηφανια πασι γνωσθησεται· γυναικος αγαθης μακαριος ὁ ανηρ· ὁ γαρ αριθμος των ετων αυτου διπλασιος εσται· γυνη μεγαλοφωνος και γλωσσωδης πολεμιων εις τροπην θεωρηθησεται· ανθρωπου δε παντος ψυχη ομοιοτροπος τουτοις πολεμου ακαταστασιαις την ψυχην διαιτηθησεται. 248. sic, nisi εἰς πολεμίων τροπὴν, Compl. ευσταθεις 308. + Τέκνον ἀκμὴν ἡλικίας σου συντήρησον ὑγιῆ, καὶ μὴ δῷς ἀλλοτρίοις τὴν ἰσχύν σου. Ἀναζητήσας παντὸς πεδίου εὔγεων κλῆρον, σπεῖρε τὰ ἴδια σπέρματα, πεποιθὼς τῇ εὐγενείᾳ σου. Οὕτως τὰ γεννήματά σου περιόντα καὶ παῤῥησίαν εὐγενείας ἔχοντα μεγαλυνοῦσι. Γυνὴ μισθία ἴση σιάλῳ λογισθήσεται· ὕπανδρος δὲ πύργος θανάτου τοῖς χρωμένοις [λογισθήσεται]. Γυνὴ ἀσεβὴς ἀνόμῳ μερὶς δοθήσεται· εὐσεβὴς δὲ δίδοται τῷ φοβουμένῳ τὸν Κύριον. Γυνὴ ἀσχήμων ἀτιμίαν κατατρίψει· θυγάτηρ δὲ εὐσχήμων καὶ τὸν ἄνδρα ἐντραπήσεται. Γυνὴ ἀδιάτρεπτος ὡς κύων λογισθήσεται· ἡ δὲ ἔχουσα αἰσχύνην τὸν Κύριον φοβηθήσεται. Γυνὴ ἄνδρα ἴδιον τιμῶσα σοφὴ πᾶσι φανήσεται· ἀτιμάζουσα δὲ ἀσεβὴς ἐν ὑπερηφανίᾳ πᾶσι γνωσθήσεται. Γυνὴ μεγαλόφωνος καὶ γλωσσώδης ὡς σάλπιγξ, πολεμίων εἰς τροπὴν θεωρηθήσεται. Ἀνθρώπου δὲ παντὸς ψυχὴ ὁμοιότροπος τούτοις, πολέμου ἀκαταστασίαις τὴν ψυχὴν διαιτηθήσεται. in charact. minore Alex.

XXVIII. ἡ καρδία μου] μου ἡ καρδια 23, 248, 253. Compl. δι' ἔνδειαν] δι' ενδειας 296, 308. ἐπανάγων] επαγαγων 155. ἐπὶ ἁμαρτίαν] εις αμαρτιαν 248. Compl. εἰς ῥομφαίαν αὐτόν] αυτον εις ρομφαιαν 248, 253. Compl.

XXIX. ἐξελεῖται] εξαιρειται 248. Compl. καὶ οὐ δικαιωθήσεται] και ου μη δικαιωθησεται 296. ἀπὸ ἁμαρτίας] περὶ ἁμαρτίας Constit. Apost. lib. iv. c. 6.

I. καὶ ὁ ζητῶν] ∧ ὁ 155. ἀποστρέψει ὀφθαλμόν] αποστρεψης φωτισμων (sic) 155. + αυτου 248. Compl.

II. ἁρμῶν λίθων] αρμων λιθινων 248, 253. Compl. ἁμαρτία] præmitt. πασα 55.

III. κρατήσῃ] κρατησει 155, 307. αὐτοῦ ὁ οἶκος] ὁ οικος αυτης 23, 253.

IV. Ἐν σείσματι] εν στηματι 253. διαμένει] διαμενη 155. διαμενεῖ 296. οὕτως σκύβαλα] ουτως σκυλα 248. Compl. ἐν λογισμῷ αὐτοῦ] εκ λογισμου αυτου 23. εν διαλογισμω αυτου 253.

V. Com. 5. 6. tr. 106. Deest totum comma 254. Σκεύη] præmitt. ως (ut videtur) 155. δοκιμάζει] δοκιμάσει Alex. καὶ πειρασμὸς &c. ad fin. com.] *et homines justos tentatio.* Origen. iv. 616. ἐν διαλογισμῷ αὐτοῦ] εν λογισμω αυτου 55, 155. Alex.

VI. ἐκφαίνει] εκφανει 55, 254. οὕτως λόγος] ουτως λογισμος 23, 248, 253. Compl. ουτος λογος 155. ∧ λογος 308. καρδίας] καρδια III. καρδιαν 23. Alex. εν καρδια 248. Compl.

VII. μὴ ἐπαινέσῃς] μη επαινεσεις 157. μὴ ἐπαίνει Alex. οὗτος γὰρ] ουτως γαρ 155. ἀνθρώπων] πνων (sic) 155.

VIII. Ἐὰν διώκῃς] εαν διωκεις 307. καταλήψῃ] καταληψει 155. + αυτο 248. Compl. καὶ ἐνδύσῃ] και ενδυσει 155. αὐτὸ] αυτω 155.

IX. ὅμοια αὐτοῖς] ομοια αυτης 106. ὅμοια αὐτῶν Alex. καταλύσει] καταλυει 106, 157, 296, 308. πρὸς τοὺς ἐργαζ. αὐτὴν] ∧ αυτην 248. Compl.

X. Λέων—οὕτως] ∧ cum intermed. 308. θήραν] θυραν 155. ἁμαρτίαι] αμαρτια 23, 55, 106, (155. ut videtur) 157, 248, 253, 307. Compl. Alex. ἐργαζομένους] τοις εργαζομενοις 248. Compl. εργαζομενοις 308. ἄδικα] κακιαν 248. Compl. αδικιαν 253.

XI. εὐσεβοῦς] σοφου Alex. διαπαντὸς σοφία] διαπαντος εν σοφια 248. Compl.

XIII. προσόχθισμα] præmitt. καὶ inter uncos Alex.

XIV. Λαλιὰ] λαλιαν 106. ὀρθώσει] ανορθωσει 55, 106, 155, 157, 254, 296, 307, 308. Alex. Chrysost. x. 197. ἡ μάχη αὐτῶν] ἡ μαχη αυτου 307.

XV. ἀκοὴ μοχθηρά] ακοη πονηρα 23. ακοη μοχθηριας (sed ς est inter lin. ab al. m.) 106.

ΚΕΦ. XXVII.

18. ἐὰν δὲ ἀποκαλύψῃς τὰ μυστήρια αὐτοῦ, οὐ μὴ καταδιώξῃς ὀπίσω αὐτοῦ. Καθὼς γὰρ ἀπώλεσεν ἄν-
19. θρωπος τὸν ἐχθρὸν αὐτοῦ, οὕτως ἀπώλεσας τὴν φιλίαν τοῦ πλησίου. Καὶ ὡς πετεινὸν ἐκ χειρός
20. σου ἀπέλυσας, οὕτως ἀφῆκας τὸν πλησίον, καὶ οὐ θηρεύσεις αὐτόν. Μὴ αὐτὸν διώξῃς, ὅτι μακρὰν
21. ἀπέστη, καὶ ἐξέφυγεν ὡς δορκὰς ἐκ παγίδος. Ὅτι θραῦσμά ἐστι καταδῆσαι, καὶ λοιδορίας ἐστὶ
22. διαλλαγή· ὁ δὲ ἀποκαλύψας μυστήρια ἀπήλπισε. Διανεύων ὀφθαλμῷ τεκταίνει κακά, καὶ οὐδεὶς
23. αὐτὸν ἀποστήσει ἀπ᾽ αὐτοῦ. Ἀπέναντι τῶν ὀφθαλμῶν σου γλυκανεῖ στόμα σου, καὶ ἐπὶ τῶν λόγων
σου ἐκθαυμάσει, ὕστερον δὲ διαστρέψει τὸ στόμα αὐτοῦ, καὶ ἐν τοῖς λόγοις σου δώσει σκάνδαλον.
24. 25. Πολλὰ ἐμίσησα καὶ οὐχ ὡμοίωσα αὐτῷ, καὶ ὁ Κύριος μισήσει αὐτόν. Ὁ βάλλων λίθον εἰς ὕψος
26. ἐπὶ κεφαλὴν αὐτοῦ βάλλει, καὶ πληγὴ δολία διελεῖ τραύματα. Ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμ-
27. πεσεῖται· καὶ ὁ ἱστῶν παγίδα ἐν αὐτῇ ἁλώσεται. Ὁ ποιῶν πονηρὰ εἰς αὐτὸν κυλισθήσεται,
28. καὶ οὐ μὴ ἐπιγνῷ πόθεν ἥκει αὐτῷ. Ἐμπαιγμὸς καὶ ὀνειδισμὸς ὑπερηφάνων, καὶ ἡ ἐκδίκησις ὡς
29. λέων ἐνεδρεύσει αὐτόν. Παγίδι ἁλώσονται οἱ εὐφραινόμενοι πτώσει εὐσεβῶν, καὶ ὀδύνη κατανα-
30. λώσει αὐτοὺς πρὸ τοῦ θανάτου αὐτῶν. Μῆνις καὶ ὀργή, καὶ ταῦτά ἐστι βδελύγματα, καὶ ἀνὴρ
ἁμαρτωλὸς ἐγκρατὴς ἔσται αὐτῶν.

ΚΕΦ. XXVIII.

1. Ο ΕΚΔΙΚΩΝ παρὰ Κυρίου εὑρήσει ἐκδίκησιν, καὶ τὰς ἁμαρτίας αὐτοῦ διατηρῶν διατηρήσει.
2. 3. Ἄφες ἀδίκημα τῷ πλησίον σου, καὶ τότε δεηθέντος σου αἱ ἁμαρτίαι σου λυθήσονται. Ἄνθρω-
4. πος ἀνθρώπῳ συντηρεῖ ὀργήν, καὶ παρὰ Κυρίου ζητεῖ ἴασιν. Ἐπ᾽ ἄνθρωπον ὅμοιον αὐτῷ οὐκ ἔχει
5. ἔλεος, καὶ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεῖται. Αὐτὸς σὰρξ ὢν διατηρεῖ μῆνιν, τίς ἐξιλάσεται τὰς
6. ἁμαρτίας αὐτοῦ; Μνήσθητι τὰ ἔσχατα, καὶ παῦσαι ἐχθραίνων· καταφθορὰν καὶ θάνατον, καὶ
7. ἔμμενε ἐντολαῖς. Μνήσθητι ἐντολῶν, καὶ μὴ μηνίσῃς τῷ πλησίον· καὶ διαθήκην ὑψίστου, καὶ
8. πάριδε ἄγνοιαν. Ἀπόσχου ἀπὸ μάχης, καὶ ἐλαττώσεις ἁμαρτίας· ἄνθρωπος γὰρ θυμώδης ἐκκαύ-
9. σει μάχην. Καὶ ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους, καὶ ἀναμέσον εἰρηνευόντων ἐμβάλλει διαβολήν.

XVII. Στέρξον] στεναξον 106. οὐ μὴ καταδιώξῃς] ∧ ου 155, 308. Alex.

XVIII. τὸν ἐχθρὸν] τον νεκρον 157. ἀπώλεσας] απωλεσεν 23, 248, 253, 296, 308. Compl. τὴν φιλίαν τοῦ πλησίου] τον πλησιον αυτου 248. Compl. τοῦ πλησίου] του πλησιον 23, 55, 106, 155, 157, 254. Alex.

XIX. ἀπέλυσας] απωλεσας 157. απολυσας 248, 307. ελυσας 308. οὕτως ἀφῆκας] ουτως αφησεις 296. τὸν πλησίον] + σου 296. καὶ οὐ θηρεύσεις] και ουχ ευρησεις (scr. ευρισης) 155. και οὐ μη θηρευσης 307.

XX. ἐκ παγίδος] εκ παγιδων 155.

XXI. Ὅτι θραῦσμα] οτι τραυμα 23, 55, 106, 155, 157, 248, 253, 254, 307. Compl. Ald. Alex. καταδῆσαι] καταλυσαι 155. καὶ λοιδορίας] και αμαρτιας 106. ἐστὶ διαλλαγὴ] εστι καταλλαγη 155, 296, 308. μυστήρια] μυστηριον 155, 307, 308. ἀπήλπισε] απωλεσε πιστιν 248. Compl.

XXII. Διανεύων] και εννευων III. præmitt. και 307. τεκταίνει] τεκταινεται 55, 254. τεκταινη (scr. τεκτενη) 155. κακὰ] πονηρα 248, 253. Compl. καὶ οὐδεὶς αὐτὸν] και ὁ ειδως αυτον 248. Compl. αὐτὸν] αυτα 55, 106, 155, 157, 254, 296, 307, 308. Alex. ἀποστήσει] αποστησεται 248. Compl. ἀπ᾽ αὐτοῦ] απ᾽ αυτων III.

XXIII. τῶν ὀφθαλμῶν σου] ∧ σου 307. γλυκανεῖ] βασκανει 155. στόμα σου] στομα αυτου 23, 253, 296. το στομα αυτου 55, 106, 157, 248, 307. Compl. Alex. καὶ ἐπὶ—στόμα αὐτοῦ] ∧ cum intermed. (supplet. in marg. ab al. m.) 106. καὶ ἐπὶ τῶν λόγων] και απο των λογων 307. ἐκθαυμάσει] θαυμασει 248. Compl. ὕστερον δὲ] ∧ δε 55, 254. σκάνδαλον] σκανδαλα 248. Compl.

XXIV. καὶ οὐχ ὡμοίωσα] ∧ καὶ Ald. αὐτῷ] αυτοις III. αυτον 23. μισήσει αὐτόν] εμισησεν αυτον 106, 155. μισει 157. ∧ αυτον 248. Compl.

XXV. Ὁ βάλλων] ∧ ὁ 307. Ald. Alex. ὁ βαλὼν Chrysost. i. 463. ἐπὶ κεφαλὴν αὐτοῦ] επι την κεφαλην αυτου 155. επι κεφαλης αυτου 248. Compl. επι κεφαλην εαυτου 308. εἰς τὴν κεφαλὴν αὐτοῦ Chrysost. l. cit. βάλλει] βαλλη 155. ἔβαλε Chrysost. l. cit. διελεῖ τραύματα] διαιρει τραυμα 248. Compl. διελει τραυματος 308.

XXVI. εἰς αὐτὸν ἐμπεσ.] εμπεσ. εις αυτον 248. Compl. ἐμπεσεῖται] πεσειται 106. ἐν αὐτῇ ἁλώσ.] αλωσ. εν αυτη 248. Compl. ἁλώσεται] απολειται 23.

XXVII. Ὁ ποιῶν πονηρὰ] ποιουντι πονηρα 248. Compl. εἰς αὐτὸν] εις αυτα III, 55, 106, 155, 157, 253, 254, 296, 307, 308. επ᾽ αυτον 248. Compl. κυλισθήσεται] εγκυλισθησεται 55, 106, 157, 254. αὐλισθήσεται Compl. καὶ οὐ μὴ ἐπιγνῷ] και ου μη γνω 55, 254. πόθεν ἥκει] ποθεν ηξει 296, 308.

XXVIII. ὑπερηφάνων] υπερηφανω 307. καὶ ἡ ἐκδίκησις] ∧ ἡ 155. ἐνεδρεύσει] ενεδρευει 155. αὐτόν] αυτους 23, 248. Compl. αυτων 157. αυτω 307.

XXIX. Παγίδι] παγιδα 106, 307. πτώσει εὐσεβῶν] præmitt. εν 248. Compl. præmitt. επι 296, 308. πτώσιν ἀσεβῶν Ald.

XXX. καὶ ταῦτά ἐστι] και ταυτα εσται 157. βδελύγματα] βδελυγμα 23, 155. ἐγκρατὴς ἔσται] εγκρατησεται 307.

I. Ὁ ἐκδικῶν] præmitt. και 106. τὰς ἁμαρτίας αὐτοῦ] τας αμαρτιας αυτων 55, 157, 253, 254. διατηρῶν] διαστηριων (155. ut videtur) 296, 308. διατηρῶν διατηρήσει] διαστηριων διαστηρισει III, 68, 157, 253, 307. Ald. ∧ διατηρων 55.

II. Ἄφες ἀδίκημα] αφες το αδικημα 248. Compl. τῷ πλησίον σου] ∧ σου 248. Compl. λυθήσονται] λυθησωνται 155.

III. παρὰ Κυρίου] παρὰ Θεῷ Chrysost. vii. 764. (Cf. xii. 99.)

IV. Ἐπ᾽ ἄνθρωπον] præmitt. και 248. Compl. ὅμοιον αὐτῷ] ομοιον αυτου 155. ἔλεος] ελεον 248. Compl.

V. σὰρξ ὢν διατηρεῖ] σαρξ τηρει 307. μῆνιν] μνημην 23. τίς ἐξιλάσεται] præmitt. και 248, 296. Compl. τὰς ἁμαρτίας αὐτοῦ] τας αμαρτιας αυτων 55. ταις αμαρτιαις αυτου 155.

VI. καταφθορὰν] præmitt. και μη μηνισης τω πλησιον 248. Compl.

VII. Μνήσθητι ἐντολῶν] μνησθητι των εντολων 253. τῷ πλησίον] τω εχθρω 307. καὶ διαθήκην] και διαθηκης 106, 248. Compl. Alex. καὶ πάριδε] καὶ πάρειδε Ald.

VIII. καὶ ἐλαττώσεις] και ελαττωσης 155. ἐλαττ. ἁμαρτίας] ελατ. αμαρτιαν 254. ἄνθρωπος γὰρ] ∧ γαρ 157.

IX. Καὶ ἀνὴρ] ∧ και 248. Compl. ταράξει] ταραξη 155. καὶ ἀναμέσον] ∧ καὶ Ald. ἐμβάλλει] εκβαλλει 23. Ald. εμβαλει 55, 157. 248, 254, 307. Compl. Alex. εκβαλει 106. εμβαλη 155. διαβολήν] διαλογην (corr. ut in Ed.) 155.

ΚΕΦ. XXVIII.

Κατὰ τὴν ὕλην πυρὸς ὅτως ἐκκαυθήσεται, κατὰ τὴν ἰσχὺν τȣ̃ ἀνθρώπȣ ὁ θυμὸς αὐτȣ̃ ἔϛαι, καὶ 10.
κατὰ τὸν πλȣ̃τον ἀνυψώσει ὀργὴν αὐτȣ̃, καὶ κατὰ τὴν ϛερέωσιν τῆς μάχης ἐκκαυθήσεται. Ἔρις 11.
καταϛπευδομένη ἐκκαίει πῦρ, καὶ μάχη καταϛπεύδȣσα ἐκχέει αἷμα. Ἐὰν φυσήσῃς σπινθῆρα ἐκ- 12.
καήσεται· καὶ ἐὰν πτύσῃς ἐπ' αὐτὸν σϐεσθήσεται· καὶ ἀμφότερα ἐκ τȣ̃ ϛόματός σȣ ἐκπορεύεται.
Ψίθυρον καὶ δίγλωσσον καταρᾶσθαι, πολλȣ̀ς γὰρ εἰρηνεύοντας ἀπώλεσαν. Γλῶσσα τρίτη πολ- 13. 14.
λȣ̀ς ἐσάλευσε, καὶ διέϛησεν αὐτȣ̀ς ἀπὸ ἔθνȣς εἰς ἔθνος, καὶ πόλεις ὀχυρὰς καθεῖλε, καὶ οἰκίας
μεγιϛάνων κατέϛρεψε. Γλῶσσα τρίτη γυναῖκας ἀνδρείας ἐξέϐαλε, καὶ ἐϛέρησεν αὐτὰς τῶν πό- 15.
νων αὐτῶν. Ὁ προσέχων αὐτῇ οὐ μὴ εὕρῃ ἀνάπαυσιν, ȣ̉δὲ κατασκηνώσει μεθ' ἡσυχίας. Πληγὴ 16. 17.
μάϛιγος ποιεῖ μώλωπας, πληγὴ δὲ γλώσσης συγκλάσει ὀϛᾶ. Πολλοὶ ἔπεσαν ἐν ϛόματι μα- 18.
χαίρας, καὶ ȣ̉χ ὡς οἱ πεπ]ωκότες διὰ γλῶσσαν. Μακάριος ὁ σκεπασθεὶς ἀπ' αὐτῆς, ὃς οὐ δι- 19.
ῆλθεν ἐν τῷ θυμῷ αὐτῆς, ὃς ȣ̉χ εἵλκυσε τὸν ζυγὸν αὐτῆς, καὶ ἐν τοῖς δεσμοῖς αὐτῆς ȣ̉κ ἐδέθη.
Ὁ γὰρ ζυγὸς αὐτῆς ζυγὸς σιδηρȣ̃ς, καὶ οἱ δεσμοὶ αὐτῆς δεσμοὶ χάλκεοι. Θάνατος πονηρὸς ὁ 20. 21.
θάνατος αὐτῆς, καὶ λυσιτελὴς μᾶλλον ὁ ᾅδης αὐτῆς. Οὐ μὴ κρατήσῃ εὐσεϐῶν, καὶ ἐν τῇ φλογὶ 22.
αὐτῆς οὐ καήσονται. Οἱ καταλείποντες Κύριον ἐμπεσȣ̃νται εἰς αὐτὴν, καὶ ἐν αὐτοῖς ἐκκαήσεται, 23.
καὶ ȣ̉ μὴ σϐεσθῇ· ἐξαποϛαλήσεται ἐπ' αὐτοῖς ὡς λέων, καὶ ὡς πάρδαλις λυμανεῖται αὐτȣ́ς. Ἴδε 24.
περίφραξον τὸ κτῆμά σου ἀκάνθαις, τὸ ἀργύριόν σȣ καὶ τὸ χρυσίον κατάδησον. Καὶ τοῖς λό- 25.
γοις σου ποίησον ζυγὸν καὶ ϛαθμὸν, καὶ τῷ ϛόματί σου ποίησον θύραν καὶ μοχλόν. Πρόσεχε 26.
μήπως ὀλισθήσῃς ἐν αὐτῇ, μὴ πέσῃς κατέναντι ἐνεδρεύοντος.

ΚΕΦ. XXIX.

Ο ΠΟΙΩΝ ἔλεος δανειεῖ τῷ πλησίον, καὶ ὁ ἐπισχύων τῇ χειρὶ αὐτȣ̃ τηρεῖ ἐντολάς. Δάνεισον 1. 2.
τῷ πλησίον ἐν καιρῷ χρείας αὐτȣ̃, καὶ πάλιν ἀπόδος τῷ πλησίον εἰς τὸν καιρόν. Στερέωσον λό- 3.
γον, καὶ πιϛώθητι μετ' αὐτȣ̃, καὶ ἐν παντὶ καιρῷ εὑρήσεις τὴν χρείαν σου. Πολλοὶ ὡς εὕρεμα 4.

X. πυρὸς] τȣ πυρος 23, 55, 106, 157, 248, 253, 254, 307. Compl. κατὰ τὴν ἰσχὺν] præmitt. και κατα την ϛερεωσιν της μαχης εκκαυθησεται 23, 106, 157, 253. Alex. και κατα την ϛερεωσιν της μαχης ȣτως εκκαυθησεται, και κατα την ισχυν 55, 254. præmitt. και 296. præmitt. κατὰ τὴν ϛερέωσιν τῆς μάχης τὸ πῦρ αὐξηθήσεται Compl. κατὰ τὴν ἰσχὺν—ὀργὴν αὐτȣ̃] ponit post εκκαυθησεται ad fin. com. 307. καὶ κατὰ τὸν πλȣ̃τον] + τȣ ανθρωπȣ 248. Compl. ἀνυψώσει] ανυψοι 248. Compl. καὶ κατὰ τὴν ϛερέωσιν &c. ad fin. com.] ∧ 23, 106, 155, 157, 248, 296. Compl. Alex. ponit statim ante κατα την ισχυν 253.

XI. Ἔρις καταϛπευδομένη] ερις καταψευδομενη 307. ἐκχέει] εκκαιει 307.

XII. Ἐὰν φυσήσῃς] εαν εμφυσηση 307. σπινθῆρα] præmitt. εις 55, 106, 157, 248, 254, 307. Compl. Alex. ἐκκαήσεται] καησεται 248. Compl. καὶ ἐὰν—σϐεσθήσεται] ∧ cum intermed. 248. ἐπ' αὐτὸν] αυτον 155. εις αυτον 254, 307. Alex. ἐπ' αὐτȣ̃ Compl. σϐεσθήσεται] ἀποσϐεσθήσεται Compl. ἐκπορεύεται] εξελευσεται III, 155, 296, 308. εξελευσονται 55, 106, 157, 254, 307. Alex.

XIII. καταρᾶσθαι] καταρασασθαι 23, 155, 253, 254, 296. καταρασθε 55. καταρασασθε 106, 157, 248. Compl. Alex. καταρασας 307. ἀπώλεσαν] απωλεσε 55, 106, 155, 157, 307. Alex.

XIV. Γλῶσσα τρίτη] γλωσσα δισση 248. Compl. ἐσάλευσε] απωλεσε 307. καὶ πόλεις ὀχυρὰς] ∧ και 55, 254. καὶ πόλεις ἰσχυρὰς Ald.

XV. Γλῶσσα τρίτη] γλωσσα δισση 157, 248. Compl. καὶ ἐϛέρησεν] και εϛερεωσεν 307. αὐτὰς] αυτα 307.

XVII. ποιεῖ] ποιησει 248, 253. Compl. μώλωπας] μωλωπα 55, 106, 155, 157, 248, 253, 254, 307. Compl. Alex. πληγὴ δὲ γλώσσης] λόγος ἁπαλὸς Chrysost. iv. 779. συγκλάσει] συνθλασει 248. Compl.

XVIII. Πολλοὶ ἔπεσαν] πολλοι επεσον 55, 106, 248, 254, 296. Compl. Chrysost. ii. 231. πολλοι εποιησαν 307. ἐν ϛόματι μαχαίρας] διὰ μαχαίρας Chrysost. l. cit. καὶ ȣ̉χ ὡς &c. ad fin. com.] ἀλλ' οὐ τοσȣ̃τοι ὅσοι διὰ γλώτ]ης. Chrysost. l. cit. οἱ πεπ]ωκότες] ὁ πεπ]ωκως III. ∧ οἱ 55. διὰ γλῶσσαν] δια γλωσσης 155.

XIX. ἀπ' αὐτῆς] υπ' αυτης 155. απο προσωπου αυτης 248. Compl. Alex. δι' αυτης 307. ὃς οὐ διῆλθεν] præmitt. και 254. ὃς ου διειλεν 307. ὃς ȣ̉χ εἵλκυσε] præmitt. και 55. και ȣχ ειλκυσε 157. ὃς ȣ̉χ εἵλκυσε τὸν ζυγὸν αὐτῆς] ∧ (supplet. in marg. ab al. m. και ȣχ ειλκυσε τον ζυγον αυτης) 106. τὸν ζυγὸν αὐτῆς] εν τῳ ζυγῳ αυτης 307. ἐν τοῖς δεσμοῖς] ∧ εν 155, 157. Alex.

XX. δεσμοὶ χάλκεοι] δεσμοι χαλκαιοι 55, 106, 157, 254.

XXI. καὶ λυσιτελὴς &c. ad fin. com.] ∧ 307.

XXII. Οὐ μὴ κρατήσῃ] ου μη κρατησει 23, 155, 307. φλογὶ αὐτῆς] φλογι αυτων 106. οὐ καήσονται] ου μη καησωνται 155. ου μη καησονται 248, 307. Compl. Alex.

XXIII. Οἱ καταλείποντες] οι καταλιποντες 106, 157. οι εγκαταλιποντες 307. Κύριον] τον Κυριον 55, 248, 254. Compl. ἐμπεσȣ̃νται] πεσουνται 307. καὶ ἐν αὐτοῖς] και εν αυτη 307. ἐκκαήσεται] εκκλησιασεται 23. εκκαησονται 106, 157. εκκαυθησεται 248. Compl. καησεται 307. ἐξαποϛαλήσεται] επαποϛαλησεται 253. ἐξαποϛαλήσεται ἐπ' αὐτοῖς] επαποϛαλησεται αυτοις 23, 106, 155, 157, 248. Compl. Alex. επαποϛαλησεται αυτȣς 307. ἐπ' αὐτοῖς] αυτοις 55, 254. επ' αυτȣς 296. λυμανεῖται αὐτȣ́ς] λυμανηται αυτȣς 155. λυμανειται επ' αυτȣς 308.

XXIV. Ἴδε] συ δε 307. Ἴδε περίφραξον] καὶ περίφρ. Ald. ἀκάνθαις] + και τω ϛοματι σου ποιησον θυρωματα και μοχλȣς 248. Compl. τὸ ἀργύριόν σου] το γαρ αργυριον σου 106. καὶ τὸ χρυσίον] και το χρυσιον σου 55, 106, 155, 248, 307. Ald. καὶ χρυσίον σου Compl. κατάδησον] καταδυσον 155.

XXV. Καὶ τοῖς λόγοις] και τȣ λογȣ 248. Compl. και τȣς λογȣς 308. σου ποίησον] σοι ποιησον 155. ∧ σου Ald. ζυγὸν καὶ ϛαθμὸν] ζυγόϛαθμον 248. Compl. μέτρον καὶ ϛαθμὸν Origen. iii. 102.

XXVI. Πρόσεχε] præmitt. και 248. Compl. προσχες 253. μήπως ὀλισθήσῃς] μηπως ολισθης 55, 155, 254. Alex. ἐν αὐτῇ] εν αυτοις 55, 106, 155, 157, 248, 307. Compl.

I. Ὁ ποιῶν] præmitt. περι δανους 307. δανειεῖ] δανειοι 106. δανιει 155. Alex. τῇ χειρὶ αὐτȣ̃] ∧ αυτȣ 23. τηρεῖ] ποιεῖ Alex.

II. εἰς τὸν καιρὸν] ∧ τον 55, 106, 157, 253, 254, 307. Alex. εν καιρω 155.

III. Στερέωσον λόγον] + σου 248. Compl. (Alex. in char. min.) ϛερεωσον φιλον 307. καὶ πιϛώθητι] ∧ και 296, 308.

IV. εὕρεμα] ευραμεν 155. δάνος] ∧ 23. το δανος 248. Compl. πόνον] κοπον 23, 106, 155, 157, 248, 253, 296. (307. ut videtur scr. κολπον) Compl. Alex.

ΣΟΦΙΑ ΣΕΙΡΑΧ.

ΚΕΦ. XXIX.

5. ἐνόμισαν δάνος, καὶ παρέσχον πόνον τοῖς βοηθήσασιν αὐτοῖς. Ἕως οὗ λάβῃ, καταφιλήσει χεῖρα
αὐτοῦ, καὶ ἐπὶ τῶν χρημάτων τοῦ πλησίον ταπεινώσει φωνήν· καὶ ἐν καιρῷ ἀποδόσεως παρελκύσει
6. χρόνον, καὶ ἀποδώσει λόγους ἀκηδίας, καὶ τὸν καιρὸν αἰτιάσεται. Ἐὰν ἰσχύσῃ, μόλις κομίσεται
τὸ ἥμισυ, καὶ λογιεῖται αὐτὸ ὡς εὕρεμα· εἰ δὲ μή, ἀπεστέρησεν αὐτὸν τῶν χρημάτων αὐτοῦ, καὶ
ἐκτήσατο αὐτὸν ἐχθρὸν δωρεάν· κατάρας καὶ λοιδορίας ἀποδώσει αὐτῷ, καὶ ἀντὶ δόξης ἀποδώσει
7. 8. αὐτῷ ἀτιμίαν. Πολλοὶ χάριν πονηρίας ἀπέστρεψαν, ἀποστερηθῆναι δωρεὰν εὐλαβήθησαν. Πλὴν
9. ἐπὶ ταπεινῷ μακροθύμησον, καὶ ἐπ' ἐλεημοσύνῃ μὴ παρελκύσῃς αὐτόν. Χάριν ἐντολῆς ἀντιλα-
10. βοῦ πένητος, καὶ κατὰ τὴν ἔνδειαν αὐτοῦ μὴ ἀποστρέψῃς αὐτὸν κενόν. Ἀπόλεσον ἀργύριον δι'
11. ἀδελφὸν καὶ φίλον, καὶ μὴ ἰωθήτω ὑπὸ τὸν λίθον εἰς ἀπώλειαν. Θὲς τὸν θησαυρόν σου κατ' ἐν-
12. τολὰς ὑψίστου, καὶ λυσιτελήσει σοι μᾶλλον ἢ τὸ χρυσίον. Σύγκλεισον ἐλεημοσύνην ἐν τοῖς τα-
13. μείοις σου, καὶ αὕτη ἐξελεῖταί σε ἐκ πάσης κακώσεως. Ὑπὲρ ἀσπίδα κράτους, καὶ ὑπὲρ δόρυ
14. ἀλκῆς κατέναντι ἐχθροῦ πολεμήσει ὑπὲρ σοῦ. Ἀνὴρ ἀγαθὸς ἐγγυήσεται τὸν πλησίον, καὶ ὁ ἀπο-
15. λωλεκὼς αἰσχύνην καταλείψει αὐτόν. Χάριτας ἐγγύου μὴ ἐπιλάθῃ, ἔδωκε γὰρ τὴν ψυχὴν αὐτοῦ
16. 17. ὑπὲρ σοῦ. Ἀγαθὰ ἐγγύου ἀνατρέψει ἁμαρτωλός, Καὶ ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσά-
18. μενον. Ἐγγύη πολλοὺς ἀπώλεσε κατευθύνοντας, καὶ ἐσάλευσεν αὐτοὺς ὡς κῦμα θαλάσσης· ἄν-
19. δρας δυνατοὺς ἀπῴκισε, καὶ ἐπλανήθησαν ἐν ἔθνεσιν ἀλλοτρίοις. Ἁμαρτωλὸς ἐμπεσὼν εἰς ἐγ-
20. γύην, καὶ διώκων ἐργολαβείας ἐμπεσεῖται εἰς κρίσεις. Ἀντιλαβοῦ τοῦ πλησίον κατὰ δύναμίν σου,
21. καὶ πρόσεχε σεαυτῷ μὴ ἐμπέσῃς. Ἀρχὴ ζωῆς ὕδωρ, καὶ ἄρτος, καὶ ἱμάτιον, καὶ οἶκος καλύπτων
22. ἀσχημοσύνην. Κρείσσων βίος πτωχοῦ ὑπὸ σκέπην δοκῶν, ἢ ἐδέσματα λαμπρὰ ἐν ἀλλοτρίοις.
23. 24. Ἐπὶ μικρῷ καὶ μεγάλῳ εὐδοκίαν ἔχε. Ζωὴ πονηρὰ ἐξ οἰκίας εἰς οἰκίαν, καὶ οὗ παροικήσει, οὐκ
25. 26. ἀνοίξει στόμα. Ξενιεῖς καὶ ποτιεῖς εἰς ἀχάριστα, καὶ πρὸς ἐπὶ τούτοις πικρὰ ἀκούσῃ· Πάρελθε
27. πάροικε, κόσμησον τράπεζαν, καὶ εἴ τι ἐν τῇ χειρί σου ψώμισόν με· Ἔξελθε πάροικε ἀπὸ προσ-
28. ώπου δόξης, ἐπεξένωταί μοι ὁ ἀδελφός, χρεία τῆς οἰκίας. Βαρέα ταῦτα ἀνθρώπῳ ἔχοντι φρόνη-
σιν, ἐπιτίμησις οἰκίας καὶ ὀνειδισμὸς δανειστοῦ.

V. λάβῃ] λαβει 155. καταλαβη 296, 308. καταφιλήσει] καταφιλει 248, 307. Compl. χεῖρα αὐτοῦ] χιρτωνας αυτου 23. χειρας αυτου 55, 106, 155, 157, 248, 254, 296. Compl. Alex. καὶ ἐπὶ—φωνήν] ∧ cum intermed. 106. καὶ ἐπὶ τῶν χρημάτων] και πιστων χρηματων 296, 308. τοῦ πλησίον] τοῦ πλησίου Ald. λόγους ἀκηδίας] λογον ακηδιας 248. Compl. καὶ τὸν καιρὸν] και τον χρονον 155, 307, 308.

VI. Ἐὰν ἰσχύσῃ] εαν ισχυσει 155. εαν δε ισχυση ὁ δους 248. ἐὰν δὲ ἰσχύσῃ δοὺς Compl. + ὁ δοὺς in charact. minore Alex. μόλις κομίσεται] μολις κομισηται 23, 307, 308. μολις κομισειται 155. μολις κομιειται 248. Compl. Alex. αὐτὸν ἐχθρὸν] τον εχθρον 155. ἐχθρὸν δωρεάν] tr. 248. Compl. ἐχθρὸν οὐ δωρεάν Ald. ἀποδώσει αὐτῷ 1°] αποδωσει αυτον 307. καὶ ἀντὶ δόξης] ∧ και 248. Compl.

VII. Πολλοὶ] πολλοι ουν 55, 106, 155, 157, 248, 254, 296. Compl. Alex. χάριν πονηρίας] οὐ χαριν πονηριας 23, 253, 307. ἀπέστρεψαν] + χειρα 55, 106, 157, 254. + τον ανθρωπον 248. Compl. + ἄνθρωπον in charact. minore Alex. ἀποστερηθῆναι] αποστερηθηναι δε 23, 55, 248, 253. Compl. (Alex. cum δὲ in char. min.) δωρεὰν] ∧ 248. Compl. εὐλαβήθησαν] ευλαβηθη 296, 308.

VIII. Πλὴν ἐπὶ] præmitt. περι ελεημοσυνης 307. ἐπὶ ταπεινῷ] επι ταπεινωσει 248. Compl. εν ταπεινω 308. καὶ ἐπ' ἐλεημοσύνῃ] και επ' ελεημοσυνῃ 55, 106, 157, 248, 253, 254. Compl. Alex. και επι ελεημοσυνης 307. μὴ παρελκύσῃς] παρελκύσεις Ald. αὐτόν] σεαυτον 23.

IX. πένητος] πενητι 155. κενόν] ∧ 23, 248. Compl.

X. δι' ἀδελφὸν καὶ φίλον] δια φιλον και αδελφον 248. Compl. καὶ μὴ ἰωθήτω] και μη σωθητω 23. και μη κατακρυβε αυτο 248. Compl.

XI. κατ' ἐντολὰς] præmitt. και 308. ὑψίστου] του υψιστου 55. ἢ τὸ χρυσίον] ἢ το αργυριον 155.

XII. ἐν τοῖς ταμείοις σου] εν τοις ταμιειοις σου 157. Alex. καὶ αὕτη] καὶ αὐτὴ 106, 248, 253, 296, 307. Compl.

XIII. κράτους] κρανους (sic) 157. καὶ ὑπὲρ δόρυ] ∧ υπερ 55. ἀλκῆς] ολκης III, 23, 55, 106, 155, 157, 254, 296, 307, 308. κατέναντι] και εναντι 23.

XIV. τὸν πλησίον] τον πλησιον 23. καὶ ὁ ἀπολωλεκὼς] ∧ ὁ 55, 106, 248, 253, 254. Compl. καταλείψει] εγκαταλειψει 55, 106, 157, 248, 253, 254. (307. scr. εγκαταληψει) Compl. Alex. εγκαταλειψη 155.

XV. ἐγγύου] εγγυητου 55, 254. Compl. εγγυς σου (marg. εγγυς σου· ἢ εγγυητου) 248. μὴ ἐπιλάθῃ] μη επιλαθου 308. τὴν ψυχὴν αὐτοῦ] ∧ την 55, 106, 254.

XVI. Ἀγαθὰ ἐγγύου] αγαθην εγγυην 248. Compl. ἀνατρέψει] αναστρεψει 68. Ald. ἁμαρτωλὸς] αμαρτιαν 23.

XVII. Καὶ ἀχάριστος] εγγυων φευξεται αμαρτωλος και αχρηστος 248. Compl. ἐγκαταλείψει] εκκαταλειψει 155. καταλειψει 248. (307. Cf. ver. 14.) Compl. ῥυσάμενον] τον ρυσαμενον αυτον 248. Compl.

XVIII. καὶ ἐσάλευσεν] ∧ και 155.

XIX. Ἁμαρτωλὸς] + παραβαινων εντολας Κυριου 248. Compl. (Alex. in charact. min.) ἐμπεσὼν] εμπεσετω 23, 253. εμπεσειται 55, 106, 155, 157, 248, 254, 307. Compl. Alex. εμπεσοι 296, 308. καὶ διώκων] και ὁ διωκων 308. εἰς κρίσεις] εις κρισιν 23, 155.

XXI. Ἀρχὴ ζωῆς] + ανθρωπου 55, 106, 155, 157, 248, 254, 296. Compl. Alex. Chrysost. iv. 284. ὕδωρ, καὶ ἄρτος] αρτος, και υδωρ 23, 106, 157, 296, 307, 308. Alex. Chrysost. l. cit. καὶ ἱμάτιον] ∧ και 254.

XXII. Κρείσσων] κρεισσον 307. ὑπὸ σκέπην] υπερ σκεπην 308. ἐδέσματα λαμπρὰ] εδεσματα πολλα 106, 157.

XXIII. Ἐπὶ μικρῷ καὶ μεγάλῳ] επι μικρα και μεγαλα 248. Compl. εὐδοκίαν ἔχε] + και ονειδισμον οικιας σου μη ακουσης 248. Compl. (Alex. in char. min.) + εστι γαρ ταπεινων και υψων 253.

XXIV. οὗ παροικ.] οὐ παροικ. 307. Ald. παροικήσει] παροικησεις 55, 106, 157, 248, 253, 254, 296. Compl. Alex. παροικησης 155. οὐκ ἀνοίξει] ουκ ανοιξεις 23, 106, 157, 248, 253, 254, 296. Compl. Alex. και ουκ ανοιξεις 55. ουκ ανοιξη 155. στόμα] το στομα 307.

XXXI. καὶ τίς μεγαλύνει] και τις μεγαλυνεῖ 55, 106, 157, 248, 254. Compl. Alex.

XXXII. ὀλίγα γὰρ] ∧ γαρ 106, 157, 248, 253, 296. Compl.

XXXIII. Πάντα γὰρ ἐποίησεν] ∧ γαρ 307. καὶ τοῖς &c. ad fin. com.] ∧ 157. ἔδωκε] δεδωκεν 155, 296, 307, 308. Alex. σοφίαν] In hac voce, sine ullo vestigio omissorum, est terminus Codicis 307.

ΠΑΤΕΡΩΝ ΥΜΝΟΣ] ∧ 23, 106, 253. Compl. Πατερων υμνοι 155.

I. Αἰνεσ. δὴ] αινεσ. δε 23. τῇ γενέσει] τῃ γεννησει 253.

II. ὁ Κύριος] + εν αυτοις 55, 248. Compl. (Alex. in char. min.) τὴν μεγαλωσύνην] τη μεγαλωσυνη 55, 106, 155, 157, 248, 253, 296. Compl. Alex. ἀπ' αἰῶνος] ἐπ' αἰῶνος Ald.

III. ἐν ταῖς βασιλ. αὐτῶν] ∧ ταις 253. βασιλ. αὐτῶν] βασιλ. αυτȣ III. βȣλεύσονται] βȣλευεται III. βȣλευοντες 55, 106, 155, 157, 248, 254. Compl. βȣλευται 296, 308. Alex. ἐν προφητείαις] εν προφηταις 23, (155. scr. προφητες) 253, 308.

IV. καὶ συνέσει] και εν συνεσει 23, 55, 248. Compl. σοφοὶ λόγοι] σοφοι λογοις 296. σοφοι λογȣς 308. σοφοὶ ἐν λόγοις Alex. ἐν παιδείᾳ αὐτῶν] εν τη παιδεια αυτων 23. ∧ ἐν Alex.

ΚΕΦ. XLIV.

6. μέλη μουσικῶν, διηγούμενοι ἔπη ἐν γραφῇ· Ἄνδρες πλούσιοι κεχορηγημένοι ἰσχύϊ, εἰρηνεύοντες ἐν
7. παροικίαις αὐτῶν· Πάντες οὗτοι ἐν γενεαῖς ἐδοξάσθησαν, καὶ ἐν ταῖς ἡμέραις αὐτῶν καύχημα.
8. 9. Εἰσὶν αὐτῶν οἳ κατέλιπον ὄνομα τοῦ ἐκδιηγήσασθαι ἐπαίνους. Καὶ εἰσὶν ὧν οὐκ ἔστι μνημόσυνον,
καὶ ἀπώλοντο ὡς οὐχ ὑπάρξαντες, καὶ ἐγένοντο ὡς οὐ γεγονότες, καὶ τὰ τέκνα αὐτῶν μετ' αὐτούς.
10. 11. Ἀλλ' ἢ οὗτοι ἄνδρες ἐλέους, ὧν αἱ δικαιοσύναι οὐκ ἐπελήσθησαν. Μετὰ τοῦ σπέρματος αὐτῶν δια-
12. μενεῖ ἀγαθὴ κληρονομία, ἔκγονα αὐτῶν ἐν ταῖς διαθήκαις. Ἔστη σπέρμα αὐτῶν καὶ τέκνα αὐ-
13. 14. τῶν δι' αὐτούς· Ἕως αἰῶνος μενεῖ σπέρμα αὐτῶν, καὶ ἡ δόξα αὐτῶν οὐκ ἐξαλειφθήσεται. Τὸ σῶ-
15. μα αὐτῶν ἐν εἰρήνῃ ἐτάφη, καὶ τὸ ὄνομα αὐτῶν ζῇ εἰς γενεάς. Σοφίαν αὐτῶν διηγήσονται λαοί,
16. καὶ τὸν ἔπαινον ἐξαγγέλλει ἐκκλησία. Ἐνὼχ εὐηρέστησε Κυρίῳ, καὶ μετετέθη ὑπόδειγμα μετα-
17. νοίας ταῖς γενεαῖς. Νῶε εὑρέθη τέλειος δίκαιος, ἐν καιρῷ ὀργῆς ἐγένετο ἀντάλλαγμα· διὰ τοῦτο
18. ἐγενήθη κατάλειμμα τῇ γῇ, διὰ τοῦτο ἐγένετο κατακλυσμός. Διαθῆκαι αἰῶνος ἐτέθησαν πρὸς αὐ-
19. τόν, ἵνα μὴ ἐξαλειφθῇ κατακλυσμῷ πᾶσα σάρξ. Ἀβραὰμ μέγας πατὴρ πλήθους ἐθνῶν, καὶ οὐχ
20. εὑρέθη ὅμοιος ἐν τῇ δόξῃ, Ὃς συνετήρησε νόμον ὑψίστου, καὶ ἐγένετο ἐν διαθήκῃ μετ' αὐτοῦ· καὶ
21. ἐν σαρκὶ αὐτοῦ ἔστησε διαθήκην, καὶ ἐν πειρασμῷ εὑρέθη πιστός. Διὰ τοῦτο ἐν ὅρκῳ ἔστησεν αὐτῷ,
ἐνευλογηθῆναι ἔθνη ἐν τῷ σπέρματι αὐτοῦ, πληθῦναι αὐτὸν ὡς χοῦν τῆς γῆς, καὶ ὡς ἄστρα ἀνυ-
ψῶσαι τὸ σπέρμα αὐτοῦ, καὶ κατακληρονομῆσαι αὐτοὺς ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ
22. ποταμοῦ ἕως ἄκρου γῆς. Καὶ ἐν τῷ Ἰσαὰκ ἔστησεν οὕτως διὰ Ἀβραὰμ τὸν πατέρα αὐτοῦ, εὐλογίαν
23. πάντων ἀνθρώπων καὶ διαθήκην. Καὶ κατέπαυσεν ἐπὶ κεφαλὴν Ἰακώβ· ἐπέγνω αὐτὸν ἐν εὐλο-
γίαις αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ ἐν κληρονομίᾳ· καὶ διέστειλε μερίδας αὐτοῦ, ἐν φυλαῖς ἐμέρισε δεκα-
24. δύο. Καὶ ἐξήγαγεν ἐξ αὐτοῦ ἄνδρα ἐλέους, εὑρίσκοντα χάριν ἐν ὀφθαλμοῖς πάσης σαρκός.

ΚΕΦ. XLV.

1. 2. ΗΓΑΠΗΜΕΝΟΝ ὑπὸ Θεοῦ καὶ ἀνθρώπων Μωυσῆν, οὗ τὸ μνημόσυνον ἐν εὐλογίαις. Ὡμοίωσεν
3. αὐτὸν δόξῃ ἁγίων, καὶ ἐμεγάλυνεν αὐτὸν ἐν φόβοις ἐχθρῶν. Ἐν λόγοις αὐτοῦ σημεῖα κατέπαυ-
σεν, ἐδόξασεν αὐτὸν κατὰ πρόσωπον βασιλέων· ἐνετείλατο αὐτῷ πρὸς λαὸν αὐτοῦ, καὶ ἔδειξεν
4. αὐτῷ τῆς δόξης αὐτοῦ. Ἐν πίστει καὶ πραΰτητι αὐτοῦ ἡγίασεν, ἐξελέξατο αὐτὸν ἐκ πάσης σαρ-
5. κός. Ἠκούτισεν αὐτὸν τῆς φωνῆς αὐτοῦ, καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν γνόφον· καὶ ἔδωκεν αὐτῷ

V. μέλη] μεγαλη 308. διηγούμενοι] præmitt. και 55, 106, 155, 157, 253, 254, 296. Compl. Alex. ἔπη ἐν γραφῇ] επι εγγραφη 106, 296. ἐν γραφῇ] εγγραφη 157. Compl. Alex.

VI. κεχορηγημένοι] και χορηγημενοι (sic) 155. ἰσχύϊ] præmitt. εν 55, 106, 155, 157, 248, 254, 296. Compl. Alex. ἐν παροικίαις] εν κατοικιαις 55, 106, 155, 157, 253, 254. Compl. Alex.

VIII. οἳ κατέλιπον] οἱ καταλιποντες 106, 157. οἱ καταλειποντες 155. οἳ κατέλειπον Alex.

IX. οὐχ ὑπάρξαντες] ουχ υπαρχοντες 248. Compl.

X. Ἀλλ' ἢ οὗτοι] αλλ' ουτε 23. ἐλέους] ελεη 68. Ald. αἱ δικαιοσύναι] + αυτων 248. Compl. ἐπελήσθησαν] επλησθησαν 106.

XI. διαμενεῖ] διαμένει 55, 248, 253, 254, 296. ἔκγονα αὐτῶν] εγγονον αυτων 254. ἔγγονα αὐτῶν Compl.

XII. Ἔστη] εστι 157. εν διαθηκαις εστι 248. Compl. σπέρμα αὐτῶν] præmitt. το 106, 155, 157, 248, 296. Compl. Alex. καὶ τέκνα αὐτῶν] και τα τεκνα αυτων 23, (106. marg.) 155, 157, 248, 254, 296. Compl. Alex. καὶ τέκνα αὐτῶν—σπέρμα αὐτῶν in com. seq.] ‸ cum intermed. (supplet. in marg. ab al. m.) 106. δι' αὐτούς] μετ' αὐτούς Compl.

XIII. Ἕως αἰῶνος] εως αιωνων 23, 253. μενεῖ] μένει 55, 248, 253, 254, 296. Compl. διαμένει 106. marg. σπέρμα αὐτῶν] præmitt. το (106. marg.) 157. ἐξαλειφθήσεται] εγκαταλειφθησεται III.

XIV. Τὸ σῶμα αὐτῶν] τα σωματα αυτων 55, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex. ζῇ] ζησει (scr. ζησι) 23. εἰς γενεάς] εις γενεαν και γενεαν 248. Compl.

XV. διηγήσονται] διηγησωνται 155. λαοὶ] ‸ 155. καὶ τὸν ἔπαινον] + αυτων 106, 157, 248, 296, 308. Compl. Alex. ἐξαγγέλλει] ἐξαγγελεῖ 55, 106, 254, 296. Compl. Ald. Alex.

XVI. Κυρίῳ] + Θεω 248. Compl. μετανοίας] αιωνος 253.

XVII. ἐν καιρῷ ὀργῆς] præmitt. και 106, 157. διὰ τοῦτο 1°—γῇ] ‸ cum intermed. 23, 248. Compl. ἐγενήθη] εγενετο 253. διὰ τοῦτο ἐγένετο] οτε εγενετο 55, 106, 155, 157, 254, 296, 308. Alex. κατακλυσμός] præmitt. ὁ 106, 155, 157, 248. Compl. Alex.

XVIII. Διαθῆκαι αἰῶνος] διαθηκη αιωνος 55, 254. præmitt. και 248. Compl. ἐτέθησαν] εστησαν 23. ετεθη 55, 254. εσταθησαν 253. Compl. κατακλυσμῷ] ‸ Alex.

XIX. ὅμοιος] + αὐτῷ Alex. ἐν τῇ δόξῃ] + αυτω 106. ‸ τῃ 157, 253. + αυτου 248. Compl.

XX. καὶ ἐν σαρκὶ] ‸ και 23, 106, 155, 157, 248. Compl. Alex.

XXI. ἔστησεν αὐτῷ] εστησεν αυτον 23. ἐνευλογηθῆναι] ευλογηθηναι 23. ενευλογειν 248. Compl. ἐν τῷ σπέρματι αὐτοῦ] ‸ τῳ 23, 106, 157, 248, 253. Compl. Alex. καὶ ὡς ἄστρα—σπέρμα αὐτοῦ] ‸ cum intermed. 248. Compl. ἕως θαλάσσης] præmitt. και 155. ἕως ἄκρου γῆς] εως ακρα της γης 23. εως ακρων της γης 55, 254. γῆς] præmitt. της 106, 155, 157, 248, 253, 296. Compl. Alex.

XXII. Καὶ ἐν τῷ] ‸ και 106. οὕτως] αυτως 23. ουτος 155.

XXIII. Καὶ κατέπαυσεν] ‸ και 253. ἐν εὐλογίαις αὐτοῦ] ‸ εν 296, 308. ἐν κληρονομίᾳ] κληρονομίαν 248. Compl. καὶ διέστειλε] και διεστησεν III. μερίδας αὐτοῦ] μεριδος αυτου 248. Compl. ἐν φυλαῖς ἐμέρισε δεκαδύο] εν φυλαις αἷς εμερισεν δωδεκα 248. Compl. εν φυλακαις εμερισε δεκαδυο 308.

XXIV. ἄνδρα ἐλέους] ανδρα ελεου 253. χάριν] ‸ (supplet. in marg. ab al. m.) 106.

I. Ἠγαπημένον] ἠγαπημένος Alex. ὑπὸ Θεοῦ] υπο Κυριου 23. Μωυσῆν] Μωσην III, (23. præfixo ※) 248. Compl. Μωσῆς Alex.

II. δόξῃ ἁγίων] ἐν δόξῃ ἁγίων Alex.

III. Ἐν λόγοις] ἐν λογίοις Compl. ἐδόξασεν αὐτὸν] præmitt. και 248. Compl. κατὰ πρόσ. βασιλέων] κατα προσ. βασιλεως 55, 254. ἐνετείλατο] præmitt. και 106. καὶ ἔδειξεν αὐτῷ] και ενεπλησεν αυτον 106.

IV. πραΰτητι] πραοτητι 106, 155, 248, 296. Compl. Alex. αὐτοῦ] αὐτὸν Alex. ἡγίασεν] + αυτον 55, 106, 157, 248, 253, 254. Compl. ἐξελέξατο] præmitt. και 296.

κατὰ πρόσωπον ἐντολὰς, νόμον ζωῆς καὶ ἐπιςήμης, διδάξαι τὸν Ἰακὼβ διαθήκην, καὶ κρίματα
αὐτȣ τὸν Ἰσραήλ. Ἀαρὼν ὕψωσεν ἅγιον ὅμοιον αὐτῷ, ἀδελφὸν αὐτȣ ἐκ φυλῆς Λευΐ. Ἔςησεν 6. 7.
αὐτῷ διαθήκην αἰῶνος, καὶ ἔδωκεν αὐτῷ ἱερατείαν λαȣ· ἐμακάρισεν αὐτὸν ἐν εὐκοσμίᾳ, καὶ περι-
έζωσεν αὐτὸν ςολὴν δόξης. Ἐνέδυσεν αὐτὸν συντέλειαν καυχήματος, καὶ ἐςερέωσεν αὐτὸν σκεύ- 8.
εσιν ἰσχύος, περισκελῆ καὶ ποδήρη καὶ ἐπωμίδα, Καὶ ἐκύκλωσεν αὐτὸν ῥοΐσκοις χρυσοῖς, κώδωσι 9.
πλείςοις κυκλόθεν, ἠχῆσαι φωνὴν ἐν βήμασιν αὐτȣ, ἀκȣςὸν ποιῆσαι ἦχον ἐν ναῷ εἰς μνημόσυνον
υἱοῖς λαȣ αὐτȣ, Στολῇ ἁγίᾳ, χρυσῷ, καὶ ὑακίνθῳ, καὶ πορφύρᾳ, ἔργῳ ποικιλτȣ, λογείῳ κρί- 10.
σεως, δήλοις ἀληθείας, Κεκλωσμένῃ κόκκῳ, ἔργῳ τεχνίτȣ, λίθοις πολυτελέσι γλύμματος σφρα- 11.
γῖδος, ἐν δέσει χρυσίȣ, ἔργῳ λιθȣργȣ, εἰς μνημόσυνον ἐν γραφῇ κεκολαμμένῃ κατ' ἀριθμὸν φυ-
λῶν Ἰσραήλ· Στέφανον χρυσȣν ἐπάνω κιδάρεως, ἐκτύπωμα σφραγῖδος ἁγιάσματος, καύχημα τι- 12.
μῆς, ἔργον ἰσχύος, ἐπιθυμήματα ὀφθαλμῶν κοσμέμενα ὡραῖα. Πρὸ αὐτȣ ȣ γέγονε τοιαῦτα ἕως 13.
αἰῶνος, οὐκ ἐνεδύσατο ἀλλογενὴς, πλὴν τῶν υἱῶν αὐτȣ μόνον, καὶ τὰ ἔκγονα αὐτȣ διαπαντός.
Θυσίαι αὐτȣ ὁλοκαρπωθήσονται καθημέραν ἐνδελεχῶς δίς. Ἐπλήρωσε Μωυσῆς τὰς χεῖρας, καὶ 14. 15.
ἔχρισεν αὐτὸν ἐν ἐλαίῳ ἁγίῳ· ἐγενήθη αὐτῷ εἰς διαθήκην αἰώνιον, καὶ ἐν τῷ σπέρματι αὐτȣ ἐν
ἡμέραις ȣρανȣ, λειτȣργεῖν αὐτῷ ἅμα καὶ ἱερατεύειν, καὶ εὐλογεῖν τὸν λαὸν αὐτȣ ἐν τῷ ὀνόματι αὐ-
τȣ. Ἐξελέξατο αὐτὸν ἀπὸ παντὸς ζῶντος, προσαγαγεῖν κάρπωσιν Κυρίῳ, θυμίαμα καὶ εὐωδίαν 16.
εἰς μνημόσυνον, ἐξιλάσκεσθαι περὶ τȣ λαȣ σου. Ἔδωκεν αὐτὸν ἐν ἐντολαῖς αὐτȣ, ἐξουσίαν ἐν 17.
διαθήκαις κριμάτων, διδάξαι τὸν Ἰακὼβ τὰ μαρτύρια, καὶ ἐν νόμῳ αὐτȣ φωτίσαι Ἰσραήλ. Ἐπι- 18.
συνέςησαν αὐτῷ ἀλλότριοι, καὶ ἐζήλωσαν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἄνδρες οἱ περὶ Δαθὰν καὶ Ἀβει-
ρῶν, καὶ ἡ συναγωγὴ Κορὲ ἐν θυμῷ καὶ ὀργῇ. Εἶδε Κύριος καὶ ȣκ εὐδόκησε, καὶ συνετελέσθη- 19.
σαν ἐν θυμῷ ὀργῆς· ἐποίησεν αὐτοῖς τέρατα, καταναλῶσαι ἐν πυρὶ φλογὸς αὐτȣ. Καὶ προσ- 20.
έθηκεν Ἀαρὼν δόξαν, καὶ ἔδωκεν αὐτῷ κληρονομίαν· ἀπαρχὰς πρωτογεννημάτων ἐμέρισεν αὐτοῖς·
ἄρτον ἐν πρώτοις ἡτοίμασε πλησμονήν. Καὶ γὰρ θυσίας Κυρίου φάγονται, ἃς ἔδωκεν αὐτῷ τε 21.
καὶ τῷ σπέρματι αὐτȣ. Πλὴν ἐν γῇ λαȣ οὐ κληρονομήσει, καὶ μερὶς ȣκ ἔςιν αὐτῷ ἐν λαῷ, αὐ- 22.
τὸς γὰρ μερίς σου, κληρονομία. Καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ τρίτος εἰς δόξαν, ἐν τῷ ζηλῶσαι αὐ- 23.
τὸν ἐν φόβῳ Κυρίȣ, καὶ ςῆσαι αὐτὸν ἐν τροπῇ λαȣ, ἐν ἀγαθότητι προθυμίας ψυχῆς αὐτȣ, καὶ

V. καὶ ἐπιςήμης] και επιςημην 155. ∧ καὶ Ald. διδάξαι] εδιδαξεν 23, 248, 253. Compl.

VI. ὕψωσεν] ανυψωσεν 23, 106, 157, 248, 254. Compl. ἅγιον] ∧ 155.

VII. Ἔςησεν αὐτῷ] εςησεν αυτον 55. Ald. διαθήκην αἰῶνος] διαθηκην αιωνιον 155. ςολὴν δόξης] περιςολη δοξης III. περιςολην δοξης 55, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex.

VIII. σκεύεσιν] præmitt. ἐν Compl. περισκελῆ] præmitt. και 254.

IX. ἐν ναῷ] ἐν Κυρίῳ Ald. εἰς μνημόσυνον] præmitt. και 248. Compl.

X. Στολῇ ἁγίᾳ] ςολὴ ἁγία (sic) 254. καὶ πορφύρᾳ] και πορφυραν 253. πορφύρᾳ, ἔργῳ] πορφυρα εργα 106. ἔργῳ ποικιλτȣ] ἔργων ποικιλτȣ Ald. δήλοις] διδοις (sic) 308. ἀληθείας] αληθηνη (sic) 253. ἀληθείαις Alex.

XI. Κεκλωσμένῃ κόκκῳ] βυσσω κεκλωσμενη και κοκκω 106. κεκλωσμενω κοκκω 248. Compl. ∧ κόκκῳ Ald. ἔργῳ τεχνίτου] εργου τεχνιτου 155. γλύμματος] γλυμμασιν 23, 248. Compl. ἔργῳ λιθȣργȣ] ἔργων λιθȣργȣ Ald. ἐν γραφῇ] εγραφη 157. ἐγγραφῇ Compl. κεκολαμμένῃ] κεκολλημενη 55, 254. κατ' ἀριθμὸν] κατ' ἀριθμῶν 155. φυλῶν Ἰσραήλ] υιων Ισραηλ 248. Compl.

XII. ἔργον ἰσχύος] οριον ισχυος 23. εργα ισχυος 248. Compl. ἐπιθυμήματα] επιθυμητα 23, 106, 157, 253. ὀφθαλμῶν] οφθαλμου 55.

XIII. Πρὸ αὐτȣ] προ αυτων 23. Πρὸ αὐτȣ—τοιαυτα] τοιαυτα προ αυτȣ οὐ γεγονε 55, 254. ἕως αἰῶνος] præmitt. και 248. Compl. οὐκ ἐνεδύσατο] οὐκ ἐδύσατο Compl. μόνον] μονων 106, 157. καὶ τὰ ἔκγονα] και τα εγγονα 55. Compl.

XIV. Θυσίαι αὐτȣ] θυσιαι αυτων 23, 248. Compl. ἐνδελεχῶς δίς] ενδελεχωσεις 308.

XV. Ἐπλήρ. Μωυσῆς] επληρ. Μωσης 254. τὰς χεῖρας] + αυτȣ 248. Compl. ἐν ἐλαίῳ] εν ελεω 155. ∧ εν 248. Compl. εἰς διαθήκην αἰώνιον] εις διαθηκην αιωνος 23, 106, 157, 248, 253. Compl. καὶ ἐν τῷ σπέρματι] ∧ εν 23, 55, 106, 155, 157, 248, 254. Compl. Alex. ἐν ἡμέραις] εν ημερα 248. Compl. ȣρανȣ] ανθρωπου (scr. ανου) 155. λειτȣργεῖν &c. usque ad ἀντικαταλλασσόμενον ver. 12. cap. xxvi.] ∧ 296, 308. τὸν λαὸν αὐτȣ] ∧ αυτȣ 248. Compl. ἐν τῷ ὀνόματι αὐτȣ] ∧ αυτȣ 23, 155. Ald. habet αὐτȣ in charact. min. Alex.

XVI. προσαγαγεῖν] προσαγειν 23, 55, 254. Κυρίῳ] τω Κυριω 155. καὶ εὐωδίαν] και ευωδια III. περὶ τȣ λαȣ σου] ∧ σου 248. Compl. περὶ τȣ λαȣ αὐτȣ Alex.

XVII. Ἔδωκεν αὐτὸν] εδωκεν αυτω 55, 106, 155, 157, 248, 254. Compl. Alex. ἐν ἐντολαῖς] ∧ εν 106, 157, 253, 254. Ald. εντολας 248. Compl. ἐν ταῖς ἐντολαῖς Alex. ἐν διαθήκαις] ∧ εν 106, 157, 253. τὰ μαρτύρια] μαρτυριαν III. φωτίσαι] φωνησαι 23, 253. Ald. Ἰσραήλ] præmitt. τον 106, 157, 248. Compl. Alex.

XIX. Εἶδε] ἴδεν Alex. ἐποίησεν αὐτοῖς] εποιησεν εν αυτοις 106, 157, 248, 253. Compl. τέρατα] τεραςια 23, 253. ἐν πυρὶ] πυρ 23. ἐν πυρὶ φλογὸς] εν φλογι πυρος 55, 254. αὐτȣ] αυτȣς 23, 55, 106, 157, 248, 253, 254. Compl. Alex.

XX. ἀπαρχὰς] απαρχην 248. Compl. ἐμέρισεν αὐτοῖς] εμερισεν αυτω 23, 55, 106, 155, 157, 248, 253, 254. Compl. Alex. ἄρτον ἐν πρώτοις] αρτοις πρωτοις 23. ∧ εν 155, 253. Ald. habet ἐν in charact. min. Alex. πλησμονήν] εν πλησμονη 55, 248, 254. Compl. Alex. εἰς πλησμονην 106, 157. πλησμονη 155.

XXI. Κυρίου] Θεȣ 157. φάγονται] φαγωνται 248. Compl. ἃς ἔδωκεν] ως εδωκεν 106. αὐτῷ τε καὶ] ∧ 23, 253. ∧ τε 248. Compl.

XXII. οὐ κληρονομήσει] ∧ οὐ 23, 253. Alex. καὶ μερὶς ȣκ ἔςιν] και μερις ουκ εςαι 106, 253. μερίς σȣ] μερις αυτȣ 248. Compl. Alex. κληρονομία] præmitt. και 23, 55, 106, 155, 157, 254. Alex. κληρονομιας 248. Compl.

XXIII. ςῆσαι αὐτὸν] ςηναι αυτον 106, 155, 157, 248. Compl. Alex. ἐν τροπῇ] εν εντροπη 155. περὶ τȣ Ἰσραήλ] περι τον Ισραηλ 155.

ΚΕΦ. XLV.

24. ἐξιλάσατο περὶ τῦ Ἰσραήλ. Διὰ τῦτο ἐςάθη αὐτῷ διαθήκη εἰρήνης, προςάτην ἁγίων καὶ λαῷ
25. αὐτῦ, ἵνα αὐτῷ ᾖ καὶ τῷ σπέρματι αὐτῦ ἱερωσύνης μεγαλεῖον εἰς τὺς αἰῶνας. Καὶ διαθήκην τῷ
Δαυὶδ υἱῷ ἐκ φυλῆς Ἰούδα, κληρονομία βασιλέως υἱῦ ἐξ υἱῦ μόνου· κληρονομία Ἀαρὼν καὶ τῷ
26. σπέρματι αὐτῦ. Δῴη ὑμῖν σοφίαν ἐν καρδίᾳ ὑμῶν, κρίνειν τὸν λαὸν αὐτῦ ἐν δικαιοσύνῃ, ἵνα μὴ
ἀφανισθῇ τὰ ἀγαθὰ αὐτῶν, καὶ τὴν δόξαν αὐτῶν εἰς γενεὰς αὐτῶν.

ΚΕΦ. XLVI.

1. ΚΡΑΤΑΙΟΣ ἐν πολέμοις Ἰησῦς Ναυῆ, καὶ διάδοχος Μωυσῆ ἐν προφητείαις· ὃς ἐγένετο κατὰ
τὸ ὄνομα αὐτῦ μέγας ἐπὶ σωτηρίᾳ ἐκλεκτῶν αὐτῦ, ἐκδικῆσαι ἐπεγειρομένους ἐχθρὺς, ὅπως κλη-
2. ρονομήσῃ τὸν Ἰσραήλ. Ὡς ἐδοξάσθη ἐν τῷ ἐπᾶραι χεῖρας αὐτῦ, καὶ τῷ ἐκκλῖναι ῥομφαίαν ἐπὶ
3. 4. πόλεις; Τίς πρότερον αὐτῦ ὕτως ἔςη; τὺς γὰρ πολεμίυς Κύριος αὐτὸς ἐπήγαγεν. Οὐχὶ ἐν
5. χειρὶ αὐτῦ ἀνεπόδισεν ὁ ἥλιος, καὶ μία ἡμέρα ἐγενήθη πρὸς δύο; Ἐπεκαλέσατο τὸν ὕψιςον
6. δυνάςην, ἐν τῷ θλίψαι αὐτὸν ἐχθρὺς κυκλόθεν· καὶ ἐπήκυσεν αὐτῶν μέγας Κύριος Ἐν λίθοις
χαλάζης δυνάμεως κραταιᾶς· κατέῤῥαξεν ἐπ᾽ ἔθνος πόλεμον, καὶ ἐν καταβάσει ἀπώλεσεν ἀνθε-
ςηκότας· ἵνα γνῶσιν ἔθνη πανοπλίαν αὐτῶν, ὅτι ἐναντίον Κυρίου ὁ πόλεμος αὐτῦ, καὶ γὰρ ἐπ-
7. ηκολύθησεν ὀπίσω δυνάςυ. Καὶ ἐν ἡμέραις Μωυσέως ἐποίησεν ἔλεος, αὐτὸς καὶ Χαλὲβ υἱὸς Ἰε-
φοννῆ, ἀντιςῆναι ἔναντι ἐχθρῦ, κωλῦσαι λαὸν ἀπὸ ἁμαρτίας, καὶ κοπάσαι γογγυσμὸν πονηρίας.
8. Καὶ αὐτοὶ δύο ὄντες διεσώθησαν ἀπὸ ἑξακοσίων χιλιάδων πεζῶν, εἰσαγαγεῖν αὐτὺς εἰς κληρονο-
9. μίαν, εἰς γῆν ῥέυσαν γάλα καὶ μέλι. Καὶ ἔδωκεν ὁ Κύριος τῷ Χαλὲβ ἰσχὺν, καὶ ἕως γήρους
διέμεινεν αὐτῷ, ἐπιβῆναι αὐτὸν ἐπὶ ὕψος τῆς γῆς, καὶ τὸ σπέρμα αὐτῦ κατέσχε κληρονομίαν·
10. 11. Ὅπως ἴδωσι πάντες οἱ υἱοὶ Ἰσραὴλ, ὅτι καλὸν τὸ πορεύεσθαι ὀπίσω Κυρίου. Καὶ οἱ κριταὶ
ἕκαςος τῷ αὐτῦ ὀνόματι, ὅσων ὐκ ἐξεπόρνευσεν ἡ καρδία, καὶ ὅσοι ὐκ ἀπεςράφησαν ἀπὸ Κυρίυ,
12. εἴη τὸ μνημόσυνον αὐτῶν ἐν εὐλογίαις. Τὰ ὀςᾶ αὐτῶν ἀναθάλοι ἐκ τῦ τόπυ αὐτῶν, καὶ τὸ ὄνο-
13. μα αὐτῶν ἀντικαταλλασσόμενον, ἐφ᾽ υἱοῖς δεδοξασμένων αὐτῶν. Ἠγαπημένος ὑπὸ Κυρίου αὐτῦ
14. Σαμουὴλ προφήτης Κυρίου κατέςησε βασιλείαν, καὶ ἔχρισεν ἄρχοντας ἐπὶ τὸν λαὸν αὐτῦ. Ἐν
15. νόμῳ Κυρίου ἔκρινε συναγωγὴν, καὶ ἐπεσκέψατο Κύριος τὸν Ἰακώβ. Ἐν πίςει αὐτῦ ἠκριβάσθη
16. προφήτης, καὶ ἐγνώσθη ἐν πίςει αὐτῦ πιςὸς ὁράσεως. Καὶ ἐπεκαλέσατο τὸν Κύριον δυνάςην,

XXIV. Διὰ τῦτο ἐςάθη] δια τυτο εςη 248. Compl. διαθήκη] διαθήκην Compl. προςάτην] προςατειν 106, 157. Alex. προςάτην ἁγίων] προςατην των αγιων 55. προςατειν των αγιων 254. καὶ λαῷ αὐτῦ] και λαυ αυτυ 23, 106, 155, 253. Alex. ἵνα αὐτῷ ᾖ] ∧ ᾖ 155. Ald. ἱερωσύνης] ιερωσυνη (primo; ſupra adſcr. ς ab al. m.) 106. αγιωσυνης 155. εἰς τὺς αἰῶνας] εις τον αιωνα 248. Compl.

XXV. Καὶ διαθήκην] και διαθηκη 106. κατὰ διαθήκην Alex. τῷ Δαυὶδ] των Δαυιδ 254. τῦ Δαυὶδ Ald. τῷ Δαυὶδ υἱῷ] τω υιω Δαυιδ 157. υἱῷ] υιων 23, 155, 254. + Ἰεσσαὶ Alex. κληρονομία βασιλ.] κληρονομιας βασιλ. Alex. υἱῦ ἐξ] υιων ἐξ 23. κληρονομία Ἀαρὼν] κληρονομια αυτῳ III. κληρονομια αυτυ 155. κληρονομιαν Ααρων 254.

XXVI. Δῴη] δοιη III. καὶ τὴν δόξαν αὐτῶν] και την δοξαν αυτυ 248. Compl. εἰς γενεὰς αὐτῶν] εις γενεαν αυτων 157. Alex.

I. Κρατ. ἐν πολέμοις] κρατ. εν πολεμω ∧ 106, 155, 157, 248. Compl. Alex. Ἰησῦς Ναυῆ] Ιησυς υιος Ναυη 23, 106, 157. Alex. Ιησυς υιος Ναυι 155. Ιησυς ὁ τυ Ναυη 248. Compl. υιος Ναυη 254. Μωυσῆ] Μωσεως 55, 254. præmitt. ἐν Ald. ἐν προφητ.] ∧ ἐν Ald. ἐκλεκτῶν αὐτῦ] ∧ αυτυ 23. κληρονομήσῃ] κατακληρονομηση 55, 157, 248, 254. Compl. Alex. κατακληρονομησει 155.

II. Ὡς ἐδοξάσθη] ὃς εδοξασθη 106. χεῖρας αὐτῦ] χειρα αυτυ 155. καὶ τῷ ἐκκλῖναι] και τω εκτειναι 55, 106. και εν τῳ εκτειναι 155, 157, 248, 253. Compl. Alex. ῥομφαίαν] ρομφαιας 155.

III. πρότερον αὐτῦ] προτερος αυτυ 106, 155, 157, 248. Compl. Alex. προ πατερων αυτυ 253. τὺς γὰρ πολεμίυς] τυς γαρ πολεμυς 248. Compl. Κύριος] Κυριου 106, 248. Compl. Alex. ἐπήγαγεν] ἀπήγαγεν Alex.

IV. ἀνεπόδισεν] ανεποδισθη 155. ἐνεποδίσθη Alex.

V. Ἐπεκαλέσατο] επεκαλεσε 253. τὸν ὕψιςον] præmitt. επι 253. ἐν τῷ θλίψαι] εν τω εκθλιψαι 248. Compl. ἐχθρὺς] εχθρον 253. ἐπήκυσεν αὐτῶν] επηκυσεν αυτυ 55, 106, 157, 248, 253, 254. Compl. Alex. μέγας Κύριος] præmitt. ὁ 106, 157.

VI. Ἐν λίθοις] ∧ εν 155. habet ἐν in charact. minore Alex. ἐπ᾽ ἔθνος] επ᾽ εχθρυς 155. επι εθνη 248. Compl. πανοπλίαν αὐτῶν] πανοπλιαν αυτυ 55, 106, 155, 157, 253, 254. Alex. ὁ πόλεμος αὐτῦ] ὁ πολεμος αυτων 23.

VII. Καὶ ἐν ἡμέραις] και εν ημερα 248. Compl. ἐποίησεν ἔλεος] εποιησεν δυναμιν 157. καὶ Χαλὲβ] ∧ και 155. υἱὸς Ἰεφοννῆ] υιος Ιεφωνη 155, 157. υιος Ιεφονη 248. Compl. ἔναντι ἐχθρῦ] εναντι εκκλησιας 23. Alex. εναντι εχθρων 55, 254. εναντιον εκκλησιας 248, 253. Compl. καὶ κοπάσαι] και κοπιασαι 155.

VIII. ἀπὸ ἑξακοσίων] υπο ἑξακοσιων 55. εἰσαγαγεῖν] εἰσάγειν Alex. εἰς γῆν ῥέυσαν] præmitt. και 253. γάλα καὶ μέλι] μελι και γαλα 155.

IX. ὁ Κύριος] ∧ ὁ 106, 157, 253. καὶ ἕως γήρους] και εως γηρως 23, 106, 157. ἐπιβῆναι αὐτὸν] ∧ αυτον 106. præmitt. και 248. Compl. ἐπὶ ὕψος] επι το υψος 55, 106, 155, 248, 254. Compl. Alex. κατέσχεν] και III. κληρονομίαν] præmitt. τὴν Alex.

X. οἱ υἱοὶ Ἰσρ.] οἱ υιοι τυ Ισρ. 106, 157. ∧ οἱ 254. τὸ πορεύεσθαι] πορευθηναι 155. ὀπίσω Κυρίου] οπισω του Κυριου 248. Compl.

XI. ἕκαςος] ἑκάςῳ Ald. τῷ αὐτῦ ὀνόματι] τω εαυτυ ονοματι 23, 157. περι τω εαυτυ ονοματι 106. εν τω αυτων ονοματι 155. ὅσων] ὁσον 106. ἀπὸ Κυρίου] απο τυ Κυριυ 248. εἴη τὸ μνημόσυνον] και το μνημοσυνον 248. Compl.

XII. ἐκ τῦ τόπυ] επι τυ τοπυ 248. Compl. ἐφ᾽ υἱοῖς] εν υιοις 248. Compl. εφ᾽ υιυς 308.

XIII. ὑπὸ Κυρίου αὐτῦ] υπο Κυριου εαυτυ 55, 254. Σαμουὴλ] ∧ Ald. βασιλείαν] βασιλεα 68. Ald. βασιλειας 248. Compl.

XIV. Ἐν νόμῳ Κυρίου ἔκρινε συναγωγὴν] ∧ 106. Κύριος] ∧ 22, 254. τὸν Ἰακώβ] τω Ιακωβ 23.

XV. καὶ ἐγνώσθη] και επεγνωσθη 155. ἐν πίςει αὐτῦ 2°] εν ρηματι αυτυ 23, 55, 248, 253, 254, 296. Compl. εν ρημασιν αυτυ 106, 155, 157. Alex. πιςὸς] πιςει (ſcr. πιςι) 23. πιςις 253. πιςὸς ὁράσεως] ∧ 248. Compl.

ΚΕΦ. XLVI.

ἐν τῷ θλίψαι ἐχθροὺς αὐτοῦ κυκλόθεν, ἐν προσφορᾷ ἀρνὸς γαλαθηνοῦ. Καὶ ἐβρόντησεν ἀπ' οὐρανοῦ 17.
Κύριος, καὶ ἐν ἤχῳ μεγάλῳ ἀκουστὴν ἐποίησε τὴν φωνὴν αὐτοῦ. Καὶ ἐξέτριψεν ἡγουμένους Τυρίων, 18.
καὶ πάντας ἄρχοντας Φυλιστιείμ. Καὶ πρὸ καιροῦ κοιμήσεως αἰῶνος ἐπεμαρτύρατο ἔναντι Κυρίου 19.
καὶ χριστοῦ, Χρήματα καὶ ἕως ὑποδημάτων ἀπὸ πάσης σαρκὸς οὐκ εἴληφα· καὶ οὐκ ἐνεκάλεσεν αὐ-
τῷ ἄνθρωπος. Καὶ μετὰ τὸ ὑπνῶσαι αὐτὸν προεφήτευσε, καὶ ὑπέδειξε βασιλεῖ τὴν τελευτὴν 20.
αὐτοῦ, καὶ ἀνύψωσεν ἐκ γῆς τὴν φωνὴν αὐτοῦ, ἐν προφητείᾳ ἐξαλεῖψαι ἀνομίαν λαοῦ.

ΚΕΦ. XLVII.

ΚΑΙ μετὰ τοῦτο ἀνέστη Νάθαν προφητεύειν ἐν ἡμέραις Δαυίδ. Ὥσπερ στέαρ ἀφωρισμένον ἀπὸ 1. 2.
σωτηρίου, οὕτως Δαυὶδ ἀπὸ τῶν υἱῶν Ἰσραήλ. Ἐν λέουσιν ἔπαισεν ὡς ἐν ἐρίφοις, καὶ ἐν ἄρκοις 3.
ὡς ἐν ἄρνασι προβάτων. Ἐν νεότητι αὐτοῦ οὐχὶ ἀπέκτεινε γίγαντα, καὶ ἐξῆρεν ὀνειδισμὸν ἐκ λαοῦ, 4.
ἐν τῷ ἐπᾶραι χεῖρα ἐν λίθῳ σφενδόνης, καὶ καταβαλεῖν γαυρίαμα τοῦ Γολιάθ; Ἐπεκαλέσατο 5.
γὰρ Κύριον τὸν ὕψιστον, καὶ ἔδωκεν ἐν τῇ δεξιᾷ αὐτοῦ κράτος ἐξᾶραι ἄνθρωπον δυνατὸν ἐν πολέ-
μῳ, ἀνυψῶσαι κέρας λαοῦ αὐτοῦ. Οὕτως ἐν μυριάσιν ἐδόξασεν αὐτὸν, καὶ ᾔνεσεν αὐτὸν ἐν εὐλο- 6.
γίαις Κυρίου, ἐν τῷ φέρεσθαι αὐτῷ διάδημα δόξης. Ἐξέτριψε γὰρ ἐχθροὺς κυκλόθεν, καὶ ἐξου- 7.
δένωσε Φυλιστιεὶμ τοὺς ὑπεναντίους· ἕως σήμερον συνέτριψεν αὐτῶν κέρας. Ἐν παντὶ ἔργῳ αὐτοῦ 8.
ἔδωκεν ἐξομολόγησιν· ἁγίῳ ὑψίστῳ ῥήματι δόξης ἐν πάσῃ καρδίᾳ αὐτοῦ ὕμνησε, καὶ ἠγάπησε τὸν
ποιήσαντα αὐτόν. Καὶ ἔστησε ψαλτῳδοὺς κατέναντι τοῦ θυσιαστηρίου, καὶ ἐξ ἤχου αὐτῶν γλυκαίνει 9.
μέλη. Ἔδωκεν ἐν ἑορταῖς εὐπρέπειαν, καὶ ἐκόσμησε καιροὺς μέχρι συντελείας· ἐν τῷ αἰνεῖν αὐ- 10.
τοὺς τὸ ἅγιον ὄνομα αὐτοῦ, καὶ ἀπὸ πρωῒ ἠχεῖν τὸ ἁγίασμα. Κύριος ἀφεῖλε τὰς ἁμαρτίας αὐτοῦ, 11.
καὶ ἀνύψωσεν εἰς αἰῶνα τὸ κέρας αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ διαθήκην βασιλέων καὶ θρόνον δόξης ἐν
τῷ Ἰσραήλ. Μετὰ τοῦτον ἀνέστη υἱὸς ἐπιστήμων, καὶ δι' αὐτὸν κατέλυσεν ἐν πλατυσμῷ. Σαλω- 12. 13.
μὼν ἐβασίλευσεν ἐν ἡμέραις εἰρήνης, ᾧ ὁ Θεὸς κατέπαυσε κυκλόθεν, ἵνα στήσῃ οἶκον ἐπ' ὀνόματι
αὐτοῦ, καὶ ἑτοιμάσῃ ἁγίασμα εἰς τὸν αἰῶνα. Ὡς ἐσοφίσθης ἐν νεότητί σου, καὶ ἐνεπλήσθης ὡς 14.
ποταμὸς συνέσεως. Γῆν ἐπεκάλυψεν ἡ ψυχή σου, καὶ ἐνέπλησας ἐν παραβολαῖς αἰνιγμάτων. 15.
Εἰς νήσους πόῤῥω ἀφίκετο τὸ ὄνομά σου, καὶ ἠγαπήθης ἐν τῇ εἰρήνῃ σου. Ἐν ᾠδαῖς καὶ παροιμί- 16. 17.
αις καὶ παραβολαῖς, καὶ ἐν ἑρμηνείαις ἀπεθαύμασάν σε χῶραι. Ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ τοῦ 18.

XVI. ἐν τῷ θλίψαι] εν τω εκθλιψαι 23. + αυτον 248. Compl. εν τω εκλειψαι 253. ἐν προσφορᾷ ἀρνὸς] εν προσφορα ανδρος 248. Compl.

XVII. Κύριος] præmitt. ὁ 106, 155, 157, 248, 254, 296. Compl. ἐν ἤχῳ μεγάλῳ] + βροντης 248. Compl.

XVIII. πάντας ἄρχοντας] παντας τους αρχοντας 157. Φυλιστιεὶμ] Φιλιστιειμ 106, 155.

XIX. κοιμήσεως] ποιησεως 55, 254. καὶ χριστοῦ] + αυτου 248. Compl. οὐκ εἴληφα] ουκ ειληφει 55, 254. ουκ ειληφειν 68. Ald.

XX. προεφήτευσε] επροφητευσε 55, 296, 308. Alex. βασιλεῖ] βασιλέως Ald. τὴν φωνὴν] ‸ τὴν Alex. ἀνομίαν] προφητειαν 254.

I. Καὶ μετὰ τοῦτο] και μετα τουτον 23, 68, 106, (155. scr. τουτων) 157, 253, 296, 308. Ald. Alex. ἀνέστη Νάθαν] ανεστιν Ισραηλ 23. ανεστησε Ναθαν 157, 296. προφητεύειν] ὁ προφητης 248. Compl.

II. ἀπὸ τῶν υἱῶν] ‸ των 106, 155, 157, 248, 253. Compl. Alex.

III. ἔπαισεν] επαιξεν (23, 155. scr. επεξεν) 55, 157, 253. επεξενωσεν 248, 254. Compl. επηξεν 296. ἔπαιζεν Ald. Alex. ὡς ἐν ἐρίφοις] ‸ ως εν 254. καὶ ἐν ἄρκοις] και εν αρκτοις 55. ἐν ἄρνασι προβάτων] εν αρμασι προβατοις 254.

IV. οὐχὶ ἀπέκτεινε] ‸ ουχι 248. Compl. ὀνειδισμὸν] εφονειδισμον 155. ἐν τῷ ἐπᾶραι] præmitt. και 55, 248. Compl. χεῖρα] χειρας III, 23. καὶ καταβαλεῖν] ‸ και 23, 248. Compl. και κατεβαλε (106. sed ε utrumque script. super rasur. ab al. m.) 155. τοῦ Γολιάθ] του Γολιαδ 23. τον Γολιαθ 308.

V. Κύριον τὸν ὕψιστον] τον υψιστον Κυριον 106. ‸ τον 248. Compl. ‸ Κυριον 254. δυνατὸν ἐν πολέμῳ] δυναστην εν πολεμω 155. ἀνυψῶσαι κέρας] præmitt. και 254.

VI. Οὕτως] ουτος 155. καὶ ᾔνεσεν] και ηνεσαν 106, 157, 308.

VII. Ἐξέτριψε] εξετρεψε 155. + γαρ 308. ἕως σήμερον] εως αιωνος 55, 253, 254. εως ημερων 155.

VIII. Ἐν παντὶ ἔργῳ] præmitt. και 254. ῥήματι δόξης] ρημασιν δοξης 155.

IX. ψαλτῳδοὺς] ψαλμωδους 248, 296. Compl. κατεν. τοῦ θυσιαστ.] ‸ του 106, 155, 157, 248. Compl. Alex. καὶ ἐξ ἤχου] και εξ ηχους 23, 155, (248, 253. scr. ἐξήχους) 254. Compl. Alex. ‸ και 157. αὐτῶν] αυτου 248. Compl. γλυκαίνει] γλυκαινειν 106, 157, 248, 253, 254, 296. Compl. Alex. μέλη] + και καθημεραν αινεσουσιν εν ωδαις αυτων 248. Compl. + eadem, nisi ἐν ταῖς ᾠδαῖς, in char. minore Alex.

X. Ἔδωκ. ἐν ἑορτ. εὐπρέπ.] ‸ 23. ἐν ἑορταῖς] μεν εορταις 155. εν ταις εορταις 248. Compl. τὸ ἅγιον ὄνομα] το ονομα το αγιον 155, 157. το αγιον αυτου ονομα 248. Compl. ‸ ἅγιον Ald. καὶ ἀπὸ πρωῒ] και απο πρωιας 23, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex. τὸ ἁγίασμα] + αυτου 248. Compl.

XI. εἰς αἰῶνα] εις αιωνας 248. Compl. διαθήκην βασιλέων] διαθηκην βασιλεως 55, 254. διαθηκην βασιλειας 248. Compl.

XII. Μετὰ τοῦτον] μετα τουτον 106, 155, 157, 248. Compl. Alex. μετα τουτο 253. καὶ δι' αὐτὸν] και δι' αυτων 155.

XIII. ἐν ἡμέραις εἰρήνης] + και εδοξασθη 248. Compl. ᾧ ὁ Θεὸς] ως ὁ Θεος 248. Compl. Ald. ὃν ὁ Θεος 296, 308. κυκλόθεν] + αυτου 248. Compl. ἵνα στήσῃ] αναστησει 155. καὶ ἑτοιμάσῃ] και ετοιμασει 155.

XIV. Ὡς ἐσοφίσθης] ως εσοφισθη 248. Compl. ἐν νεότητί σου] εν νεοτητι αυτου 248. Compl. καὶ ἐνεπλήσθης] και ενεπλησθη 248. Compl. και επλησθης 253.

XV. ἡ ψυχή σου] + πασαν 248. Compl. καὶ ἐνέπλησας] και ενεπλησε 248. Compl. καὶ ἀνέπλησας Ald. ἐν παραβολαῖς] ‸ εν 248. Compl.

XVI. καὶ ἠγαπήθης] και ηγαπησεν 248. Compl.

XVII. Ἐν ᾠδαῖς] præmitt. και 155. Alex. ἐν ἑρμηνείαις] εν ερημιαις III. εν ερμηνεια 68. Ald. ‸ εν 248. Compl. ἀπεθαύμ. σε] ‸ σε 248. Compl. χῶραι] αἱ χωραι 248. Compl.

XVIII. Κυρίου τοῦ Θεοῦ] ‸ του Θεου 23. + πασης της γης 248. Compl. τοῦ ἐπικεκλημένου] του επικαλεσαμενου 248. Compl. Θεοῦ Ἰσρ.] præmitt. του 248. præmitt. σου Compl. συνήγαγες] συνηγα-

ΚΕΦ. XLVII.

ἐπικεκλημένου Θεοῦ Ἰσραὴλ, συνήγαγες ὡς κασσίτερον τὸ χρυσίον, καὶ ὡς μόλιβδον ἐπλήθυνας
19. 20. ἀργύριον. Παρενέκλινας τὰς λαγόνας σου γυναιξὶ, καὶ ἐνεξουσιάσθης ἐν τῷ σώματί σου. Ἔδω-
κας μῶμον ἐν τῇ δόξῃ σου, καὶ ἐβεβήλωσας τὸ σπέρμα σου, ἐπαγαγεῖν ὀργὴν ἐπὶ τὰ τέκνα σου,
21. καὶ κατενύγην ἐπὶ τῇ ἀφροσύνῃ σου, Γενέσθαι δίχα τυραννίδα, καὶ ἐξ Ἐφραὶμ ἄρξαι βασιλείαν
22. ἀπειθῆ. Ὁ δὲ Κύριος οὐ μὴ καταλίπῃ τὸ ἔλεος αὐτοῦ, καὶ οὐ μὴ διαφθαρῇ ἀπὸ τῶν ἔργων αὐ-
τοῦ· οὐδὲ μὴ ἐξαλείψῃ ἐκλεκτοῦ ἔκγονα, καὶ σπέρμα τοῦ ἀγαπήσαντος αὐτὸν οὐ μὴ ἐξάρῃ· καὶ τῷ
23. Ἰακὼβ ἔδωκε κατάλειμμα, καὶ τῷ Δαυὶδ ἐξ αὐτοῦ ῥίζαν. Καὶ ἀνεπαύσατο Σαλωμὼν μετὰ τῶν
πατέρων, καὶ κατέλιπε μετ' αὐτὸν ἐκ τοῦ σπέρματος αὐτοῦ, λαοῦ ἀφροσύνην καὶ ἐλασσούμενον συν-
έσει, Ῥοβοὰμ, ὃς ἀπέστησε λαὸν ἐκ βουλῆς αὐτοῦ· καὶ Ἱεροβοὰμ υἱὸν Ναβὰτ, ὃς ἐξήμαρτε τὸν Ἰσ-
24. ραὴλ, καὶ ἔδωκε τῷ Ἐφραὶμ ὁδὸν ἁμαρτίας. Καὶ ἐπληθύνθησαν αἱ ἁμαρτίαι αὐτῶν σφόδρα,
25. ἀποστῆσαι αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν. Καὶ πᾶσαν πονηρίαν ἐξεζήτησαν, ἕως ἐκδίκησις ἔλθῃ ἐπ'
αὐτούς.

ΚΕΦ. XLVIII.

1. 2. ΚΑΙ ἀνέστη Ἠλίας προφήτης ὡς πῦρ, καὶ ὁ λόγος αὐτοῦ ὡς λαμπὰς ἐκαίετο. Ὃς ἐπήγαγεν ἐπ'
3. αὐτοὺς λιμὸν, καὶ τῷ ζήλῳ αὐτοῦ ὠλιγοποίησεν αὐτούς. Ἐν λόγῳ Κυρίου ἀνέσχεν οὐρανὸν, κατ-
4. ήγαγεν οὕτως τρὶς πῦρ. Ὡς ἐδοξάσθης Ἠλία ἐν τοῖς θαυμασίοις σου; καὶ τίς ὅμοιός σοι καυ-
5. 6. χᾶσθαι; Ὁ ἐγείρας νεκρὸν ἐκ θανάτου καὶ ἐξ ᾅδου ἐν λόγῳ ὑψίστου· Ὁ καταγαγὼν βασιλεῖς
7. εἰς ἀπώλειαν, καὶ δεδοξασμένους ἀπὸ κλίνης αὐτῶν· Ὁ ἀκούων ἐν Σινᾷ ἐλεγμὸν, καὶ ἐν Χωρὴβ
8. κρίματα ἐκδικήσεως· Ὁ χρίων βασιλεῖς εἰς ἀνταπόδομα, καὶ προφήτας διαδόχους μετ' αὐτόν·
9. 10. Ὁ ἀναληφθεὶς ἐν λαίλαπι πυρὸς ἐν ἅρματι ἵππων πυρίνων· Ὁ καταγραφεὶς ἐν ἐλεγμοῖς εἰς
καιροὺς, κοπάσαι ὀργὴν πρὸ θυμοῦ, καὶ ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ καταστῆσαι φυ-
11. λὰς Ἰακώβ. Μακάριοι οἱ ἰδόντες σε, καὶ οἱ ἐν ἀγαπήσει κεκοσμημένοι· καὶ γὰρ ἡμεῖς ζωῇ ζησό-
12. μεθα. Ἠλίας, ὃς ἐν λαίλαπι ἐσκεπάσθη· καὶ Ἐλισαιὲ ἐνεπλήσθη πνεύματος αὐτοῦ· καὶ ἐν
13. ἡμέραις αὐτοῦ οὐκ ἐσαλεύθη ὑπὸ ἄρχοντος, καὶ οὐ κατεδυνάστευσεν αὐτὸν οὐδείς. Πᾶς λόγος οὐχ
14. ὑπερῆρεν αὐτὸν, καὶ ἐν κοιμήσει ἐπροφήτευσε τὸ σῶμα αὐτοῦ. Καὶ ἐν ζωῇ αὐτοῦ ἐποίησε τέρατα,

γεν 155. συνεκλησες (sic) 308, τὸ χρυσίον] ʌ το 106. καὶ ὡς μόλιβδον] και ως μολιβον III, 23, 55, 253, 296, 308. και ως μολυβον 157, 248. Compl. ἀργύριον] præmitt. το 248. Compl.

XIX. Παρενέκλινας] παρανεκλινας 55, 254. παρεκλινας (155. scr. παρεκληνας) 296. τὰς λαγόνας σου] τα σπλαγχνα σου 248. Compl.

XX. καὶ κατενύγην] και κατανυγηναι 106, 248. Compl. Alex. ἐπὶ τῇ ἀφροσ. σου] ἐπὶ τῇ εὐφροσ. σου Ald.

XXI. τυραννίδα] τυραννιδος 248. Compl.

XXII. οὐ μὴ καταλίπῃ] οὐ μη εγκαταλιπη 55, 106, 157, 254, 296, 308. οὐ μη εγκαταλειπη 155. Alex. καὶ οὐ μὴ διαφθαρῇ] και ου μη διαφθειρη 23, 55, 106, (155, 254. ut videtur; scr. διαφθηρει) 157, 296. Alex. και ου μη διαφθειρει 308. οὐδὲ μὴ ἐξαλείψῃ] ουδ' ου μη εξαλειψει 55. ουδ' ου μη εξαλειψη 248. Compl. ἐκλεκτοῦ] + αυτου 55, 68, 106, 155, 157, 248, 253, 296. Compl. Alex. ἐκ τοῦ αὐτοῦ Ald. ἔκγονα] εκγονον 55, 254. ἔγγονα Compl. καὶ σπέρμα] + αυτου 55. καὶ τὸ σπέρμα Alex. τοῦ ἀγαπ.] ʌ του 55. οὐ μὴ ἐξάρῃ] ου μη εξαρει 308.

XXIII. μετὰ τῶν πατέρων] + αυτου 55, 106, 155, 157, 254, 308. Alex. ἐκ τοῦ σπέρματος] απο του σπερματος 248, 308. Compl. Ῥοβοὰμ—Ναβὰτ] Ροβοαμ υιος Ναβαγ 155. ἀπέστ. λαὸν] ἀπέστ. τὸν λαὸν Alex. υἱὸν Ναβὰτ] υιος Ναδαβ 23. υιος Ναβατ 55, 106, 157, 248, 253, 254, 296. Compl. υἱὸν Ναφὰτ Ald. ὃς ἐξήμαρτε] ως εξημαρτεν 155. ὁδὸν ἁμαρτίας] οδων αμαρτιας 155.

XXIV. ἀπὸ τῆς γῆς αὐτῶν] ʌ αυτων 248. Compl.

XXV. Καὶ πᾶσ. πονηρ. ἐξεζήτ.] ʌ 248. Compl. ἐξεζήτησαν] εξεζητηθησαν (forte εξεζηθησαν corrupte pro εξεζητησαν) 308. ἕως ἐκδίκησις] ως εκδικησις III. εως οργη και εκδικησις 248. Compl. ἕως δίκησις Ald.

I. καὶ ὁ λόγος] και ὁ λογισμος 254.

II. λιμὸν] + ισχυρον 248. Compl. (Alex. in charact. minore.) ὠλιγοποίησεν αὐτούς] ωδοποιησεν αυτους 23.

III. οὐρανὸν] ουρανου 155. κατήγαγεν] præmitt. και 55, (106. inter lin. ab al. m.) 248, 253. Compl. οὕτως] ουτος 106, 157. ʌ 253. οὕτως τρὶς πῦρ] τρις πυρ εξ ουρανου 248. Compl.

IV. Ὡς ἐδοξάσθης] ὃς ἐδοξάσθη Ald. Ἠλία] Ηλιας 155. ἐν τοῖς θαυμασίοις] ʌ τοις 55, 106, 155, 157, 254, 308. Alex. ὅμοιός σοι] ὅμοιός σου Ald. καυχᾶσθαι] καυχησασθαι 55, 254, 308. καυχησεται 106, 155, 296. Alex.

V. καὶ ἐξ ᾅδου] + ψυχην 248, 253. Compl. (Alex. in char. min.)

VI. Ὁ καταγαγὼν] ʌ ὁ 248. Compl. καὶ δεδοξασμένους] και δεδοξασμενος 155.

VII. Ὁ ἀκούων] ʌ ὁ 55, 106, 155, 157, 253, 254, 296. Ald. Alex. ἐν Σινᾷ] εις Σινα 157, 308. ἐλεγμὸν] + Κυριου 248, 253. Compl. (Alex. in charact. minore.)

VIII. μετ' αὐτόν] μετ' αυτων 23, 155.

IX. ἐν λαίλαπι] εν λαμπαδι III.

X. ἐν ἐλεγμοῖς] ελεγμος III, 23, 55, 106, 157, 253, 254. ελεγμους 248. Compl. εἰς καιροὺς] εις καιρον 23, 55, 254. ὀργὴν] + κρίσεως Κυρίου in charact. minore Alex. ὀργὴν πρὸ θυμοῦ] οργην κρισεως Κυριου προς θυμον 248. Compl. καὶ ἐπιστρέψαι] ʌ και 106, 155, 157, 248, 296. Compl. habet καὶ in charact. min. Alex. πατρὸς πρὸς υἱὸν] πατρος επι υιον 23, 155. πατέρων επι τεκνα 253.

XI. οἱ ἰδόντες σε] οἱ ειδοτες σε 23, 253. καὶ οἱ ἐν ἀγαπήσει] ʌ οἱ 254. κεκοσμημένοι] κεκοιμημενοι 155, 248, 253, 254, 296. Compl. Alex. ζωῇ ζησόμεθα] ζωης ζησομεθα III. ζωη ζησωμεθα 155.

XII. ὃς ἐν λαίλ.] ως εν λαιλ. 155. Alex. ὃς ἐν λαίλ. ἐσκεπ.] ὃς εσκεπ. εν λαιλ. 248. Compl. καὶ Ἐλισαιὲ] και Ελισσεαι 155. ἐνεπλήσθη] επλησθη 157, 253. Alex. πνεύματος αὐτοῦ] πνευματος αγιου III, 248. Compl. στοματος αυτου 68. Ald. ὑπὸ ἄρχοντος] απο αρχοντος 55. απο αρχοντων 248. Compl. καὶ οὐ κατεδυνάστευσεν] και ουκ εδυναστευσεν 155. αὐτὸν οὐδείς] αυτους ουδεις (corr. ut in Ed. ab ead. m.) 155.

XIII. οὐχ ὑπερῆρεν] οὐχ ὑπῆρεν Ald. ἐπροφήτευσε] προεφητευσε 157, 248. Compl.

XIV. Καὶ ἐν ζωῇ αὐτοῦ] και εν τη ζωη αυτου 55. καὶ ἐν τελευτῇ] και εν τη τελευτη 55. + αυτου 248. και τη τελευτη 254. καὶ ἐν τῇ τελευτῇ αὐτοῦ Compl.

ΚΕΦ. XLVIII.

καὶ ἐν τελευτῇ θαυμάσια τὰ ἔργα αὐτοῦ. Ἐν πᾶσι τούτοις οὐ μετενόησεν ὁ λαὸς, καὶ οὐκ ἀπ- 15.
έστησαν ἀπὸ τῶν ἁμαρτιῶν, ἕως ἐπρονομεύθησαν ἀπὸ τῆς γῆς αὐτῶν, καὶ ἐσκορπίσθησαν ἐν πάσῃ
τῇ γῇ· καὶ κατελείφθη ὁ λαὸς ὀλιγοστὸς, καὶ ἄρχων τῷ οἴκῳ Δαυίδ. Τινὲς μὲν αὐτῶν ἐποίησαν 16.
τὸ ἀρεστὸν, τινὲς δὲ ἐπλήθυναν ἁμαρτίας. Ἐζεκίας ὠχύρωσε τὴν πόλιν αὐτοῦ, καὶ εἰσήγαγεν εἰς 17.
μέσον αὐτῶν τὸν Γώγ· ὤρυξε σιδήρῳ ἀκρότομον, καὶ ᾠκοδόμησε κρήνας εἰς ὕδατα. Ἐν ἡμέραις 18.
αὐτοῦ ἀνέβη Σενναχηρὶμ, καὶ ἀπέστειλε Ῥαψάκην, καὶ ἀπῆρε· καὶ ἐπῆρεν ἡ χεὶρ αὐτοῦ ἐπὶ Σιὼν,
καὶ ἐμεγαλαύχησεν ὑπερηφανίᾳ αὐτοῦ. Τότε ἐσαλεύθησαν καρδίαι καὶ χεῖρες αὐτῶν, καὶ ὠδίνη- 19.
σαν ὡς αἱ τίκτουσαι. Καὶ ἐπεκαλέσαντο τὸν Κύριον τὸν ἐλεήμονα, ἐκπετάσαντες τὰς χεῖρας αὐ- 20.
τῶν πρὸς αὐτόν· καὶ ὁ ἅγιος ἐξ οὐρανοῦ ταχὺ ἐπήκουσεν αὐτῶν, καὶ ἐλυτρώσατο αὐτοὺς ἐν χειρὶ
Ἡσαΐου. Ἐπάταξε τὴν παρεμβολὴν τῶν Ἀσσυρίων, καὶ ἐξέτριψεν αὐτοὺς ὁ ἄγγελος αὐτοῦ. 21.
Ἐποίησε γὰρ Ἐζεκίας τὸ ἀρεστὸν Κυρίῳ, καὶ ἐνίσχυσεν ἐν ὁδοῖς Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, ἃς ἐν- 22.
ετείλατο Ἡσαΐας ὁ προφήτης ὁ μέγας, καὶ πιστὸς ἐν ὁράσει αὐτοῦ. Ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνεπό- 23.
δισεν ὁ ἥλιος, καὶ προσέθηκε ζωὴν βασιλεῖ. Πνεύματι μεγάλῳ εἶδε τὰ ἔσχατα, καὶ παρεκά- 24.
λεσε τοὺς πενθοῦντας ἐν Σιών. Ἕως τοῦ αἰῶνος ὑπέδειξε τὰ ἐσόμενα, καὶ τὰ ἀπόκρυφα πρινὴ 25.
παραγενέσθαι αὐτά.

ΚΕΦ. XLIX.

ΜΝΗΜΟΣΥΝΟΝ Ἰωσίου εἰς σύνθεσιν θυμιάματος, ἐσκευασμένον ἔργῳ μυρεψοῦ, ἐν παντὶ στό- 1.
ματι ὡς μέλι γλυκανθήσεται, καὶ ὡς μουσικὰ ἐν συμποσίῳ οἴνου. Αὐτὸς κατευθύνθη ἐν ἐπιστροφῇ 2.
λαοῦ, καὶ ἐξῆρε βδελύγματα ἀνομίας. Κατεύθυνε πρὸς Κύριον τὴν καρδίαν αὐτοῦ, ἐν ἡμέραις 3.
ἀνόμων κατίσχυσε τὴν εὐσέβειαν. Πάρεξ Δαυὶδ, καὶ Ἐζεκίου, καὶ Ἰωσίου, πάντες πλημμέλειαν 4.
ἐπλημμέλησαν· κατέλιπον γὰρ τὸν νόμον τοῦ ὑψίστου, οἱ βασιλεῖς Ἰούδα ἐξέλιπον. Ἔδωκαν γὰρ 5.
τὸ κέρας αὐτῶν ἑτέροις, καὶ τὴν δόξαν αὐτῶν ἔθνει ἀλλοτρίῳ. Ἐνεπύρισαν ἐκλεκτὴν πόλιν ἁγι- 6.
άσματος, καὶ ἠρήμωσαν τὰς ὁδοὺς αὐτῆς ἐν χειρὶ Ἱερεμίου. Ἐκάκωσαν γὰρ αὐτὸν, καὶ αὐτὸς ἐν 7.
μήτρᾳ ἡγιάσθη προφήτης ἐκριζοῦν καὶ κακοῦν καὶ ἀπολλύειν, ὡσαύτως οἰκοδομεῖν καὶ καταφυτεύ-
ειν. Ἰεζεκιὴλ ὃς εἶδεν ὅρασιν δόξης, ἣν ὑπέδειξεν αὐτῷ ἐπὶ ἅρματος χερουβίμ. Καὶ γὰρ ἐμνή- 8. 9.
σθη τῶν ἐχθρῶν ἐν ὄμβρῳ, καὶ ἀγαθῶσαι τοὺς εὐθύνοντας ὁδούς. Καὶ τῶν δώδεκα προφητῶν τὰ 10.
ὀστᾶ ἀναθάλοι ἐκ τοῦ τόπου αὐτῶν· παρεκάλεσε δὲ τὸν Ἰακὼβ, καὶ ἐλυτρώσατο αὐτοὺς ἐν πίστει
ἐλπίδος. Πῶς μεγαλύνωμεν τὸν Ζοροβάβελ; καὶ αὐτὸς ὡς σφραγὶς ἐπὶ δεξιᾶς χειρός. Οὕτως 11. 12.

XV. ἀπὸ τῶν ἁμαρτιῶν] + αυτων 55, 106, 155, 157, 248, 254. Compl. (Alex. in charact. minore.) ἕως ἐπρονομεύθησαν] εως προενομευθησαν 248. Compl. ἀπὸ τῆς γῆς αὐτῶν] ∧ αυτων 23. ∧ της 155. habet τῆς in charact. minore Alex. καὶ ἐσκορπίσθησαν] και διεσκορπισθησαν 106, 157, 248, 253. Compl. Alex. καὶ ἄρχων] και αρχον 155. τῷ οἴκῳ] præmitt. εν 23, 106, 155, 157, 248, 253, 254. Compl. Alex.

XVI. Τινὲς μὲν αὐτῶν ἐποίησαν] τινες μεν εποιησαν αυτων 248. Compl. τίνες δὲ] ∧ δὲ Compl.

XVII. εἰς μέσον αὐτῶν] εις μεσον αυτης 106, 155, 157, 248. Compl. Alex. ἐν μέσῳ αὐτῶν Ald. τὸν Γώγ] τον Ηωγ 23. υδωρ 55, 106, 155, 157, 248, 254. Compl. Alex. σιδήρῳ] præmitt. εν 248, 253. Compl. (Alex. in charact. minore.) εἰς ὕδατα] εις υδωρ 155.

XVIII. Σενναχηρὶμ] Σενναχαιρειμ 23. Σεναχηρειμ 106, 248. Compl. Σενναχηρημ 155. Σενναχειριμ 157. καὶ ἀπέστειλε] και ανεστειλε 155. Ῥαψάκην] τον Ραψακην εκ Λαχεις 248. Compl. præmitt. τον 253. καὶ ἀπῆρε] καὶ ἀπῆρεν ἐκ Λαχείς (cum ἐκ Λαχείς in charact. minore) Alex. καὶ ἀπῆρε—χεὶρ αὐτοῦ] και απηρε χειρα αυτου 248. Compl. ἡ χεὶρ αὐτοῦ] χειρα αυτου 55, 106, 155, 254. ὑπερηφανίᾳ αὐτοῦ] υπερηφανιαν αυτου 55, 254. præmitt. εν 106, 155, 157. Compl.

XIX. καὶ χεῖρες αὐτῶν] και αἱ χειρες αυτων 55, 106, 253, 254. Alex.

XX. Καὶ ἐπεκαλέσαντο] και επανεκαλεσαντο 253. τὸν Κύριον] ∧ τον 55, 106, 253. τὰς χεῖρας αὐτῶν] ∧ τας 248. Compl. πρὸς αὐτὸν] επ' αυτον 254. ταχὺ ἐπήκ.] ∧ ταχυ 248. Compl.

XXI. Ἐπάταξε] præmitt. και 55, 155, 254.

XXII. τὸ ἀρεστὸν Κυρίῳ] το αρεστον Κυριου 248, 253. Compl. ἐν ὁδοῖς Δαυὶδ] εν οδω Δαυιδ 55, 106, 155, 157, 254. ∧ εν 248. Compl. ἃς ἐνετείλατο] ως ενετειλατο 106, 248. Compl. ἃ ενετειλατο 254. καὶ πιστὸς] και σεπτος 248. Compl.

XXIII. βασιλεῖ] βασιλέως Ald.

XXIV. εἶδε] ἴδε Ald. ἐν Σιών] εν 55, 254.

XXV. πρινὴ παραγένεσθαι] πριν ἢ γενεσθαι 55.

I. ἐσκευασμένον ἔργῳ] εσκευασμενον εργον 155. Alex. εσκευασμενω εργω 248. Compl. συμποσίῳ] συμποσιου 155.

II. βδελύγματα] βδελυγμα 55, 254.

III. τὴν καρδίαν αὐτοῦ] την οδον αυτου III.

IV. καὶ Ἰωσίου] καὶ Ζωσίου Compl. πλημμέλειαν] πλημμελεια 106. Alex. πλημμελειας 253. κατέλιπον] κατέλειπον Alex. οἱ βασιλεῖς] præmitt. ως 23. præmitt. ὃν 157, 253. ἐξέλιπον] εξελειπον 155. Alex.

V. Ἔδωκαν] εδωκεν (155. corr. ut in Ed. ab eadem m.) Compl. Alex. γὰρ τὸ κέρας] ∧ γαρ 248. Compl.

VI. Ἐνεπύρισαν] ενεπειρισεν (corr. ενεπυρισεν ad eadem m.) 155. ενεπυρησαν 248. ἐνέπρησαν Compl. ἐκλεκτὴν πόλιν] tr. 253.

VII. Ἐκάκωσαν γὰρ] ∧ γαρ 23. ἐκάκωσε γὰρ Compl. ἀπολλύειν] ἀπολύειν Alex. καταφυτεύειν] præmitt. φυτευειν 155.

VIII. Ἰεζεκιὴλ ὃς] Ιεζεκιηλος 157. Alex. χερουβίμ] χερουβειν 23.

IX. καὶ ἀγαθῶσαι] και κατωρθωσε 106, 157, 248, 253. Compl.

X. τὰ ὀστᾶ &c. ad fin. com.] ειη το μνημοσυνον εν ευλογιαις 248. Compl. ἀναθάλοι] αναθαλλοι 155. ἐκ τοῦ τόπου αὐτῶν] ∧ αὐτῶν Ald. παρεκάλεσε δὲ] παρεκαλεσαν γαρ 55, 155, 254. Alex. παρεκαλεσε γαρ 106, 157. παρεκαλεσαν 253. καὶ ἐλυτρώσατο] και ελυτρωσαντο 254. Alex. ἐν πίστει] ∧ 155.

XI. Πῶς μεγαλύνωμεν] πως μεγαλυνουμεν 106, 157. πως μεγαλυνομεν 248. Compl. τὸν Ζοροβάβελ] τον Ζορομβαβελ 23. καὶ αὐτὸς] και ουτος 106. ὡς σφραγὶς] ∧ ως 23.

ΣΟΦΙΑ ΣΕΙΡΑΧ.

ΚΕΦ. XLIX.

Ἰησοῦς υἱὸς Ἰωσεδὲκ· οἳ ἐν ἡμέραις αὐτῶν ᾠκοδόμησαν οἶκον, καὶ ἀνύψωσαν λαὸν ἅγιον Κυρίῳ ἡτοι-
13. μασμένον εἰς δόξαν αἰῶνος. Καὶ Νεεμίου ἐπὶ πολὺ τὸ μνημόσυνον, τοῦ ἐγείραντος ἡμῖν τείχη
14. πεπτωκότα, καὶ στήσαντος πύλας καὶ μοχλοὺς, καὶ ἀνεγείραντος τὰ οἰκόπεδα ἡμῶν. Οὐδὲ εἷς
15. ἐκτίσθη οἷος Ἐνὼχ τοιοῦτος ἐπὶ τῆς γῆς, καὶ γὰρ αὐτὸς ἀνελήφθη ἀπὸ τῆς γῆς. Οὐδὲ ὡς Ἰω-
16. σὴφ ἐγεννήθη ἀνὴρ, ἡγούμενος ἀδελφῶν, στήριγμα λαοῦ, καὶ τὰ ὀστᾶ αὐτοῦ ἐπεσκέπησαν. Σὴμ καὶ
Σὴθ ἐν ἀνθρώποις ἐδοξάσθησαν, καὶ ὑπὲρ πᾶν ζῶον ἐν τῇ κτίσει Ἀδάμ.

ΚΕΦ. L.

1. ΣΙΜΩΝ Ὀνίου υἱὸς ἱερεὺς ὁ μέγας, ὃς ἐν ζωῇ αὐτοῦ ὑπέῤῥαψεν οἶκον, καὶ ἐν ἡμέραις αὐτοῦ ἐστε-
2. 3. ρέωσε τὸν ναόν· Καὶ ὑπ' αὐτοῦ ἐθεμελιώθη ὕψος διπλῆς ἀνάλημμα ὑψηλὸν περιβόλου ἱεροῦ. Ἐν
4. ἡμέραις αὐτοῦ ἠλαττώθη ἀποδοχεῖον ὑδάτων, χαλκὸς ὡσεὶ θαλάσσης τὸ περίμετρον. Ὁ φροντί-
5. ζων τοῦ λαοῦ αὐτοῦ ἀπὸ πτώσεως, καὶ ἐνισχύσας πόλιν ἐμπολιορκῆσαι, Ὡς ἐδοξάσθη ἐν περι-
6. στροφῇ λαοῦ, ἐν ἐξόδῳ οἴκου καταπετάσματος; Ὡς ἀστὴρ ἑωθινὸς ἐν μέσῳ νεφέλης, ὡς σελήνη πλή-
7. ρης ἐν ἡμέραις, Ὡς ἥλιος ἐκλάμπων ἐπὶ ναὸν ὑψίστου, καὶ ὡς τόξον φωτίζον ἐν νεφέλαις δόξης,
8. Ὡς ἄνθος ῥόδων ἐν ἡμέραις νέων, ὡς κρίνα ἐπ' ἐξόδων ὕδατος, ὡς βλαστὸς Λιβάνου ἐν ἡμέραις θέ-
9. ρους, Ὡς πῦρ καὶ λίβανος ἐπὶ πυρείου, ὡς σκεῦος χρυσίου ὁλοσφύρητον κεκοσμημένον παντὶ
10. λίθῳ πολυτελεῖ, Ὡς ἐλαία ἀναθάλλουσα καρποὺς, καὶ ὡς κυπάρισσος ὑψουμένη ἐν νεφέλαις.
11. Ἐν τῷ ἀναλαμβάνειν αὐτὸν στολὴν δόξης, καὶ ἐνδιδύσκεσθαι αὐτὸν συντέλειαν καυχήματος, ἐν
12. ἀναβάσει θυσιαστηρίου ἁγίου ἐδόξασε περιβολὴν ἁγιάσματος. Ἐν δὲ τῷ δέχεσθαι μέλη ἐκ χει-
ρῶν ἱερέων, καὶ αὐτὸς ἑστὼς παρ' ἐσχάρᾳ βωμοῦ, κυκλόθεν αὐτοῦ στέφανος ἀδελφῶν, ὡς βλάστημα
13. κέδρου ἐν τῷ Λιβάνῳ· καὶ ἐκύκλωσαν αὐτὸν ὡς στελέχη φοινίκων, Καὶ πάντες οἱ υἱοὶ Ἀαρὼν ἐν
14. δόξῃ αὐτῶν· καὶ προσφορὰ Κυρίου ἐν χερσὶν αὐτῶν ἔναντι πάσης ἐκκλησίας Ἰσραήλ. Καὶ συν-
15. τέλειαν λειτουργῶν ἐπὶ βωμῶν, κοσμῆσαι προσφορὰν ὑψίστου παντοκράτορος, Ἐξέτεινεν ἐπὶ σπον-
δείου χεῖρα αὐτοῦ, καὶ ἔσπεισεν ἐξ αἵματος σταφυλῆς· ἐξέχεεν εἰς θεμέλια θυσιαστηρίου ὀσμὴν
16. εὐωδίας ὑψίστῳ παμβασιλεῖ. Τότε ἀνέκραγον υἱοὶ Ἀαρὼν, ἐν σάλπιγξιν ἐλαταῖς ἤχησαν· ἀκου-
17. στὴν ἐποίησαν φωνὴν μεγάλην εἰς μνημόσυνον ἔναντι ὑψίστου. Τότε πᾶς ὁ λαὸς κοινῇ κατέσπευσε,

XII. υἱὸς Ἰωσεδὲκ] υιος Αδαχ 23. ᾠκοδόμησαν οἶκον] ωκοδομησαν πυργον III. καὶ ἀνύψωσαν] και ανυψωσεν 23. habet καὶ in charact. minore Alex. λαὸν ἅγιον] ναον αγιον 55, 106, 155, 157, 248, 253, 254. Compl. Alex. εἰς δόξαν αἰῶνος] ∧ αιωνος 55, 254.

XIII. Καὶ Νεεμίου] και μενουσιν 23. και Νεμμιου 106. καὶ νέμουσιν Ald. Καὶ Νεεμίου—μνημόσυνον] και εν εκλεκτοις ἦν Νεεμιας οὗ επι πολυ το μνημοσυνον αυτου 248. Compl. Νεεμίου] ἐν ἐκλεκτοῖς ἦν Νεεμίας (cum ἐν ἐκλ. ἦν in charact. minore) Alex. ἐπὶ πολὺ] præmitt. οὗ in charact. minore Alex. ἡμῖν] ημων 106, 157.

XIV. Οὐδὲ εἷς] ουδεις (23. scr. ουδις) 55, 106, 155, 157, 248, 253, 254. Compl. οἷος—τῆς γῆς] επι της γης τοιουτος οιος Ενωχ 23. (155. ex corr.) 253. Alex. επι της γης οιος Ενωχ 55, 254. sic, omisso της, 106. τοιουτος επι της γης οιος Ενωχ 248. Compl. καὶ γὰρ αὐτὸς] ∧ αυτος 248. Compl. ∧ γὰρ Alex. ἀνελήφθη] μετετεθη III. ἀπὸ τῆς γῆς] επι της γης 157.

XV. Οὐδὲ ὡς Ἰωσὴφ] ὁ δε Ιωσηφ 68. Ald. τὰ ὀστᾶ αὐτοῦ] τα οστα αυτων 23. ἐπεσκέπησαν] επεσκεπη υπο Κυριου 248. Compl.

XVI. καὶ ὑπὲρ πᾶν ζῶον] ∧ ζωον 248. Compl. Ἀδάμ] primo Δαμ suprascr. ab al. m. Αδαμ 106.

I. Ὀνίου] Ιωναου 155. Ιονιου 253. Ἰωνίου Ald. Ὀνίου υἱὸς] ὁ Ονιου 248. Compl. υἱὸς] ὁ υιος 155. ἱερεὺς] præmitt. ὁ 248. Compl. Alex. ὃς ἐν ζωῇ] ὃς εν τη ζωη 248. Compl. ὑπέῤῥαψ.] υπεγραψ. 296, 308. καὶ ἐν ἡμέραις] ∧ και 155. και εν ταις ημεραις 248. Compl. τὸν ναὸν] ∧ τον 55, 106, 155, 157, 253, 296. Alex. λαον 248. Compl.

II. Καὶ ὑπ' αὐτοῦ] και υπερ αυτου 155. και επ' αυτω 248. Compl. ὕψος διπλῆς] υψιστος διπλης 55. υψος διπλουν 248. Compl. περιβόλου] περίβολον Compl. περιβόλου ἱεροῦ] tr. 296.

III. ἀποδοχεῖον] αποδοχεια 106, 155, 157, 296, 308. Alex. δοχεια 248. Compl. ὑδάτων] ὕδατος Compl. χαλκὸς] λακκος 55, 155, 254, 296, 308. Alex. τὸ περίμετρον] τὸ τρίμετρον Compl.

IV. ἐμπολιορκῆσαι] εν πολιορκησει (55. scr. εμπολιορκησει) 106, 157, 253, 254. Alex. και πολιορκησας 248. Compl.

V. Ὡς ἐδοξάσθη] ως εδοξασθης 55, 106, 155, 157, 308. εδοξασθης 248. Compl. ὃς ἐδοξάσθη Alex. λαοῦ] λαων 155.

VI. ἐν μέσῳ νεφέλης] εν μεσω νεφελων 23, 106, 157, 248, 253. Compl. ἐν ἡμέραις] + αυτης 248. Compl.

VII. Ὡς ἥλιος] ως ὁ ηλιος 254. Ὡς ἥλιος—ὑψίστου] ponit post δοξης ad fin. com. 23, 248, 253. Compl. ἐκλάμπων] λαμπων (scr. λαμπον) 155. καὶ ὡς τόξον] ∧ και 155, 157, 254, 296. Alex. φωτίζον] φωτιζων 155, 253. ἐν νεφέλαις] νεφελας 248. Compl.

VIII. ὡς κρίνα] ωσει κρινα 106, 157, 248. Compl. Alex. ἐπ' ἐξόδων] επ' εξοδω 23, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex. ἐν ἡμέραις—λίβανος in com. seq.] ∧ cum intermed. 155.

IX. ὁλοσφύρητον] ολοσφυρατον 23, 55, 254. κεκοσμημένον] κεκοσμημενω 308. κεκοσμημένον &c. ad fin. com.] ponit post καρπους in com. seq. 23. πολυτελεῖ] πολυτελη 308.

X. Ὡς ἐλαία] + ευπρεπης 248. Compl. (Alex. in charact. min.) ἐν νεφέλαις] ∧ εν 248. Compl.

XI. Ἐν τῷ ἀναλαμβάνειν] præmitt. και 55, 106. καυχήματος] καυματος III. ἐν ἀναβάσει] επ' αναβασει 254.

XII. μέλη] μελι 23. ἐκ χειρῶν] εκ χειρος 155, 248. Compl. ἱερέων] εχθρων 23. ἑστὼς] εστηκως 106, (155. scr. εστικος) 157, 296. Alex. παρ' ἐσχάρᾳ] παρ' εσχαραν 155, 248, 296. Compl. κυκλ. αὐτοῦ] κυκλ. αυτων 308. κυκλ. αὐτὸς Ald. κέδρου] κεδρων 23, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex. καὶ ἐκύκλωσαν] και εκυκλωσεν 155.

XIII. οἱ υἱοὶ Ἀαρὼν] ∧ οἱ 155. ἐν χερσὶν] ∧ ἐν Ald.

XIV. ἐπὶ βωμῶν] επι βωμω 68. Ald. Alex. επι βορρων 155. επι βωμου 248. Compl.

XV. χεῖρα αὐτοῦ] χειρας αυτου 23, 248. Compl. καὶ ἔσπεισεν] και επιεν 155. καὶ ἔσπασεν Ald. ἐξέχεεν] εξεχεαν 106. εἰς θεμέλια] επι θεμελια 248. Compl.

XVI. υἱοὶ Ἀαρὼν] præmitt. οἱ 55, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex. ἐν σάλπιγξιν] ∧ εν 253. ἔναντι ὑψίστου] εναντιον υψιστου 296.

XVII. κατέσπευσε] κατεπαυσαν 23, 106, 155, 296, 308. Ald.

ΚΕΦ. L.

καὶ ἔπεσαν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, προσκυνῆσαι τῷ Κυρίῳ αὐτῶν παντοκράτορι Θεῷ τῷ
ὑψίστῳ. Καὶ ἤνεσαν οἱ ψαλμῳδοὶ ἐν φωναῖς αὐτῶν, ἐν πλείστῳ οἴκῳ ἐγλυκάνθη μέλος. Καὶ ἐδε- 18. 19.
ήθη ὁ λαὸς Κυρίου ὑψίστου ἐν προσευχῇ κατέναντι ἐλεήμονος, ἕως συντελεσθῇ κόσμος Κυρίου, καὶ
τὴν λειτουργίαν αὐτοῦ ἐτελείωσαν. Τότε καταβὰς ἐπῆρε χεῖρας αὐτοῦ ἐπὶ πᾶσαν ἐκκλησίαν υἱῶν 20.
Ἰσραὴλ, δοῦναι εὐλογίαν Κυρίῳ ἐκ χειλέων αὐτοῦ, καὶ ἐν ὀνόματι αὐτοῦ καυχᾶσθαι. Καὶ ἐδευτέ- 21.
ρωσεν ἐν προσκυνήσει ἐπιδείξασθαι τὴν εὐλογίαν παρὰ ὑψίστου. Καὶ νῦν εὐλογήσατε τῷ Θεῷ 22.
πάντες τῷ μεγαλοποιοῦντι πάντη, τὸν ὑψοῦντα ἡμέρας ἡμῶν ἐκ μήτρας, καὶ ποιοῦντα μεθ' ἡμῶν
κατὰ τὸ ἔλεος αὐτοῦ. Δῴη ἡμῖν εὐφροσύνην καρδίας, καὶ γενέσθαι εἰρήνην ἐν ἡμέραις ἡμῶν ἐν Ἰσ- 23.
ραὴλ κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος, Ἐμπιστεῦσαι μεθ' ἡμῶν τὸ ἔλεος αὐτοῦ, καὶ ἐν ταῖς ἡμέραις αὐ- 24.
τοῦ λυτρωσάσθω ἡμᾶς. Ἐν δυσὶν ἔθνεσι προσώχθισεν ἡ ψυχή μου, καὶ τὸ τρίτον οὐκ ἔστιν ἔθνος. 25.
Οἱ καθήμενοι ἐν ὄρει Σαμαρείας, Φυλιστιεὶμ, καὶ ὁ λαὸς μωρὸς ὁ κατοικῶν ἐν Σικίμοις. Παιδείαν 26. 27.
συνέσεως καὶ ἐπιστήμης ἐχάραξα ἐν τῷ βιβλίῳ τούτῳ, Ἰησοῦς υἱὸς Σειρὰχ Ἱεροσολυμίτης, ὃς ἀνώμ-
βρησε σοφίαν ἀπὸ καρδίας αὐτοῦ. Μακάριος ὃς ἐν τούτοις ἀναστραφήσεται, καὶ ὁ θεὶς αὐτὰ ἐπὶ 28.
καρδίαν αὐτοῦ σοφισθήσεται. Ἐὰν γὰρ αὐτὰ ποιήσῃ, πρὸς πάντα ἰσχύσει, ὅτι φῶς Κυρίου τὸ 29.
ἴχνος αὐτοῦ.

ΚΕΦ. LI.

ΠΡΟΣΕΥΧΗ ΙΗΣΟΥ ΥΙΟΥ ΣΕΙΡΑΧ.

ΕΞΟΜΟΛΟΓΗΣΟΜΑΙ *σοι Κύριε βασιλεῦ, καὶ αἰνέσω σε Θεὸν τὸν σωτῆρά μου, ἐξομολογοῦμαι* 1.
τῷ ὀνόματί σου, Ὅτι σκεπαστὴς καὶ βοηθὸς ἐγένου μοι, καὶ ἐλυτρώσω τὸ σῶμά μου ἐξ ἀπωλείας, 2.
καὶ ἐκ παγίδος διαβολῆς γλώσσης, ἀπὸ χειλέων ἐργαζομένων ψεῦδος, καὶ ἔναντι τῶν παρεστηκό-
των ἐγένου μοι βοηθὸς, Καὶ ἐλυτρώσω με, κατὰ τὸ πλῆθος ἐλέους καὶ ὀνόματός σου, ἐκ βρυ- 3.
γμῶν ἑτοίμων εἰς βρῶμα, ἐκ χειρὸς ζητούντων τὴν ψυχήν μου, ἐκ πλειόνων θλίψεων ὧν ἔσχον,
Ἀπὸ πνιγμοῦ πυρὸς κυκλόθεν, καὶ ἐκ μέσου πυρὸς οὗ οὐκ ἐξέκαυσα, Ἐκ βάθους κοιλίας ᾅδου, 4. 5.
καὶ ἀπὸ γλώσσης ἀκαθάρτου, καὶ λόγου ψευδοῦς, Βασιλεῖ διαβολὴ γλώσσης ἀδίκου· ἤγγισεν ἕως 6.
θανάτου ἡ ψυχή μου, καὶ ἡ ζωή μου ἦν σύνεγγυς ᾅδου κάτω. Περιέσχον με πάντοθεν, καὶ οὐκ 7.

καὶ ἔπεσαν] και επεσον 106, 157, 248. Compl. τῷ Κυρίῳ αὐτῶν] Κυρίῳ Alex. τῷ ὑψίστῳ] ∧ τω 23, 106, 155, 157, 248, 296. Compl. Alex.

XVIII. οἱ ψαλμῳδοὶ] οἱ ψαλτωδοι 106, 155, 157, 253, 296, 308. Alex. ἐν φωναῖς αὐτῶν] ∧ εν 248. Compl. ἐν πλείστῳ οἴκῳ] εν παντι τω οικω 23, εν πλειστω ηχω 106, 157, 248. Compl. Alex. ἐγλυκάνθη] εμεγαλυνθη III, 55, 155, 157, 254, 296, 308. μέλος] ∧ 55, 254.

XIX. ὑψίστου] του υψιστου 106, 254. κατέναντι ἐλεήμονος] κατεναντι του ελεημονος 248. Compl. κόσμος Κυρίου] præmitt. ὁ 55, 248, 254. Compl. καὶ τὴν λειτουργ. αὐτοῦ] και την λειτουργ. αυτων 106.

XX. Τότε καταβὰς] habet καταβὰς in charact. minore Alex. ἐπῆρε] εστηρισε 55. χεῖρας αὐτοῦ] χειρα αυτου III, 155. ἐπὶ πᾶσαν] habet πᾶσαν in charact. minore Alex. εὐλογίαν Κυρίῳ] ευλογιαν Κυριου 23, 253. Compl. Alex. ἐν ὀνόματι αὐτοῦ] εν ονοματι Κυριου 157. καυχᾶσθαι] καυχησασθαι 23, 55, 106, 155, 157, 248, 254, 296. Compl. Alex.

XXI. Καὶ ἐδευτέρωσεν] και εδευτερωσαν 248. Compl. Alex. ἐν προσκυνήσει] επι προσκυνησει III. προσκυνειν 23. ἐπιδείξασθαι] επιδεξασθαι 157, 248, 253. Compl. Alex.

XXII. Καὶ νῦν] και τα νυν 106. τῷ Θεῷ] τον Θεον 55, 248. Compl. πάντες] παντων 106, 157, 248, 253, 296. Compl. Alex. παντωκράτωρ (sic) 155. τῷ μεγαλοποιοῦντι] τον μεγαλοποιουντα 55. τω μεγαλα ποιουντι 106, 155, 157. (Alex. cum τῷ in charact. min.) τον μεγαλα ποιουντα 248, 254. Compl. τω ποιουντι 308. παντῆ] παντι 55, 106, 157, 254. præmitt. μονον 248. Compl. παντα 308. καὶ ποιοῦντα] ∧ και 55. κατὰ τὸ ἔλεος] κατα τον ελεον 248. Compl. ∧ κατα 254. αὐτοῦ] ∧ 296, 308.

XXIII. Δῴη—καρδίας] ∧ cum intermed. 248. Δῴη ἡμῖν] δωη υμιν 155. Ald. κατὰ τὰς ἡμέρας] κατα τα σημεια 23.

XXIV. τὸ ἔλεος αὐτοῦ] τον ελεον αυτου 248. Compl. ἐν ταῖς ἡμέραις αὐτοῦ] εν ταις ημεραις ημων 55, 248. Compl. Alex.

XXV. ἡ ψυχή μου] ἡ ψυχη ημων 157.

XXVI. Φυλιστιεὶμ] præmitt. και 106, 155, 157, 296. Alex. præmitt. και ανδρες οἱ κατοικουντες 248. Compl. ὁ λαὸς μωρὸς] ὁ λαος ὁ μωρος 55, 106, 155, 157, 254, 296, 308. Alex. ∧ ὁ 248. Compl.

XXVII. Παιδ. συνέσεως] παιδ. αινεσεως 55, 254. παιδείας συνέσεως Ald. ἐχάραξα] ἐχάραξε Compl. Alex. ἐν τῷ βιβλίῳ] εν τω βιβλω 106. υἱὸς Σειρὰχ] + Ελεαζαρος 23, 253. + Ελεαζαρ 55, 106, 155, 157, 296, 308. Alex. + Ελεαζαρου 68. Ald. ὁ υιος Σιραχ 248. Compl. Ἱεροσολυμ.] præmitt. ὁ 23, 55, 106, 155, 157, 248, 253, 254, 296. Compl. Alex. ὃς ἀνώμβρησε] ὃς ανωμβρισε 248. Compl. ἀπὸ καρδίας αὐτοῦ] ∧ αυτου 248. Compl. ∧ ἀπὸ Ald.

XXVIII. καὶ ὁ θεὶς] ∧ ὁ 55, 106, 155, 157, 254, 296, 308. Ald. Alex. ἐπὶ καρδίαν αὐτοῦ] επι την καρδιαν αυτου 106. επι καρδιαν εαυτου 248. Compl. ἐπὶ καρδίας αὐτοῦ Ald.

XXIX. αὐτὰ] ταυτα 106, 155, 296, 308. αὐτὰ ποιήσῃ] tr. 248. Compl. ποιήσῃ] ποιησεις 155. ἰσχύσει] ισχυει 106. ισχυῖ 253. ισχυση 308. ὅτι φῶς] οτι φοβος 106. τὸ ἴχνος αὐτοῦ] + και τοις ευσεβεσιν εδωκε σοφιαν· ευλογητος Κυριος εις τον αιωνα· γενοιτο, γενοιτο. 55, 248, 254. Compl. (Alex. in charact. minore.)

I. Ἐξομολογήσομαι] εξομολογουμαι III. Κύριε βασιλεῦ] Κυριε ὁ Θεος ὁ βασιλευς 253. καὶ αἰνέσω σε] ∧ σε 55, 254. habet σε in charact. minore Alex. Θεὸν τὸν σωτῆρά μου] εν τω σωτηριω μου 23. ἐξομολογοῦμαι] εξομολογησομαι 106, 157.

II. ἔναντι τῶν παρεστηκότων] εναντιον παρεστηκοτων 106. εναντι των ανθεστηκοτων 248. Compl. ἐγένου μοι] ∧ μοι 55, 106, 157, 253, 254. Ald. tr. 248. Compl. habet μοι in charact. minore Alex.

III. ἐλέους] præmitt. του 55, 248. Compl. ἐλέου Ald. καὶ ὀνόματός σου] του ονοματος σου 55, 248. Compl. ∧ σου 253. ἑτοίμων] ετοιμον III, 155, 248. ετοιμος 254. Ald. εἰς βρῶμα] εις θηραν 106.

IV. Ἀπὸ πνιγμοῦ] præmitt. και 155. πυρὸς 1°] πυρᾶς 106, 155, 157. Ald. Alex. καὶ ἐκ μέσου] ∧ και 248. Compl. πυρὸς 2°] ∧ 23. οὗ οὐκ] ∧ ουκ 106, 157, 254. ∧ οὗ 155, 248. Compl.

V. Ἐκ βάθους] præmitt. και 248. Compl. ᾅδου] λαου 23. ∧ 248, 254. Compl. καὶ λόγου ψευδοῦς] και εκ λογου ψευδους 248. Compl.

VI. διαβολὴ] διαβολης 23, 55, 106, 253. γλώσσης ἀδίκου] præmitt. εκ 248. Compl. (Alex. in char. min.) præmitt. και 253. ἀδίκου] αδικα 23. καὶ ἡ ζωή μου] ∧ καὶ Ald. σύνεγγυς] ἐγγὺς Compl. ᾅδου κάτω] αδου κατωτατου 248, 253. Compl. ∧ 254.

ΚΕΦ. LI.

8. ἦν ὁ βοηθῶν· ἐμβλέπων εἰς ἀντίληψιν ἀνθρώπων, καὶ οὐκ ἦν. Καὶ ἐμνήσθην τοῦ ἐλέους σου Κύριε,
καὶ τῆς ἐργασίας σου τῆς ἀπ' αἰῶνος· ὅτι ἐξελῇ τοὺς ὑπομένοντάς σε, καὶ σώζεις αὐτοὺς ἐκ χειρὸς
9. 10. ἐθνῶν. Καὶ ἀνύψωσα ἐπὶ γῆς ἱκετείαν μου, καὶ ὑπὲρ θανάτου ῥύσεως ἐδεήθην. Ἐπεκαλεσάμην
Κύριον πατέρα Κυρίου μου, μή με ἐγκαταλιπεῖν ἐν ἡμέραις θλίψεως, ἐν καιρῷ ὑπερηφάνων ἀβο-
11. ηθησίας. Αἰνέσω τὸ ὄνομά σου ἐνδελεχῶς, καὶ ὑμνήσω ἐν ἐξομολογήσει· καὶ εἰσηκούσθη ἡ δέησίς
12. μου. Ἔσωσας γάρ με ἐξ ἀπωλείας, καὶ ἐξείλου με ἐκ καιροῦ πονηροῦ· διὰ τοῦτο ἐξομολογήσομαι
13. καὶ αἰνέσω σοι, καὶ εὐλογήσω τῷ ὀνόματι Κυρίου. Ἔτι ὢν νεώτερος, πρινὴ πλανηθῆναί με, ἐζή-
14. τησα σοφίαν προφανῶς ἐν προσευχῇ μου. Ἔναντι ναοῦ ἠξίουν περὶ αὐτῆς, καὶ ἕως ἐσχάτων ἐκ-
15. ζητήσω αὐτήν, Ἐξ ἄνθους ὡς περκαζούσης σταφυλῆς· εὐφράνθη ἡ καρδία μου ἐν αὐτῇ, ἐπέβη ὁ πούς
16. μου ἐν εὐθύτητι, ἐκ νεότητός μου ἴχνευσα αὐτήν. Ἔκλινα ὀλίγον τὸ οὖς μου, καὶ ἐδεξάμην, καὶ
17. πολλὴν εὗρον ἐμαυτῷ παιδείαν. Προκοπὴ ἐγένετό μοι ἐν αὐτῇ· τῷ διδόντι μοι σοφίαν δώσω
18. 19. δόξαν. Διενοήθην γὰρ τοῦ ποιῆσαι αὐτήν, καὶ ἐζήλωσα τὸ ἀγαθόν, καὶ οὐ μὴ αἰσχυνθῶ. Δια-
μεμάχηται ἡ ψυχή μου ἐν αὐτῇ, καὶ ἐν ποιήσει λιμοῦ διηκριβωσάμην· τὰς χεῖράς μου ἐξεπέτασα
20. πρὸς ὕψος, καὶ τὰ ἀγνοήματα αὐτῆς ἐπένθησα, Τὴν ψυχήν μου κατεύθυνα εἰς αὐτήν, καρδίαν
ἐκτησάμην μετ' αὐτῶν ἀπ' ἀρχῆς, καὶ ἐν καθαρισμῷ εὗρον αὐτήν· διὰ τοῦτο οὐ μὴ ἐγκαταλειφθῶ.
21. 22. Καὶ ἡ κοιλία μου ἐταράχθη ἐκζητῆσαι αὐτήν· διὰ τοῦτο ἐκτησάμην ἀγαθὸν κτῆμα. Ἔδωκε Κύ-
23. ριος γλῶσσάν μοι μισθόν μου, καὶ ἐν αὐτῇ αἰνέσω αὐτόν. Ἐγγίσατε πρὸς μὲ ἀπαίδευτοι, καὶ
24. αὐλίσθητε ἐν οἴκῳ παιδείας. Διότι ὑστερεῖτε ἐν τούτοις, καὶ αἱ ψυχαὶ ὑμῶν διψῶσαι σφόδρα;
25. 26. Ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησα, κτήσασθε ἑαυτοῖς ἄνευ ἀργυρίου. Τὸν τράχηλον ὑμῶν ὑπό-
27. θετε ὑπὸ ζυγόν, καὶ ἐπιδεξάσθω ἡ ψυχὴ ὑμῶν παιδείαν, ἐγγύς ἐστιν εὑρεῖν αὐτήν. Ἴδετε ἐν
28. ὀφθαλμοῖς ὑμῶν ὅτι ὀλίγον ἐκοπίασα, καὶ εὗρον ἐμαυτῷ πολλὴν ἀνάπαυσιν. Μετάσχετε παι-
29. δείας ἐν πολλῷ ἀριθμῷ ἀργυρίου, καὶ πολὺν χρυσὸν κτήσασθε ἐν αὐτῇ. Εὐφρανθείη ἡ ψυχὴ
XXXVI. Καὶ ἐδογμάτισαν πάντες] εδογματισαν δε παντες 23, 44, 55, 71, 74, 106. Compl. Alex. μετὰ κοινȣ̃ ψηφίσματος] ∧ 71. μηδαμῶς ἐᾶσαι] μη εασαι 71. ἐᾶσαι ἀπαρασήμαντον] εασαι απεσημαντο 62. ἀπαρασήμαντον] απροσημαντον 44. απαρασημαντα 93. τήνδε τὴν ἡμέραν] ∧ τηνδε 71. ἔχειν δὲ ἐπίσημον] ειχον δε επισημον 19, 62. ειχεν δε επισημον 23. και εχειν επισημον 71. ηχον δε επισημον 93. τὴν τρισκαιδεκάτην] τη τρισκαιδεκατη 23. λέγεται] λεγεται δε 55. τῇ Συριακῇ φωνῇ] τη κυριακη φωνη III. πρὸ μιᾶς &c. ad fin. com.] ∧ 71. πρὸ μιᾶς ἡμέρας] προς μιας ημερας 62, 93. τῆς Μαρδοχαϊκῆς ἡμέρας] της Μαρδοχοικης ημερας 23. της Μαρδοχικης ημερας 55. της Μαρχοδαικης ημερας 62.

XXXVII. καὶ ἀπ' ἐκείνων τῶν καιρῶν] και απο τοτε 71. καταπαύσω τὸν λόγον] τον λογον καταπαυσων III. τον λογον καταπαυσω 19, 23, 44, 55, 62, 64, 71, 93, 106. Compl. Alex.

XXXVIII. Καὶ εἰ μὲν] και ειπε 106. καὶ εὐθίκτως] ∧ και 64, 74, 93. Ald. ευθηκως 106. καὶ αὐτὸς ἤθελον] και αυτοι ηθελον 19.

XXXIX. Καθάπερ γὰρ] ∧ γαρ 106. habet γὰρ in charact. min. Alex. οἶνον καταμόνας πίνειν] οινον πινειν καταμονας 19, 62, 64, 93. ὡσαύτως δὲ] ∧ δε 71. ως αυτος δε 93. καὶ ὕδωρ πάλιν] ∧ παλιν 19, 62, 93. και το υδωρ παλιν 64. οἶνος ὕδατι] οινον υδατι 106. συγκερασθεὶς ἡδὺς] συγκερασθεις ηδη III, 44, 52, 106. συγκραθεις ηδυς 19, 62, 93. συγκερασθεις ηδειαν 55. συγκερασθεις ηδυ 71. συγκερασθεις ηδει 74. συγκρασθεὶς ἡδεῖαν Compl. τὴν χάριν ἀποτελεῖ] την χαριν επιτελει 19, 62, 93. την χρειαν επιτελει 64. τέρπει τὰς ἀκοὰς] τερπη τας ακοας 93. τῇ συντάξει] τη ταξει 19, 62, 93. ἐνταῦθα δὲ ἔςαι] ∧ δε 44. ενταυθα δε εςω 55. ἡ τελευτή] η τελετη 19, 62, 93. ἔςιν ἡ (sic) 52.

ΜΑΚΚΑΒΑΙΩΝ Γ.

ΜΑΚΚΑΒΑΙΩΝ Γ.

ΚΕΦ. Ι.
1. Ο ΔΕ Φιλοπάτωρ μαθὼν παρὰ τῶν ἀνακομισθέντων τὴν γενομένην τῶν ὑπ' αὐτοῦ κρατουμένων
τόπων ἀφαίρεσιν ὑπὸ Ἀντιόχου, παραγγείλας ταῖς πάσαις δυνάμεσι πεζικαῖς τε καὶ ἱππικαῖς
αὐτοῦ, καὶ τὴν ἀδελφὴν Ἀρσινόην συμπαραλαβὼν, ἐξώρμησε μέχρι τῶν κατὰ Ῥαφίαν τόπων, ὅπου
2. παρεμβεβλήκεισαν οἱ περὶ Ἀντίοχον. Θεόδοτος δέ τις ἐκπληρῶσαι τὴν ἐπιβουλὴν διανοηθεὶς,
παραλαβὼν τῶν προϋποτεταγμένων αὐτῷ ὅπλων Πτολεμαϊκῶν τὰ κράτιστα, διεκομίσθη νύκτωρ
3. ἐπὶ τὴν τοῦ Πτολεμαίου σκηνὴν, ὡς μόνος κτεῖναι αὐτὸν, καὶ ἐν τούτῳ διαλῦσαι τὸν πόλεμον. Τοῦ-
τον δὲ διαγαγὼν Δωσίθεος ὁ Δριμύλου λεγόμενος, τὸ γένος Ἰουδαῖος, ὕστερον δὲ μεταβαλὼν τὰ νό-
μιμα, καὶ τῶν πατρίων δογμάτων ἀπηλλοτριωμένος, ἄσημόν τινα κατέκλινεν ἐν τῇ σκηνῇ, ὃν
4. συνέβη κομίσασθαι τὴν ἐκείνου κόλασιν. Γενομένης δὲ καρτερᾶς μάχης, καὶ τῶν πραγμάτων
μᾶλλον ἐῤῥωμένων τῷ Ἀντιόχῳ, ἱκανῶς ἡ Ἀρσινόη ἐπιπορευσαμένη τὰς δυνάμεις παρεκάλει, μετὰ
οἴκτου καὶ δακρύων, τοὺς πλοκάμους λελυμένη, βοηθεῖν ἑαυτοῖς τε καὶ τοῖς τέκνοις καὶ γυναιξὶ
5. θαῤῥαλέως, ἐπαγγελλομένη δώσειν νικήσασιν ἑκάστῳ δύο μνᾶς χρυσίου. Καὶ οὕτω συνέβη τοὺς ἀν-
6. τιπάλους ἐν χειρονομίαις διαφθαρῆναι, πολλοὺς δὲ καὶ δορυαλώτους συλληφθῆναι. Κατακρατή-
7. σας δὲ τῆς ἐπιβουλῆς ἔκρινε τὰς πλησίον πόλεις ἐπελθὼν παρακαλέσαι. Ποιήσας δὲ τοῦτο, καὶ
8. τοῖς τεμένεσι δωρεὰς ἀπονείμας, εὐθαρσεῖς τοὺς ὑποτεταγμένους κατέστησε. Τῶν δὲ Ἰουδαίων δια-
πεμψαμένων πρὸς αὐτὸν ἀπὸ τῆς γερουσίας καὶ τῶν πρεσβυτέρων τοὺς ἀσπασομένους αὐτὸν, καὶ
ξένια κομιοῦντας, καὶ ἐπὶ τοῖς συμβεβηκόσι συγχαρησομένους, συνέβη μᾶλλον αὐτὸν προθυμηθῆ-
9. ναι ὡς τάχιστα πρὸς αὐτοὺς παραγενέσθαι. Διακομισθεὶς δὲ εἰς Ἱεροσόλυμα, καὶ θύσας τῷ με-
γίστῳ Θεῷ, καὶ χάριτας ἀποδιδοὺς, καὶ τῶν ἑξῆς τι τῷ τόπῳ ποιήσας, καὶ δὴ παραγενόμενος εἰς
10. τὸν τόπον, καὶ τῇ σπουδαιότητι καὶ εὐπρεπείᾳ καταπλαγεὶς, Θαυμάσας δὲ καὶ τὴν τοῦ ἱεροῦ εὐ-

I. Ὁ δὲ Φιλοπάτωρ] ὁ μεν Φιλοπατωρ 19. Δημητριος δε 71. Ὁ δὲ Φιλοπάτωρ—ἀφαίρεσιν] εν δε ταις ημεραις εκειναις ὁ βασιλευς Πτολεμαιος μαθων την γενομενην των υπ' αυτου κρατουμενων λαων την αφαιρεσιν 44. μαθὼν—ἀνακομισθέντων] παρα των αποκομισθεντων μαθων (23. ex corr. m. sec.) Compl. παρα των ανακομισθεντων μαθων 55. Alex. μαθων tantum 71. παρὰ τῶν ἀνακομισθέντων] παρα των αποκομισθεντων 74. τὴν γενομένην] την γινομενην 55, 71, 74. (Alex. scr. τὴν γεινομένην.) τῶν ὑπ' αὐτοῦ] των επ' αυτου III. κρατουμένων] κρατηθεντων 74. τόπων ἀφαίρεσιν] απωλειαν και αφαιρεσιν 71. ʌ τοπων 74. παραγγείλας] παραγγειλαν 62. πεζικαῖς τε] ʌ τε Alex. καὶ ἱππικαῖς αὐτοῦ] ʌ αυτου 19, 23, 55, 62, 64, 93. habet αὐτοῦ in charact. minore Alex. τὴν ἀδελφὴν Ἀρσινόην] ʌ 74. συμπαραλαβὼν] παραλαβων 74. κατὰ Ῥαφίαν] Καπαραφίαν (sic) 71. οἱ περὶ Ἀντίοχον] οἱ περι τον Αντιοχον 23, 62, 93.

II. ἐκπληρῶσαι τὴν ἐπιβουλὴν] την επιβουλην εκπληρωσαι 19, 62, 64, 93. πληρωσαι την επιβουλην 23. τὴν ἐπιβουλὴν] την επιβολην 44. διανοηθεὶς] δυνηθεις 93. τῶν προϋποτεταγμένων αὐτῷ] των υποτεταγμενων αυτω 44, 55. ὅπλων Πτολεμαϊκῶν] μεθ' οπλων πολεμικων 19. μεθ' οπλων Πτολεμαικων 62, 64, 93. ὡς μόνος κτεῖναι αὐτὸν] ὡς μονον κτειναι 19. ως μονον κτειναι αυτον 62. καὶ ἐν τούτῳ διαλῦσαι] και εν τουτω καταλυσαι 55. και εν τουτοις διαλυσαι 64. Ald. ʌ εν 74.

III. διαγαγὼν] διάγων Alex. ὁ Δριμύλου] ὁ Δρυμυλου (corr. ut in Ed. sec. m.) 23. ὕστερον δὲ μεταβαλὼν] υστερον δε μεταλαβων (corr. ut in Ed. sec. m.) 23. καὶ τῶν πατρίων δογμάτων] και των πατριων νομων 64. κατέκλινεν ἐν τῇ σκηνῇ] κατεκλεινε (sic) την σκηνην 19. κατεκτεινεν εν τη σκηνη 44, 71, 93.

IV. καρτερᾶς μάχης] και ετερας μαχης 23. τῷ Ἀντιόχῳ] ʌ τῳ 62. ἐπιπορευσαμένη] επιπορευομενη 19, 55, 62, 64, 93. τοὺς πλοκάμους] τους πολεμους III. βοηθεῖν ἑαυτοῖς] βοηθειν αυτοις 44, 62. βοηθηναι αυτοις 93. καὶ τοῖς τέκνοις] ʌ τοις 64. καὶ γυναιξὶ θαῤῥαλέως] και ταις γυναιξι θαρραλεως 55. Alex. και συν γυναιξι θαρραλεως 93. μνᾶς χρυσίου] μνας χρυσιους 93.

V. Καὶ οὕτω] καὶ τ' οὕτως Alex. ἐν χειρονομίαις] χειρων νομαις 19, 62, 93. εκ χειρονομιας 64. καὶ δορυαλώτους] και δοριαλωτους 74.

VI. τῆς ἐπιβουλῆς] της επιβολης 71. τὰς πλησίον πόλεις] τας πλησιον πολλης (sic) 62. τὰς πλησίον κώμας Ald.

VII. δωρεὰς ἀπονείμας] δωρεαν απονειμας 23. κατέστησε] καταστησαι 23. εποιησε 64.

VIII. Τῶν δὲ] τον δε 62. διαπεμψ. πρὸς αὐτὸν] διαπεμψ. προς τον Φιλοπατορα 19, 62, 64, 93. Ald. τοὺς ἀσπασομένους αὐτὸν] τους ασπαζομενους αυτον 55. τους ασπασαμενους αυτον 74, 93. συγχαρησομένους] χαρησομενους 19, 23, 44, 55, 74. Compl. Alex. χαρησαμενους 62, 93. χαρισαμενους 71. συγχωρησαμένους Ald. μᾶλλον αὐτὸν] μαλλον αυτω 44, 71. Compl. Ald. αὐτὸν προθυμηθῆναι] προθυμηθηναι αυτω 74. ὡς τάχιστα &c. ad fin. com.] ʌ 93. ὡς τάχιστα—Ἱεροσόλυμα in com. seq.] ως ταχιστα προς αυτους διακομισθηναι παραγενομενος δε εις Ιερουσαλημ 19, 64. πρὸς αὐτοὺς] παρ' αυτους 23. παραγενέσθαι] διακομισθηναι 62. Ald.

IX. Διακομισθεὶς δὲ] παραγενομενος δε 62, 93. παραγενόμενος Ald. εἰς Ἱεροσόλυμα] εις Ιερουσαλημ 93. τῷ μεγίστῳ Θεῷ] τω πιστω Θεω III. ʌ τῳ μεγιστῳ 71. καὶ χάριτας ἀποδιδοὺς] και χαριτας αποδους 19, 62, 64, 93. Ald. καὶ τῶν ἑξῆς] και ὧν εξεστι 64. Ald. τι τῷ τόπῳ ποιήσας] τοπων ποιησας 93. καὶ δὴ παραγεν.] ʌ δη 44. καὶ δὴ παραγενόμενος &c. ad fin. com.] τη σπουδαιοτητι και τη ευπρεπεια καταπλαγεις εν τω γενεσθαι 19. τη σπουδαιοτητι και ευπρεπεια καταπλαγεις εν τω παραγενεσθαι 62. (93. ut videtur.) καὶ τῇ σπουδαιότητι] ʌ σπουδαιοτητι 71. καὶ εὐπρεπείᾳ καταπλαγεὶς] και ευσεβεια καταπληγεις III. + εν τω παραγενεσθαι 64. ʌ και 71.

X. Θαυμάσας—εὐταξίαν] ʌ cum intermed. 71. βουλεύσασθαι] ʌ 71. εἰσελθεῖν εἰς τὸν ναόν] εις τον ναον εισελθειν 23, 44, 55, 71. Compl. Alex.

ΚΕΦ. I.

ταξίαν, ἐνεθυμήθη βȣλεύσασθαι εἰσελθεῖν εἰς τὸν ναόν. Τῶν δὲ εἰπόντων μὴ καθήκειν γίνεσθαι 11.
τοῦτο, διὰ τὸ μηδὲ τοῖς ἐκ τȣ͂ ἔθνους ἐξεῖναι εἰσιέναι, μηδὲ πᾶσι τοῖς ἱερεῦσιν, ἀλλ' ἢ μόνῳ τῷ
προηγȣμένῳ πάντων ἀρχιερεῖ, καὶ τȣ́τῳ ἅπαξ κατ' ἐνιαυτὸν, ȣ̓δαμῶς ἠθέλετο πείθεσθαι. Τȣ͂ 12.
τε νόμου παραναγνωσθέντος, ȣ̓δαμῶς ἀπέλιπε προφερόμενος ἑαυτὸν, Δεῖν εἰσελθεῖν, λέγων, καὶ
εἰ ἐκεῖνοι ἐςέρηνται ταύτης τῆς τιμῆς, ἐμὲ οὐ δεῖ. Καὶ ἐπυνθάνετο, διὰ τίνα αἰτίαν εἰσερχόμε- 13.
νον αὐτὸν εἰς πᾶν τέμενος, ȣ̓θεὶς ἐκώλυσε τῶν παρόντων. Καί τις ἀπρονοήτως ἔφη κακῶς αὐτὸ 14.
τοῦτο τερατεύεσθαι. Γενομένου δέ φησι τȣ́τȣ διά τινα αἰτίαν, ȣ̓χὶ πάντως εἰσελεύσεσθαι καὶ 15.
θελόντων αὐτῶν καὶ μή; Τῶν δὲ ἱερέων ἐν ταῖς ἁγίαις ἐσθήσεσι προπεσόντων, καὶ δεομένων τȣ͂ 16.
μεγίςȣ Θεȣ͂ βοηθεῖν τῇ ἐνεςώσῃ ἀνάγκῃ, καὶ τὴν ὁρμὴν τȣ͂ κακῶς ἐπιβαλλομένου μεταθεῖναι,
κραυγῆς τε μετὰ δακρύων τὸ ἱερὸν ἐμπλησάντων, Οἱ κατὰ τὴν πόλιν ἀπολιπόμενοι, ταραχθέν- 17.
τες ἐξεπήδησαν, ἄδηλον τιθέμενοι τὸ γινόμενον. Αἵ τε κατάκλειςοι παρθένοι ἐν θαλάμοις σὺν 18.
ταῖς τεκȣ́σαις ἐξώρμησαν· καὶ σποδῷ καὶ κόνει τὰς κεφαλὰς πασάμεναι, γόων τε καὶ ςεναγμῶν
τὰς πλατείας ἐνεπίμπλων. Αἱ δὲ καὶ προσαρτίως ἐςαλμέναι, τȣ̀ς πρὸς ἀπάντησιν διατεταγμέ- 19.
νους παςȣ̀ς, καὶ τὴν ἁρμόζουσαν αἰδῶ παραλείπȣσαι, δρόμον ἄτακτον ἐν τῇ πόλει συνίσαντο.
Τὰ δὲ νεογνὰ τῶν τέκνων, αἵ τε πρὸς τȣ́τοις μητέρες καὶ τιθηνοὶ παραλιπȣ͂σαι ἄλλως καὶ ἄλ- 20.
λως, αἱ μὲν κατ' οἴκους, αἱ δὲ κατὰ τὰς ἀγυιὰς ἀνεπιτρέπτως εἰς τὸ πανυπέρτατον ἱερὸν ἠθροί-
ζοντο. Ποικίλη δὲ ἦν τῶν εἰς τȣ͂το συλλεγομένων ἡ δέησις ἐπὶ τοῖς ἀνοσίως ὑπ' ἐκείνȣ κατεγχει- 21.
ρȣμένοις. Σύν τε τȣ́τοις οἱ τῶν πολιτῶν θρασυνθέντες οὐκ ἠνείχοντο τέλεον αὐτȣ͂ ἐπικειμένου, 22.
καὶ τὸ τῆς προθέσεως αὐτȣ͂ ἐκπληρȣ͂ν διανοȣμένου. Φωνήσαντες δὲ τὴν ὁρμὴν ἐπὶ τὰ ὅπλα ποι- 23.
ήσασθαι, καὶ θαῤῥαλέως ὑπὲρ τȣ͂ πατρῴου νόμου τελευτᾷν, ἱκανὴν ἐποίησαν ἐν τῷ τόπῳ τραχύ-

XI. γίνεσθαι τȣ͂το] γενεσθαι τȣτο 62. Compl. τοῖς ἐκ τȣ͂ ἔθνους] τοις εθνεσιν III. τȣς εκ τȣ εθνȣς 93. ἐξεῖναι εἰσιέναι] ^ εισιεναι 19, 62, 64. 93. Ald. ^ εξειναι 23, 55. habet ἐξεῖναι in charact. minore Alex. μηδὲ πᾶσι] μη τε πασι 55. μηδε τοις εκ τȣ εθνους ἐξεῖ πασι 62. ἀλλ' ἢ μόνῳ] αλλ' ἢ μονον 19, 62. καὶ τȣ́τῳ] και τουτο 44, 71. ἅπαξ κατ' ἐνιαυτὸν] κατ' ενιαυτον απαξ 23, 44, 55, 71. Compl. Alex. ȣ̓δαμῶς ἠθέλετο πείθεσθαι] ȣδαμως αυτος εφαινετο πειθεσθαι 19, 62, 93. ὁ δε ȣδαμως επειθετο 23, 44, 55. Compl. Alex. ȣδαμως αυτος εβȣλετο πειθεσθαι 64. ὁ δε ουκ επειθετο 71. ȣδαμως επειθετο 74.

XII. Τȣ͂ τε νόμȣ—εἰσελθεῖν] ^ cum intermed. 71. παραναγνωσθέντος] παραγνωσθεντος III. ȣ̓δαμῶς ἀπέλιπε] ȣδ' ως απελιπε III, 55. ȣδαμως απελειπε 74. Compl. ȣδ' ως απελειπε 93. προφερόμενος ἑαυτὸν] προσφερομενος εαυτον 74. καὶ εἰ ἐκεῖνοι] ^ και 71. ἐμὲ οὐ δεῖ] εμε δε οὐ δει 23, 55, 62, 64, 93. Alex.

XIII. Commata 13. 14. et 15. desunt 71. διὰ τίνα αἰτίαν] δια ποιαν αιτιαν 55. δι' ἣν αιτιαν 93. εἰσερχ. αὐτὸν] tr. Alex. εἰς πᾶν] εἰς πᾶν τε Alex.

XIV. τȣ͂το τερατεύεσθαι] τȣτο πρατ]εσθαι 19, 62, 64, 93. Ald.

XV. Γενομένȣ δὲ] γινομενȣ δε 62, 64, 74. Compl. φησι τȣ́τȣ] εφη τȣτȣ 19, 62, 64. τȣτȣ εφη 93. διά τινα αἰτίαν] δια τινα αιτιαν εισερχομενον αυτον εις παν τεμενος, ȣθεις εκωλυσε των παροντων 74. ȣ̓χὶ πάντως εἰσελεύσεσθαι] ȣχι παντων εισελευσεσθαι III. ȣχι παντες εισελευσεσθαι (corr. sec. m. εισελευσεσθε) 23. ȣχι παντος εισελευσεσθαι με 62. + με 64. Ald. ȣχι παντως εισελευσομαι 93. καὶ θελόντων αὐτῶν] καθελοντων αυτων 62.

XVI. Τῶν δὲ ἱερέων—Θεȣ͂] και οἱ ιερεις προσεπεσον τȣ Θεȣ δεομενοι 71. ἐν ταῖς ἁγίαις] εν πασαις ταις 23, 44, 55, 74. Ald. ἐν πάσαις ταῖς ἁγίαις (cum ἁγίαις in charact. min.) Alex. ἐσθήσεσι προπεσόντων] εσθησι προπεσοντων 19. αισθησεσιν προσπεσοντων (23. ex corr.) 64 Ald. εσθησεσι προσπεσοντων (62, 93. scr. εσθησι) Alex. καὶ δεομένων] ^ και 62. τȣ͂ μεγίςȣ Θεȣ͂] τȣ μεγαλȣ Θεȣ 23. βοηθεῖν] βοηθησει 93. τῇ ἐνεςώσῃ ἀνάγκῃ] τοις ενεςωσιν III, 19, 23, 55, 62, 64, 93. τῇ ἐφεςώσῃ ἀνάγκῃ Ald. καὶ τὴν ὁρμὴν] + αυτȣ εκκοψαι 71. τȣ͂ κακῶς &c. ad fin. com. seq.] ^ 71. τȣ͂ κακῶς ἐπιβαλλομένου] τȣ κακως επικειμενου 64. μεταθεῖναι] μετατεθηναι 44. κραυγῆς τε] κραυγης δε 23. ^ τε 93.

XVII. Οἱ κατὰ] οἱ δε κατα 44. ἀπολιπόμενοι] απολειπομενοι 44, 74. Ald. Alex. ἄδηλον τιθέμενοι] ἄδηλόν τι θέμενοι Compl. τὸ γινόμενον] τι γιγνομενον 93.

XVIII. Αἵ τε κατάκλειςοι] ^ 71. ἐξώρμησαν] εξωρθρησαν 55. καὶ σποδῷ] και απεδωκαν III, 23, 55, 71, 74. Ald. καὶ σποδῷ—κεφαλὰς] και απεδωκαν κονει τας κωμας (sic) 44. καὶ κόνει] ^ και 23, 55. κονιν 71, 74. Ald. habet καὶ in charact. minore Alex. τὰς κεφαλὰς πασάμεναι] τας κομας πασαμεναι 23, 55, 71, 74. Alex. τας κεφαλας πασαμενοι 64. Ald. τὰς κόμας πασσόμεναι Compl. γόων τε] πȣγε III. γοȣ τε 23, 44, 55, 74. Compl. τὰς πλατείας ἐνεπίμπλων] ενεπλησαν τας πλατειας 19, 64, 93. ενεπιμπλων τας πλατειας 23, 55. ενεπλεισαντας (corr. ενεπλησαντας) πλατειας 62. ἐνεμπίπλων τὰς πλατείας Alex.

XIX. Totum comma deest 71. Αἱ δὲ καὶ προσαρτίως ἐςαλμέναι] αἱ δε και αρτιως προσεςαλμεναι 19, 62, 64, 93. τοὺς πρὸς—παςȣ̀ς] τους προς απαν νυν διατεταγμενην III. τους προς απαν νυν διατεταγμενους 23, 55. τους προς απαντας νυν διατεταγμενους 74. τȣ̀ς πρὸς ἀπάντησιν] τȣς προς απαντας 44. Compl. τȣς προς απατειν 93. διατεταγμένους] praemitt. νυν 44. Compl. παςȣ̀ς] ^ 44. Compl. ἐν τῇ πόλει] habet in charact. minore Alex.

XX. Τὰ δὲ νεογνὰ] τα τε νεογνω 62. τα τε νεογνα 64, 93. αἵ τε πρὸς τȣ́τοις] ^ τε 55, 62, 64, 93. Ald. αἵ τε πρὸς τȣ́τοις—παραλιπȣ͂σαι] αἳ δε παραλιπȣσαι αἵ τε προς τȣτοις μητερες και τιθηνοι παραλιπουσαι 44. παραλιπȣ͂σαι] παραλειπομεναι 19, 62, 64, 93. Ald. παραλείπȣσαι Alex. ἄλλως καὶ ἄλλως—ἀνεπιτρέπτως] ^ cum intermed. 71. αἱ μὲν κατ' οἴκους] και μεν κατ' οικους III. κατὰ τὰς ἀγυιὰς] ^ τας 62, 64, 93. ἀνεπιτρέπτως] ανεπιςρεπτως 64, 93. Alex. εἰς τὸ πανυπέρτατον ἱερὸν] ^ πανυπερτατον 44, 71. επι το πανυπερτατον ιερον 55.

XXI. Ποικίλη δὲ ἦν] ^ 71. τῶν εἰς τȣ͂το—ἡ δέησις] δεομενοι τȣ Θεȣ των εις τουτο συλλεγεντων 71. εἰς τȣ͂το συλλεγομένων] εις τȣτο συλλεγεντων 23, 44, 55, 74. Compl. Alex. ἡ δέησις] ^ ἡ Alex. ἐπὶ τοῖς ἀνοσίως] επι τοις ανοσιοις 23. ἐπὶ τοῖς ἀνοίως Compl. κατεγχειρȣμένοις] κατεγκεχειρημενοις 55.

XXII. οἱ τῶν πολιτῶν] οἱ παρα των πολιτων 19, 62, 64, 93. οἱ περι των πολιτων 23. (Alex. cum περὶ inter uncos.) οἱ περιξ των πολιτων 55. τέλεον αὐτȣ͂] πλειον αυτȣ 19, 62. πλεον αυτȣ 64, 93. ἐπικειμένου] επιδεικνυμενου 55. καὶ τὸ τῆς &c. ad fin. com.] ^ 71. προθέσεως αὐτȣ͂] ^ αυτȣ 19, 23, 44, 55, 62, 74, 93. Compl. προαιρεσεως αυτȣ 64. Ald. habet αὐτȣ͂ in charact. minore Alex. ἐκπληρȣ͂ν διανοȣμένου] εκπληρȣν βȣλομενου 19, 62, 64. εκπληρειν βουλομενου 93.

XXIII. Φωνήσαντες δὲ] φωνησαντος δε 23. καὶ θαῤῥαλέως] ^ θαρραλεως 71. ὑπὲρ τȣ͂ πατρῴȣ] υπο τȣ πατρωȣ III. υπερ τȣ πατριου 64. επι τȣ πατριου 93. ἱκανὴν ἐποίησαν] ικανην εποιησατο 44. ικανην εποιησαντο 62, 64, 93. ἐν τῷ τόπῳ τραχύτητα] ^ εν 62. μόλις τε—γεραιῶν] μολις δε απο των ιερεων 19, 62. μολις δε απο των γερεων (sec. m. γεραιων) 23. μολις τε υπο των ιερεων 55. μολις τε απο τε των ιερεων 64. Ald. sic, nisi μολις δε, 93. μολις τε

ΚΕΦ. I.

τῆτα, μόλις τε ὑπό τε τῶν γεραιῶν καὶ τῶν πρεσβυτέρων ἀποτραπέντες ἐπὶ τὴν αὐτὴν τῆς δεήσεως
24. 25. ἔστησαν στάσιν. Καὶ τὸ μὲν πλῆθος, ὡς ἔμπροσθεν, ἐν τούτοις ἀνεστρέφετο δεόμενον. Οἱ δὲ περὶ
τὸν βασιλέα πρεσβύτεροι πολλαχῶς ἐπειρῶντο τὸν ἀγέρωχον αὐτοῦ νοῦν ἐξιστάνειν τῆς ἐντεθυμη-
26. μένης βουλῆς. Θρασυνθεὶς δὲ καὶ πάντα παραπέμψας, ἤδη καὶ πρόσβασιν ἐποιεῖτο, τέλος ἐπι-
27. θήσειν δοκῶν τῷ προειρημένῳ. Ταῦτ' οὖν καὶ οἱ περὶ αὐτὸν ὄντες θεωροῦντες, ἐτράπησαν εἰς τὸ
σὺν τοῖς ἡμετέροις ἐπικαλεῖσθαι τὸν πᾶν κράτος ἔχοντα, τοῖς παροῦσιν ἐπαμῦναι, μὴ παριδόντα
28. τὴν ἄνομον καὶ ὑπερήφανον πρᾶξιν. Ἐκ δὲ τῆς πυκνοτάτης τε καὶ ἐμπόνου τῶν ὄχλων συναγο-
29. μένης κραυγῆς, ἀνείκαστός τις ἦν βοή. Δοκεῖν γὰρ ἦν μὴ μόνον τοὺς ἀνθρώπους, ἀλλὰ καὶ τὰ τεί-
χη καὶ τὸ πᾶν ἔδαφος ἠχεῖν, ἅτε δὴ τῶν πάντων τότε θάνατον ἀλλασσομένων ἀντὶ τῆς τοῦ τόπου
βεβηλώσεως.

ΚΕΦ. II.

1. Ο ΜΕΝ οὖν ἀρχιερεὺς Σίμων ἐξεναντίας τοῦ ναοῦ κάμψας τὰ γόνατα, καὶ τὰς χεῖρας προτείνας
2. εὐτάκτως, ἐποιήσατο τὴν δέησιν τοιαύτην· Κύριε Κύριε βασιλεῦ τῶν οὐρανῶν, καὶ Δέσποτα πά-
σης κτίσεως, ἅγιε ἐν ἁγίοις, μόναρχε, παντοκράτωρ, πρόσχες ἡμῖν καταπονουμένοις, ὑπὸ ἀνοσίου
3. καὶ βεβήλου θράσει καὶ σθένει πεφρυαγμένου. Σὺ γὰρ ὁ κτίσας τὰ πάντα καὶ τῶν ὅλων ἐπι-
4. κρατῶν δυνάστης δίκαιος εἶ, καὶ τοὺς ὕβρει καὶ ἀγερωχίᾳ πράσσοντάς τι κρίνεις. Σὺ τοὺς ἔμπρο-
σθεν ἀδικίαν ποιήσαντας, ἐν οἷς καὶ γίγαντες ἦσαν ῥώμῃ καὶ θράσει πεποιθότες, διέφθειρας,
5. ἐπαγαγὼν αὐτοῖς ἀμέτρητον ὕδωρ. Σὺ τοὺς ὑπερηφανίαν ἐργαζομένους Σοδομίτας, διαδήλους ταῖς
6. κακίαις γενομένους, πυρὶ καὶ θείῳ κατέφλεξας, παράδειγμα τοῖς ἐπιγινομένοις καταστήσας. Σὺ
τὸν θρασὺν Φαραὼ καταδουλωσάμενον τὸν λαόν σου τὸν ἅγιον Ἰσραήλ, ποικίλαις καὶ πολλαῖς δο-
7. κιμάσας τιμωρίαις, ἐγνώρισας τὴν σὴν δυναστείαν· ἐφ' αἷς ἐγνώρισας τὸ μέγα σου κράτος. Καὶ
ἐπιδιώξαντα αὐτὸν σὺν ἅρμασι καὶ ὄχλων πλήθει, ἐπέκλυσας βάθει θαλάσσης, τοὺς δὲ ἐμπι-
8. στεύσαντας ἐπὶ σοὶ τῷ τῆς ἁπάσης κτίσεως δυναστεύοντι, σώους διεκόμισας. Οἳ καὶ συνειδότες ἔργα
9. σῆς χειρός, ᾔνεσάν σε τὸν παντοκράτορα. Σύ, βασιλεῦ, κτίσας τὴν ἀπέραντον καὶ ἀμέτρητον
γῆν, ἐξελέξω τὴν πόλιν ταύτην, καὶ ἁγιάσας τὸν τόπον τοῦτον εἰς ὄνομά σοι τῷ τῶν ἁπάντων
ἀπροσδεεῖ, καὶ παρεδόξασας ἐν ἐπιφανείᾳ μεγαλοπρεπεῖ, σύστασιν ποιησάμενος αὐτοῦ πρὸς δόξαν

υπο τε των γηρεων 74. μόλις δὲ ὑπό τε τῶν γεραιῶν Alex. καὶ τῶν πρεσβυτέρων] ∧ των 19, 44, 62, 64, 93. ἐπὶ τὴν αὐτὴν &c. ad fin. com.] επι την δεησιν παρησαν 71. ἔστησαν στάσιν] παρησαν στασιν III, 19, 44, 55, 62, 64, 74. (93. scr. παρισαν) Compl. Ald.

XXIV. Καὶ τὸ μὲν πλῆθος] το δε πληθος 71. ὡς ἔμπροσθεν] + επομενον 64. ὡς ἔμπροσθεν &c. ad fin. com.] ∧ 71. ἐν τούτοις] habet ἐν in charact. minore Alex. ἀνεστρέφετο δεόμενον] απεστρεφετο δεομενον 19, 62.

XXV. Οἱ δὲ περὶ—πολλαχῶς] ∧ cum intermed. 71. πολλαχῶς ἐπειρῶντο] πολλα επειρωντο 64. Ald. τὸν ἀγέρωχον αὐτοῦ] τον απερωχον αυτου 93. νοῦν ἐξιστάνειν] νουν εξισταν 19, 62, 64, 93. Ald. τῆς ἐντεθυμημένης βουλῆς] της εντεθυμημενης επιβουλης III, 62, 93. ἐντεθυμημένης] εντεθησομενης 44.

XXVI. Θρασυνθεὶς δὲ] hîc incipit cap. ii. in Codice 44. καὶ πάντα] καὶ πάντας Alex. παραπέμψας] περιπέμψας Ald. τέλος ἐπιθήσειν] ∧ επιθησειν 71. τελος επιθησει 93. τῷ προειρημένῳ] των προειρημενων 23. το προσειρημενον 93.

XXVII. Deest comma integr. 71. τὸν πᾶν κράτος] τον το παν κρατος 19, 62, 93. μὴ παριδόντα] και μη περιιδοντα 23. sic, sine και, 55. τὴν ἄνομον] την εκνομον 19, 62, 64. (93. scr. εκνομων.)

XXVIII. Ἐκ δὲ τῆς &c. ad fin. com.] εκ δε της κραυγης του οχλου ανηκαστος ἦν βοη 71. Ἐκ δὲ τῆς πυκνοτάτης] εκ δε της πυκνοτητος 19, 23, 62, 64, 93. τε καὶ ἐμπόνου] ∧ τε 23, 93. τε και εκπονου 62. ἦν βοή] ἦν ἡ βοη 62, 93.

XXIX. καὶ τὸ πᾶν ἔδαφος] ∧ 71. ἅτε δὴ &c. ad fin. com.] ∧ 71. τότε θάνατον] ∧ τοτε 23. τον θανατον 62, 64, 93.

I. Totum comma deest 23, 44, 55, 71, 74. Compl. habet in char. minore Alex.

II. Κύριε Κύριε] και ειπον ομοθυμαδον, Κυριε Κυριε 44. Compl. sic, nisi ειπαν, 74. και ειπαν, Κυριε 71. βασιλεῦ] βασιλευς 74. καὶ Δέσποτα πάσης κτίσεως] ∧ 44, 71. πάσης κτίσεως] πασης της κτισεως 62. Alex. μόναρχε] ∧ 44, 71. μοναρχα 64. παντοκράτωρ] ∧ 44, 71. παντοκρατορ 74. Compl. καὶ βεβήλου θράσει] ∧ και βεβηλου 71. καὶ σθένει πεφρυαγ.] ∧ 71.

III. A com. 3. ad com. 19. incluſ. desunt omnia 71. Σὺ γὰρ] σὺ γὰρ εἶ Alex. πράσσοντάς τι] tr. 55. Compl. Alex. τι κρίνεις] ∧ τι 23. κρινεῖς 44.

IV. ἀδικίαν ποιήσαντας] αδικιαν ποιησαντες 62. καὶ γίγαντες] habet καὶ in charact. minore Alex. καὶ θράσει πεποιθότες] και θρασει πεποιθοτας 19, 62. και ορασει πεποιθοτες 93. ἐπαγαγὼν αὐτοῖς] επαγαγων αυτους III.

V. Com. 5. 6. 7. et 8. desunt 44. διαδήλους] αδηλους III. καὶ θείῳ κατέφλεξας] και θειω καταφλεξας 64. καταστήσας] κατεστησαις 64.

VI. τὸν θρασὺν] τους θρασεις 93. ποικίλαις καὶ πολλαῖς] ∧ και πολλαις 62. δοκιμάσας τιμωρίαις] εδοκιμασας τιμωριαις III. δαμασας τιμωριαις 19, 62, 64, 93. τὴν σὴν δυναστείαν] την σην δυναμιν III. ∧ 23. ∧ σην 74. Compl. ἐφ' αἷς ἐγνώρισας] ∧ 23. ἐφ' αἷς ἐγνώησαν (sic) 93.

VII. Καὶ ἐπιδιώξαντα αὐτὸν] επιδιωξαν αυτο 19. επιδιωξαν αυτον 62. καὶ ὄχλων πλήθει] και οχλου πληθει 64. βάθει θαλάσσης] βαθει θαλασση 93. τοὺς δὲ ἐμπιστεύσαντας] τους δε πιστευσαντας 55.

VIII. Οἳ καὶ συνειδότες] ∧ οἱ 19. οἱ και συνιδοντες 23. Alex. και συνιδοντες 62. και συνειδοντες 93.

IX. κτίσας—γῆν] εκτισας την αμετρητον και απεραντον γην 23. τὴν ἀπέραντον] τὴν ἀπέρατον Alex. τὴν πόλιν ταύτην] ∧ την 55. καὶ ἁγιάσας] και ηγιασας 19, 23, 55, 62, 64, 74, 93. Compl. Ald. Alex. και ηγαπησας 44. εἰς ὄνομά σοι] εις ονομα σου 23, 55. εἰς σὸν ὄνομά σοι (cum σοι inter uncos) Alex. τῷ τῶν ἁπάντων] ∧ τω 44. τω των παντων 62. ἀπροσδεεῖ] πατερι 23. καὶ παρεδόξασας] και παρεδοξας 93. ἐν ἐπιφανείᾳ] ∧ εν 23. Compl. ποιησάμενος αὐτοῦ] ποιησάμενος ἑαυτοῦ Ald. τοῦ μεγάλου] του μεγαλοπρεπου 93.

τοῦ μεγάλου καὶ ἐντίμου ὀνόματός σου. Καὶ ἀγαπῶν τὸν οἶκον τοῦ Ἰσραὴλ, ἐπηγγείλω δὴ ὅτι ἐὰν 10.
γένηται ἡμῶν ἀποστροφὴ, καὶ καταλάβῃ ἡμᾶς στενοχωρία, καὶ ἐλθόντες εἰς τὸν τόπον τοῦτον δεηθῶ-
μεν, εἰσακούσῃ τῆς δεήσεως ἡμῶν. Καὶ δὴ πιστὸς εἶ καὶ ἀληθινός. Ἐπεὶ δὲ πλεονάκις θλιβέν- 11. 12.
των τῶν πατέρων ἡμῶν ἐβοήθησας αὐτοῖς ἐν τῇ ταπεινώσει, καὶ ἐῤῥύσω αὐτοὺς ἐκ μεγάλων κινδύ-
νων, Ἰδοὺ δὴ νῦν, ἅγιε βασιλεῦ, διὰ τὰς πολλὰς καὶ μεγάλας ἡμῶν ἁμαρτίας καταπονούμεθα, καὶ 13.
ὑπετάγημεν τοῖς ἐχθροῖς ἡμῶν, καὶ παρείμεθα ἐν ἀδυναμίαις. Ἐν δὲ τῇ ἡμετέρᾳ καταπτώσει ὁ 14.
θρασὺς καὶ βέβηλος οὗτος ἐπιτηδεύει καθυβρίσαι τὸν ἐπὶ τῆς γῆς ἀναδεδειγμένον τῷ ὀνόματι τῆς
δόξης σου ἅγιον τόπον. Τὸ μὲν γὰρ οἰκητήριόν σου οὐρανὸς τοῦ οὐρανοῦ ἀνέφικτος ἀνθρώποις ἐστίν. 15.
Ἀλλ' ἐπεὶ εὐδοκήσας τὴν δόξαν σου ἐν τῷ λαῷ σου Ἰσραὴλ, ἡγίασας τὸν τόπον τοῦτον. Μὴ ἐκδική- 16. 17.
σῃς ἡμᾶς ἐν τῇ τούτων ἀκαθαρσίᾳ, μηδὲ εὐθύνῃς ἡμᾶς ἐν βεβηλώσει· ἵνα μὴ καυχήσωνται οἱ πα-
ράνομοι ἐν θυμῷ αὐτῶν, μηδὲ ἀγαλλιάσωνται ἐν ὑπερηφανίᾳ γλώσσης αὐτῶν, λέγοντες, Ἡμεῖς 18.
κατεπατήσαμεν τὴν οἶκον τοῦ ἁγιασμοῦ, ὡς καταπατοῦνται οἱ οἶκοι τῶν προσοχθισμάτων. Ἀπά- 19.
λειψον τὰς ἁμαρτίας ἡμῶν, καὶ διασκέδασον τὰς ἀμπλακίας ἡμῶν, καὶ ἐπίφανον τὸ ἔλεός σου
κατὰ τὴν ὥραν ταύτην. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, καὶ δὸς αἰνέσεις ἐν 20.
στόματι τῶν καταπεπτωκότων καὶ συντετριμμένων τὰς ψυχὰς, ποιήσας ἡμῖν εἰρήνην. Ἐνταῦθα ὁ 21.
πάντων ἐπόπτης Θεὸς, καὶ πρὸ πάντων ἅγιος ἐν ἁγίοις εἰσακούσας τῆς ἐνθέσμου λιτανείας, τὸν
ὕβρει καὶ θράσει μεγάλως ἐπηρμένον ἐμάστιξεν αὐτὸν, Ἔνθεν καὶ ἔνθεν κραδάνας αὐτὸν ὡς κά- 22.
λαμον ὑπὸ ἀνέμου, ὥστε κατ' ἐδάφους ἄπρακτον ἔτι, καὶ τοῖς μέλεσι παραλελυμένον, μηδὲ φωνῆσαι
δύνασθαι δικαίᾳ περιπεπλεγμένον κρίσει. Ὅθεν οἵ τε φίλοι καὶ οἱ σωματοφύλακες αὐτοῦ τα- 23.
χεῖαν καὶ ὀξεῖαν ἰδόντες τὴν καταλαβοῦσαν αὐτὸν εὐθύναν, φοβούμενοι μὴ καὶ τὸ ζῆν ἐκλείπῃ, τα-
χέως αὐτὸν ἐξείλκυσαν ὑπερβάλλοντι καταπεπληγμένοι φόβῳ. Ἐν χρόνῳ δὲ ὕστερον ἀναλεξάμενος 24.
ἑαυτὸν, οὐδαμῶς εἰς μεταμέλον ἦλθεν ἐπιτιμηθεὶς, μετ' ἀπειλῆς δὲ πικρᾶς ἀνέλυσε. Διακομι- 25.
σθεὶς δὲ εἰς τὴν Αἴγυπτον, καὶ τὰ τῆς κακίας ἐπαύξων, διὰ δὲ τῶν προαποδεδειγμένων συμποτῶν
καὶ ἑταίρων τοῦ παντὸς δικαίου κεχωρισμένων, Οὐ μόνον ταῖς ἀναριθμήτοις ἀσελγείαις διηρκέσθη, 26.

X. ἐπηγγείλω δὴ ὅτι] επηγγειλω διοτι III, 23, 64, 93. ἡμῶν ἀποστροφὴ] ημων ἡ αποστροφη 23, 62, 64, 93. εἰς τὸν τόπον τοῦτον] εις τον τοπον ημων III.

XI. πιστὸς εἶ] habet εἶ in charact. minore Alex. καὶ ἀληθινός] και αληθης (62. ex corr.) 64. και αληθεις 93.

XII. θλιβέντων] θλιβοντων 93. præmitt. καὶ inter uncos Alex. ἐῤῥύσω αὐτοὺς] ∧ αυτους 23. ἐκ μεγάλων κινδύνων] εκ μεγαλων κακων III, 23, 55, 74. Compl.

XIII. Ἰδοὺ δὴ νῦν] ιδου δε νυν III. Compl. Ald. ∧ δη 44, 62, 93. ἅγιε βασιλεῦ] αγιε βασιλευς 74. καὶ μεγάλας] ∧ 44. καταπονούμεθα] præmitt. και 55. τοῖς ἐχθροῖς ἡμῶν] ∧ τοῖς Alex. καὶ παρείμεθα] ∧ 93. καὶ παρείμεθα &c. ad fin. com. 15.] ∧ 44. ἐν ἀδυναμίαις] + ημων 19, 62, 64. εν αδυναμια 23. ∧ 93.

XIV. Ἐν δὲ τῇ] ∧ δε 55, 62, 64, 93. Ald. ἡμετέρᾳ καταπτώσει] ημετερα ταπεινωσει 62. ὁ θρασὺς] ὁ δε θρασυς 64, 93. Ald. καθυβρίσαι τὸν] και υβρισεν τον 93. τῷ ὀνόματι &c. ad fin. com.] επι τω ονοματι σου τω αγιω αγιον τοπον 74.

XV. οἰκητήριόν σου] κατοικητηριον σου 64. Alex. οὐρανὸς] præmitt. ὁ 62, 64, 93. ἀνέφικτος] ανεωκτος 93. ἀνθρώποις ἐστίν] tr. 19, 62, 64, 93.

XVI. ἡγίασας] αγιασας 23, 64. præmitt. και 62.

XVII. Μὴ ἐκδικήσῃς] μὴ καταδικάσῃς Ald. ἐν τῇ τούτων] εν τη των εχθρων 44. ἐν βεβηλώσει] εν τη βεβηλωσει 55, 93. εν τη τουτων βεβηλωσει 62. ἵνα μὴ καυχήσωνται] ινα μη καυχησονται 93. οἱ παράνομοι] + ουτοι 44. ἐν θυμῷ αὐτῶν] εν τω θυμω αυτων 55. εν θρασει αυτων (62. scr. αυτὸν) 64, 93. μηδὲ ἀγαλλ.—αὐτῶν 2°] ∧ cum intermed. 93. μηδὲ ἀγαλλιάσωνται &c. ad fin. com.] ∧ Ald.

XVIII. οἱ οἶκοι] οἱ οικον 62. τῶν προσοχθισμάτων] των προσοχθησαντων προσοχθισματων 93.

XIX. τὰς ἁμαρτίας ἡμῶν] τας αμπλακιας ημων 74. τὰς ἀμπλακίας ἡμῶν] τας αμβλακιας ημων 55. τας αμαρτιας ημων 74. τὰς ἀμβλακείας ἡμῶν Alex. τὸ ἔλεός σου] το προσωπον σου 19, 62, 64, 93.

XX. Ταχὺ—οἰκτιρμοί σου] ∧ cum intermed. 71. προκαταλαβ. ἡμᾶς] ∧ ημας 55, 62, 74. Compl. habet ἡμᾶς in charact. min. Alex. καὶ δὸς αἰνέσεις] και δος αινεσιν 55, 64. ἐν στόματι] εν τω στοματι 62. Alex. ποιήσας ἡμῖν εἰρήνην] ποιησον ημων ειρηνην 19. ποιησον ημιν ειρηνην 62, 64, 93.

XXI. Ἐνταῦθα—ἐν ἁγίοις] ∧ cum intermed. 71. Ἐνταῦθα ὁ πάντων] ενταυθα ὁ δε παντων 19, 62, 64, 93. Ald. Θεὸς, καὶ πρὸ] καὶ Θεὸς πρὸ Ald. καὶ πρὸ πάντων] και προπατωρ III, 23, 55, 93. καὶ πατροπάτωρ (sic) 62. εἰσακούσας] ακουσας 74. εἰσακούσας &c. ad fin. com.] και ὁ παντων Θεος εισακουσας της αυτων λιτανειας, τον θρασει επηρμενον εμαστιξεν αυτον 71. τὸν ὕβρει] τον αρτι υβρει 19, 62, 93. τον αρτι 64. ἐμάστιξεν αὐτὸν] ∧ αυτον 62, 64, 93.

XXII. Ἔνθεν καὶ ἔνθεν] ∧ 71. κραδάνας αὐτὸν] ∧ αυτον 71. ἄπρακτον ἔτι] + κεισθαι 19. + κεισαι 62. απρακτον κεισθαι ετι 64. Ald. sic, nisi ετι δε, 93. μηδὲ φωνῆσαι] præmitt. ωστε 19, 62, 93. ωστε μητε φωνησαι 64. ὥστε μὴ φωνῆσαι Ald. μηδε φωνῆσαι &c. ad fin. com.] ∧ cum intermed. 71. περιπεπλεγμένον κρίσει] πεπληγμενον κρισει III. πεπραμενον κρισει 19. περιπεπασμενον κρισει 23. περιπεπληγμενον κρισει 55. πεπαρμενον κρισει 62, 64. πεπραγμενον κρισει 93.

XXIII. Ὅθεν οἵ τε] ∧ τε 62, 64, 93. καὶ οἱ—ἰδόντες] και οἱ σωματοφυλακες αυτου οξειαν ιδοντες 19. και σωματοφυλακες ὀξειαν ιδοντες 55, 62. sic, nisi ειδοτες, 93. καὶ οἱ σωματοφύλακες] ∧ οἱ 64. αὐτοῦ ταχεῖαν καὶ] ∧ 23, 44, 71, 74. Compl. habet in charact. minore Alex. ἰδόντες] εἰδόντες Ald. εὐθύναν] ευθυνην 74. Ald. εὐθύνας Alex. ἐκλείπῃ] εκλιποι 44. εκλιπη 74. καταπεπληγμένοι φόβῳ] καταπεπληρωμενοι φοβω 62.

XXIV. ἀναλεξάμενος ἑαυτὸν] αναλεξαμενος εαυτο 55. αναδεξαμενος εαυτον 93. ἀναλεξάμενος αὐτὸν Alex. μετ' ἀπειλῆς &c. ad fin. com.] απειλας δε πικρας θεμενος ανελυσεν 19, 23, 62, 64, 93. απειλας δε πικρας ανελυσε 55. μετ' απειλης ανελυσε 71. μετ' ἀπειλῆς δὲ πικρᾶς] μετὰ ἀπειλῆς δὲ πικρᾶς θέμενος Alex.

XXV. εἰς τὴν Αἴγυπτον] εις την ερημον ὁ Φιλοπατωρ 62. + ὁ Φιλοπατωρ 64, 93. καὶ τὰ τῆς κακίας] και τας της κακιας 62. και μετα της κακιας 71. διὰ δὲ τῶν] δια τε των 55, 74. Compl. Alex. προαποδεδειγμένων] προυποδεδειγμενων 62, 64, 93. συμποτῶν] συμπονων 44, 71. Compl. Ald. ~~Alex.~~ ∧ 74. καὶ ἑταίρων] και ετερων 23, 64, 71, 93. Ald. κεχωρισμένων] κεχωρισμενον 23, 93.

XXVI. ταῖς ἀναριθμήτοις] ταις ανεξαριθμητοις 64. ταις εξανα-

ΚΕΦ. II.

ἀλλὰ καὶ ἐπὶ τοσοῦτον θράσους προῆλθεν, ὥστε δυσφημίας ἐν τοῖς τόποις συνίστασθαι, καὶ πολλοὺς
τῶν φίλων ἀτενίζοντας εἰς τὴν τοῦ βασιλέως πρόθεσιν καὶ αὐτοὺς ἕπεσθαι τῇ ἐκείνου θελήσει.
27. Προέθετο δὲ δημοσίᾳ κατὰ τοῦ ἔθνους διαδοῦναι ψόγον· καὶ ἐπὶ τοῦ κατὰ τὴν αὐλὴν πύργου στήλην
28. ἀναστήσας, ἐξεκόλαψε γραφὴν, Μηδένα τῶν μὴ θυόντων εἰς τὰ ἱερὰ αὐτῶν εἰσιέναι, πάντας δὲ
τοὺς Ἰουδαίους εἰς λαογραφίαν καὶ οἰκετικὴν διάθεσιν ἀχθῆναι, τοὺς δὲ ἀντιλέγοντας βίᾳ φερομέ-
29. νους τοῦ ζῆν μεταστῆσαι, Τούτους τε ἀπογραφομένους χαράσσεσθαι καὶ διὰ πυρὸς εἰς τὸ σῶμα παρα-
30. σήμῳ Διονύσου κισσοφύλλῳ, οὓς καὶ καταχωρίσαι εἰς τὴν προσυνεσταλμένην αὐθεντίαν. Ἵνα δὲ
μὴ τοῖς πᾶσιν ἀπεχθόμενος φαίνηται, ὑπέγραψεν, Ἐὰν δέ τινες ἐξ αὐτῶν προαιρῶνται ἐν τοῖς
31. κατὰ τὰς τελετὰς μεμυημένοις ἀναστρέφεσθαι, τούτους ἰσοπολίτας Ἀλεξανδρεῦσιν εἶναι. Ἔνιοι
μὲν οὖν ἐπὶ πόλεως τὰς τῆς πόλεως εὐσεβείας ἐπιβάθρας στυγοῦντες, εὐχερῶς ἑαυτοὺς ἐδίδοσαν, ὡς
32. μεγάλης τινὸς κοινωνήσοντες εὐκλείας ἀπὸ τῆς ἐσομένης τῷ βασιλεῖ συναναστροφῆς. Οἱ δὲ πλεῖ-
στοι γενναίᾳ ψυχῇ ἐνίσχυσαν, καὶ οὐ διέστησαν τῆς εὐσεβείας· τά τε χρήματα περὶ τοῦ ζῆν ἀντι-
33. καταλλασσόμενοι, ἀδεῶς ἐπειρῶντο ἑαυτοὺς ῥύσασθαι ἐκ τῶν ἀπογραφῶν. Εὐέλπιδες δὲ καθεισή-
κεισαν ἀντιλήψεως τεύξεσθαι καὶ τοὺς ἀποχωροῦντας ἐξ αὐτῶν ἐβδελύσσοντο, καὶ ὡς πολεμίους τοῦ
ἔθνους ἔκρινον, καὶ τῆς κοινῆς συναναστροφῆς καὶ εὐχρηστίας ἐστέρουν.

ΚΕΦ. III.

1. Α ΚΑΙ μεταλαμβάνων ὁ δυσσεβὴς, ἐπὶ τοσοῦτον ἐχόλησεν, ὥστε οὐ μόνον τοῖς κατ' Ἀλεξάνδρειαν
διοργίζεσθαι, ἀλλὰ καὶ τοῖς ἐν τῇ χώρᾳ βαρυτέρως ἐναντιωθῆναι, καὶ προσάξαι σπεύσαντας
2. συναγαγεῖν πάντας ἐπιτοαυτὸ, καὶ χειρίστῳ μόρῳ τοῦ ζῆν μεταστῆσαι. Τούτων δὲ οἰκονομουμένων,
φήμη δυσμενὴς ἐξηχεῖτο κατὰ τοῦ γένους ἀνθρώποις συμφρονοῦσιν εἰς κακοποίησιν, ἀφορμῆς διδο-
3. μένης εἰς διάθεσιν, ὡς ἂν ἀπὸ τῶν νομίμων αὐτοὺς κωλυόντων. Οἱ δὲ Ἰουδαῖοι τὴν μὲν πρὸς τοὺς
4. βασιλεῖς εὔνοιαν καὶ πίστιν ἀδιάστροφον ἦσαν διαφυλάσσοντες· Σεβόμενοι δὲ τὸν Θεὸν καὶ τῷ τού-
του νόμῳ πολιτευόμενοι, χωρισμὸν ἐποίουν ἐπί τινων καὶ καταστροφάς· δι' ἣν αἰτίαν ἐνίοις ἀπεχ-
5. θεῖς ἐφαίνοντο. Τῇ δὲ τῶν δικαίων εὐπραξίᾳ κοσμοῦντες τὴν συναναστροφὴν, ἅπασιν ἀνθρώποις

ριθμητοις 93. ἀσελγείαις διηρκέσθη] ασεβειαις διηρκεσθη 62. κακιαις διηρκεσθη 64. ασεβειας διηρκεσθη 93. καὶ ἐπὶ τοσοῦτον] και επι τοσουτο 55. θράσους προῆλθεν] θρασος προηλθεν 23, 55. ὥστε δυσφημίας] ωστε δυσφημας 55. τῶν φίλων] των φυλων 62. ἀτενίζοντας] ατενιζειν 23. καὶ αὐτοὺς ἕπεσθαι] και αυτους εσεσθαι 71.

XXVII. Προέθετο δὲ] ∧ δε 23, 55, 74. Compl. + ὁ βασιλευς 62, 64, 93. Ald. habet δὲ in charact. minore Alex. ψόγον] φοβον 44. καὶ ἐπὶ τοῦ] ∧ και 23, 44, 55, 74. Compl. habet καὶ in charact. minore Alex. καὶ ἐπὶ τοῦ—πύργου] και επι τους κατα την αυλην πυργους 19, 62, 64, 93. Ald. στήλην ἀναστήσας] στηλας αναστησας 64. ἐξεκόλαψε γραφὴν] εκολαψεν γραφην 23, 44, 71, 74. Compl. Alex.

XXVIII. μὴ θυόντων] μεθυοντων 74. εἰς τὰ ἱερὰ] επι τα ιερα III. αὐτῶν εἰσιέναι] αυτον εισιεναι 62. εἰς λαογραφίαν] εις λαογραφιαν 44. καὶ οἰκετικὴν διάθεσιν] και ικετικην διαθεσιν 71. τοὺς δὲ ἀντιλέγοντας] και τους αντιλεγοντας 62, 64, 93. βίᾳ φερομένους] διαφερομενους 93. τοῦ ζῆν μεταστῆσαι] του ζην μετανασησαι 19, 62. του ζην μεταστηναι 55.

XXIX. Τούτους τε] τους τε III, 44, 62, 64, 71, 74. Compl. Ald. ∧ τε 93. χαράσσεσθαι] χαρασσασθαι III. χαρας εσεσθαι 55. καὶ διὰ πυρὸς] ∧ και 62, 64, 93. Ald. εἰς τὸ σῶμα] ∧ 55. παρασήμῳ] παρασημους 62, 64. (93. scr. παρασιμους.) παρασήμῳ—καταχωρίσαι] παρασημους Διονυσω κισσοφυλλω· ους προκαταχωρισαι 19. Διονύσου] Διονυσω 23, 74. οὓς καὶ καταχωρίσαι] ους καταχωρησαι 23. ∧ και 44. ους και κατεχωρισεν 64. Ald. εἰς τὴν προσυνεσταλμένην] εις την προσυνεσταμενην 55. εις την προσυνεσταλμενων 62. εἰς τὴν προνομησαμένην Ald.

XXX. Ἵνα δὲ μὴ] ∧ μη 62. μὴ τοῖς πᾶσιν] τοις πασι μη 19, 64, 93. ἀπεχθόμενος] απεχομενος 19. απεχομενοις 23. Ἐὰν δέ τινες ἐξ αὐτῶν] εἰ δε τις αυτων 19, 62, 64, 93. προαιρῶνται ἐν τοῖς] προαιρηται τοις 19. προσαιρειται τοις 62. προηρηται τοις 64. προειρηται τοις 93. κατὰ τὰς τελετὰς] ∧ τὰς Alex. ἀναστρέφεσθαι] συναναστρεφεσθαι 19, 62, 64, 93. Ἀλεξανδρεῦσιν εἶναι] Αλεξανδρουσιν ειναι 74.

XXXI. Ἔνιοι μὲν οὖν] habet οὖν in charact. minore Alex. ἐπὶ πόλεως] ἐπιπολέως (sec. m. επιπολαιως) 23. τὰς τῆς πόλεως—στυγοῦντες] τοις της ευσεβους επι βάθροις πολιτειας στυχουντες (sic) 19. τοις της ευσεβους επι βαθροις πολιτειας στειχουντες 62. sic, nisi στοιχουντες, 64. τοις της ευσεβουσι επι βαθροις πολητειας στοιχουντες 93. πόλεως 2°] habet in charact. minore Alex. ἐπιβάθρας στυγοῦντες] ἐπιβάθρα στυγοῦνται Alex. εὐχερῶς] ευχευρως 93. ἐδίδοσαν] εδιδουν 19, 62, 64, 93. ὡς μεγάλης—εὐκλείας] ως μεγαλης ευκλειας κοινωνησοντες 44. κοινωνήσοντες] κοινωνησαντες 93. ἀπὸ τῆς ἐσομένης] υπο της εσομενης αυτοις 19, 62, 93. υπο της εσομενης 64. Compl.

XXXII. ἀντικαταλασσόμενοι] αντιλλασσομενοι 62. ἀδεῶς ἐπειρῶντο] ηδεως επειρωντο 64. ἑαυτοὺς ῥύσασθαι] εαυτους ρυεσθαι 19, 62, 64, 93.

XXXIII. Εὐέλπιδες δὲ] ευελπιδες τε III, 23, 62, 64. Compl. Εὐέλπιδες δὲ—τεύξεσθαι] ∧ cum intermed. 71. καὶ ὡς πολεμίους] και ως τους πολεμιους 62, 93. καὶ τῆς κοινῆς &c. ad fin. com.] ∧ 71. ἐστέρουν] + αμα 62.

I. Ἃ καὶ μεταλαμβ.] ∧ ἃ 62. Alex. αμα και μεταλαμβ. 64. ∧ 71. ὁ δυσσεβὴς] præmitt. και 71. ἐπὶ τοσοῦτον ἐχόλησεν] επι τοσουτον εχολασεν (sic) 71. ἐπὶ τοσοῦτον ἐξεχόλησεν Alex. τοῖς κατ' Ἀλεξάνδρειαν] ∧ τοις 74. Compl. Ald. διοργίζεσθαι] οργιζεσθαι III. διοριζεσθαι 23. βαρυτέρως ἐναντιωθῆναι] βαρυτερος εναντιωθηναι 93. σπεύσαντας] σπευσαντες 93. σπεύδοντας Alex.

II. Τούτων δὲ οἰκονομουμένων] τουτων δε οικοδομουμενων III. ἐξηχεῖτο] εξεχειτο III. ἀνθρώποις] ανθρωπους 44. εἰς κακοποίησιν] ∧ 74. διδομένης εἰς διάθεσιν] διδομενης εις μεταθεσιν 19. ὡς ἂν ἀπὸ] ∧ αν 62. τῶν νομίμων] τον νομων 64.

III. Οἱ δὲ Ἰουδαῖοι] οἱ δε οἱ Ιουδαιοι 93. πρὸς τοὺς βασιλεῖς] προς αυτους βασιλεις 44. ἦσαν διαφυλάσσοντες] ησαν φυλασσοντες III, 19, 55, 62, 64, 93.

IV. Σεβόμενοι δὲ] σεβομενοι δη 23. ∧ δε 55. σεβομενοι τε 62, 64, 93. καὶ τῷ τούτου] και τω αυτου 55. νόμῳ πολιτευόμενοι] νομω πολιτευεσθαι 93. χωρισμὸν—καταστροφάς] χωρισμον εποιουντο κατα τας τροφας 19. ἐποίουν] εποιουντο 55, 93. ἐπί τινων] επι τω 23. ∧ 55. τω 62. επι αυτοις 64. Ald. επι τοις 93. ἐπί τινων καὶ] επι τω III. καὶ καταστροφάς] κατα τας τροφας (23. legitur conjunct.) 62, 64. κατα γραφας (marg. corr. καταστροφας) 55. ∧ και 93. κατὰ στροφάς Ald. ἐνίοις ἀπεχθεῖς] ενιοι απεχθεις III. ενιοις επαχθεις 74.

V. τὴν συναναστροφὴν] την αναστροφην 19, 62. καθεισήκεισαν] καθεστηκασιν 93.

εὐδόκιμοι καθεςήκεισαν. Τὴν μὲν ἒν περὶ τῒ γένες ἐν πᾶσι θρυλλεμένην εὐπραξίαν οἱ ἀλλό- 6.
φυλοι ἐδαμῶς διηριθμήσαντο. Τὴν δὲ περὶ τῶν προσκυνήσεων καὶ τροφῶν διάςασιν ἐθρύλλουν, 7.
φάσκοντες μήτε τῷ βασιλεῖ μήτε ταῖς δυνάμεσιν ὁμοσπόνδες τὲς ἀνθρώπους γενέσθαι, δυσμενεῖς
δὲ εἶναι καὶ μέγα τι τοῖς πράγμασιν ἐναντιεμένες· καὶ οὐ τῷ τυχόντι περιῆψαν ψόγῳ. Οἱ δὲ 8.
κατὰ τὴν πόλιν Ἕλληνες ἐδὲν ἠδικημένοι, ταραχὴν ἀπροσδόκητον περὶ τὲς ἀνθρώπες θεωρῦντες,
καὶ συνδρομὰς ἀπροσκόπους γινομένας, βοηθεῖν μὲν οὐκ ἔσθενον· τυραννικὴ γὰρ ἦν ἡ διάθεσις·
παρεκάλεν δὲ καὶ δυσφόρως εἶχον, καὶ μεταπεσεῖσθαι ταῦτα ὑπελάμβανον. Μὴ γὰρ ἕτως πα- 9.
ροραθήσεται τηλικῦτο σύςημα μηδὲν ἠγνοηκώς. Ἤδη δὲ καί τινες γείτονές τε καὶ φίλοι καὶ συμ- 10.
πραγματευόμενοι, μυςικῶς τινας ἐπισπώμενοι, πίςεις ἐδίδεν συνασπιεῖν, καὶ πᾶν ἐκτενὲς προσ-
οίσεσθαι πρὸς ἀντίληψιν. Ἐκεῖνος μὲν οὖν τῇ κατὰ τὸ παρὸν εὐημερίᾳ γεγαυρωμένος, καὶ οὐ 11.
καθορῶν τὸ τῒ μεγίςε Θεῒ κράτος, ὑπολαμβάνων δὲ διηνεκῶς ἐν τῇ αὐτῇ διαμένειν βελῇ ἔγραψε
κατ᾽ αὐτῶν ἐπιςολὴν τήνδε. Βασιλεὺς Πτολεμαῖος Φιλοπάτωρ τοῖς κατ᾽ Αἴγυπτον, καὶ κατὰ τό- 12.
πον ςρατηγοῖς καὶ ςρατιώταις, χαίρειν καὶ ἐῤῥῶσθαι. Ἔῤῥωμαι δὲ καὶ ἐγὼ αὐτὸς καὶ τὰ πρά- 13.
γματα ἡμῶν. Ἐκ τῆς εἰς τὴν Ἀσίαν γενομένης ἡμῖν ἐπιςρατείας, ἧς ἴςε καὶ αὐτοὶ, τῇ τῶν θεῶν 14.
πρὸς ἡμᾶς ἀπροπτώτῳ συμμαχίᾳ, καὶ τῇ ἡμετέρᾳ δὲ ῥώμῃ κατὰ λόγον ἐπ᾽ ἄριςον τέλος ἀχθεί-
σης, Ἡγησάμεθα μὴ βίᾳ δόρατος, ἐπιεικείᾳ δὲ καὶ πολλῇ φιλανθρωπίᾳ τιθηνήσασθαι τὰ κατ- 15.
οικῦντα κοίλην Συρίαν καὶ Φοινίκην ἔθνη, εὐποιῆσαί τε ἀσμένως. Καὶ τοῖς κατὰ πόλεσιν ἱεροῖς 16.
ἀπονείμαντες προσόδους πλείςας, προήχθημεν καὶ εἰς τὰ Ἱεροσόλυμα, ἀναβάντες τιμῆσαι τὸ
ἱερὸν τῶν ἀλιτηρίων καὶ μηδέποτε ληγόντων τῆς ἀνοίας. Οἱ δὲ λόγῳ μὲν τὴν ἡμετέραν ἀποδεξά- 17.
μενοι παρεσίαν, τῷ δὲ πράγματι νόθως, προθυμηθέντων ἡμῶν εἰσελθεῖν εἰς τὸν ναὸν αὐτῶν, καὶ
τοῖς ἐκπρεπέσι καὶ καλλίςοις ἀναθήμασι τιμῆσαι, Τύφοις φερόμενοι παλαιοτέροις, εἶρξαν ἡμᾶς 18.
τῆς εἰσόδε, ἀπολειπόμενοι τῆς ἡμετέρας ἀλκῆς, δι᾽ ἣν ἔχομεν πρὸς ἅπαντας ἀνθρώπες φιλανθρω-
πίαν. Τὴν δὲ αὐτῶν εἰς ἡμᾶς δυσμένειαν ἔκδηλον καθιςάντες, ὡς μονώτατοι τῶν ἐθνῶν βασιλεῦσι 19.
καὶ τοῖς ἑαυτῶν εὐεργέταις ὑψαυχενῦντες, ἐδὲν γνήσιον βέλονται φέρειν. Ἡμεῖς δὲ τῇ τέτων 20.
ἀνοίᾳ συμπεριενεχθέντες, καὶ μετὰ νίκης διακομισθέντες, καὶ εἰς τὴν Αἴγυπτον τοῖς πᾶσιν ἔθνεσι
φιλανθρώπως ἀπαντήσαντες, καθὼς ἔπρεπεν ἐποιήσαμεν. Ἐν δὲ τέτοις πρὸς τὲς ὁμοφύλους αὐ- 21.

VI. θρυλλουμένην] θρυλλουμενων 74. διηριθμήσαντο] διηρμωσαντο 44.

VII. γενέςθαι] γινεσθαι 44, 55, 71, 74. Compl. Alex. καὶ μέγα τι] ‸ τι 55. περιῆψαν ψόγῳ] περιηψαντο φοβω III. περιηψαν ψογον 93. περιήψαντο ψόγῳ Alex.

VIII. περὶ τὲς ἀνθρώπους] περὶ τὲς ἄνδρας Alex. ἐκ ἔσθενον] εκ εςενον 71. ἐκ ἔσθανον Alex. ἦν ἡ διάθεσις] ‸ ἡ 64. καὶ μεταπεσεῖσθαι] μεταπεσεισθαι τε Compl.

IX. παροραθήσεται] παροραθησεσθαι 23, 55, 71, 93. Alex. παραδοθησεσθαι 44. παραθησεσθαι 64. Ald. παροραθήσεται τηλικῦτο] παροραθησεσθαι τηλικουτον 19, (62. ex corr.) 74. μηδὲν ἠγνοηκώς] μηδεν ηγνοηκος III, 23, 64. Ald.

X. γείτονέςτε] ‸ τε 64. καὶ συμπραγματευόμενοι] ‸ και 62, 64, 93. τινας ἐπισπώμενοι] τινας επεσπωντο 55. τινας επιπομενοι (sic) 93. συνασπιεῖν] συνασπισειν 23. συνασπιζειν 64. Ald. καὶ πᾶν ἐκτενὲς] και παντας εκτενες (παντας ex corr. sec. m.) 23. προσοίσεσθαι] ‸ 64. προσιεσθαι 71, 74. Compl. Ald.

XI. Ἐκεῖνος μὲν ἒν] ‸ εν 62. τὸ τῒ μεγίςε Θεῒ] το τε Θεε μεγιςον 71. ἐν τῇ αὐτῇ &c. ad fin. com.] εν τη τοιαυτη διαμενειν δυναμει εγραψεν επιςολην κατ᾽ αυτων τηνδε 19, 62. sic, nisi εν τη αυτη, 64, 93. ἐπιςολὴν τήνδε] ετως 44.

XII. καὶ κατὰ τόπον] ‸ και 62, 93. ‸ 71. καὶ ςρατιώταις] ‸ και 55. ‸ 71. καὶ ἐῤῥῶσθαι] ‸ και 44. ‸ 71.

XIII. Deest comma integrum 71. καὶ ἐγὼ αὐτὸς] και αυτος εγω 44, 64. Alex.

XIV. Ἐκ τῆς] ‸ εκ 44, 55, 71, 74. Compl. Alex. εἰς τὴν Ἀσίαν] κατα την Ασιαν 23. επι την Ασιαν 71. ἡμῖν ἐπιςρατείας] ημιν ςρατειας 93. ἧς ἴςε καὶ αὐτοὶ &c. ad fin. com.] ‸ 71. καὶ αὐτοὶ] και αυτος 93. τῇ τῶν θεῶν &c. ad fin. com.] τη των θεων απρωιτω συμμαχια κατα λογον επι τελος αχθεισας 19. πρὸς ἡμᾶς] ‸ 23, 44, 55, 62, 74, 93. Compl. habet in charact. minore Alex. ἀπροπτώτῳ συμμαχίᾳ] απροπτωτως συμμαχια 55. απροπτωτος συμμαχια 62. απροσπτωτω συμμαχια 64. Ald. απροσπτωτως συμμαχια 93. καὶ τῇ ἡμετέρᾳ δὲ ῥώμῃ] ‸ 23, 44, 55, 62, 74, 93. Compl. habet in charact. minore Alex. ἐπὶ ἄριςον τέλος] ‸ αριςον 23, 44, 55, 62, 74, 93. Compl. habet ἄριςον in charact. minore Alex.

XV. Ἡγησάμεθα] + εν 64. Ald. μὴ βίᾳ δόρατος] μη δια δορατος 55, 74. καὶ πολλῇ φιλανθρωπίᾳ] πολλη και φιλανθρωπια 62, 93. ‸ 71. τὰ κατοικῦντα] τα κατα 23. ‸ τὰ Alex. κοίλην Συρίαν] κατα κοιλην και Συριαν 62. ‸ 71. καὶ Φοινίκην ἔθνη] ‸ 71. εὐποιῆσαί τε ἀσμένως] ευποιησαντες [illegible]μενως III. ὃ και ποιησαντες ασμενως 19, 62, 64, 93. ευποιησαντες μεν 23.

XVI. Καὶ τοῖς κατὰ πόλεσιν] και τοις κατα πολιν 19, 62, 93. præmitt. ως 23. προήχθημεν] προσηχθημεν III, 44. Compl. καὶ εἰς τὰ Ἱεροσόλυμα] και εις Ιερεσαλημ 62, 64, 93. τῆς ἀνοίας] ‸ της 62, 64. Ald. απονοιας 93.

XVII. Οἱ δὲ λόγῳ—παρουσίαν] οἱ δε λογον μεν αποδεξαμενοι την ημετεραν παρουσιαν 19. sic, nisi λογω μεν, 62, 93. ἀποδεξάμενοι παρουσίαν] αποδεξαμενοι την ημετεραν παρουσιαν 23. προθυμηθέντων] præmitt. και 44, 71. ἡμῶν εἰσελθεῖν] ‸ εισελθειν 62. καὶ τοῖς ἐκπρεπέσι] και τοις ευπρεπεσι 74. καὶ τοῖς ἐκπρεπέσι &c. ad fin. com.] ‸ 71.

XVIII. Τύφοις φερόμενοι] τυποις φερομενοι 55. παλαιοτέροις] παλαιοτεροι 93. εἶρξαν ἡμᾶς] εισηξαν ημας 93. ἀπολειπόμενοι] λειπομενοι III, 19, 23, 44, 55, 62, 74, 93. Compl. ἀπολειπόμενοι &c. ad fin. com. seq.] ‸ 71. πρὸς ἅπαντας ἀνθρώπες] ‸ ανθρωπες 44. φιλανθρωπίαν] φιλιαν 62, 64, 93. Compl.

XIX. εἰς ἡμᾶς δυσμένειαν] προς ημας δυσμενειαν 55. ἔκδηλον καθιςάντες] εκδηλον καθιςωντες 19, 62, 64, 93. τῶν ἐθνῶν βασιλεῦσι] των εθνων βασιλευειν 19, 62, 93. ἐδὲν γνήσιον] εδεν γνησιως 19, 62, 64, 93. βέλονται φέρειν] βελονται φρονειν 19, 64, 93. βελονται φρονεντες 62.

XX. καὶ μετὰ νίκης] ‸ και 44, 74. Ald. καὶ εἰς τὴν Αἴγυπτον] ‸ καὶ 62, 64, 93. ἐποιήσαμεν] εποιησαν 55.

XXI. διά τε τὴν συμμαχίαν] ‸ τε 62, 64, 93. καὶ τὰ πεπιςευμένα] ‸ τα 55. ἀρχῆθεν] και τα απ᾽ αρχης (al. ἀπαρχῆς) 19, 62,

ΚΕΦ. III.

τῶν ἀμνησικακίαν ἅπασι γνωρίζοντες, διά τε τὴν συμμαχίαν καὶ τὰ πεπιστευμένα μετὰ ἁπλότη-
τος αὐτοῖς ἀρχῆθεν μύρια πράγματα τολμήσαντες ἐξαλλοιῶσαι, ἐβουλήθημεν καὶ πολιτείας αὐ-
22. τοὺς Ἀλεξανδρέων καταξιῶσαι, καὶ μετόχους τῶν ἀεὶ ἱερέων καταστῆσαι. Οἱ δὲ τοὐναντίον ἐκδεχό-
μενοι, καὶ τῇ συμφύτῳ κακοηθείᾳ τὸ καλὸν ἀπωσάμενοι, διηνεκῶς δὲ εἰς τὸ φαῦλον ἐκνεύοντες,
23. Οὐ μόνον ἀπεστρέψαντο τὴν ἀτίμητον πολιτείαν, ἀλλὰ καὶ βδελύσσονται λόγῳ τε καὶ σιγῇ τοὺς
ἐν αὐτοῖς ὀλίγους πρὸς ἡμᾶς γνησίως διακειμένους, παρέκαστα ὑφορώμενοι διὰ τῆς δυσκλεεστάτης
24. ἐμβιώσεως διὰ τάχους ἡμᾶς καταστρέψαι τὰ κατορθώματα. Διὸ καὶ τεκμηρίοις καλῶς πεπεισμέ-
νοι τούτους κατὰ πάντα δυσνοεῖν ἡμῖν τρόπον, καὶ προνοούμενοι μήποτε αἰφνιδίου μετέπειτα ταραχῆς
25. ἐνστάσης ἡμῖν, τοὺς δυσσεβεῖς τούτους κατὰ νώτου προδότας καὶ βαρβάρους ἔχωμεν πολεμίους, Προσ-
τετάχαμεν ἅμα τῷ προσπεσεῖν τὴν ἐπιστολὴν τήνδε, αὐθωρὶ τοὺς ἐννεμομένους σὺν γυναιξὶ καὶ
τέκνοις μετὰ ὕβρεων καὶ σκυλμῶν ἀποστεῖλαι πρὸς ἡμᾶς ἐνδεσμοῖς σιδηροῖς πάντοθεν κατακεκλει-
26. σμένους, εἰς ἀνήκεστον καὶ δυσκλεῆ πρέποντα δυσμενέσι φόνον. Τούτων γὰρ ὁμοῦ κολασθέντων, δι-
ειλήφαμεν εἰς τὸν ἐπίλοιπον χρόνον τελείως ἡμῖν τὰ πράγματα ἐν εὐσταθείᾳ καὶ βελτίστῃ διαθέ-
27. σει κατασταθήσεσθαι. Ὃς δ᾽ ἂν σκεπάσῃ τινὰ τῶν Ἰουδαίων ἀπὸ γεραιοῦ μέχρι νηπίου μέχρι τῶν
28. ὑπομασθίων, αἰσχίστοις βασάνοις ἀποτυμπανισθήσεται πανοικί. Μηνύειν δὲ τὸν βουλόμενον, ἐφ᾽
ᾧ τὴν οὐσίαν τοῦ ἐμπίπτοντος ὑπὸ τὴν εὐθύναν λήψεται, καὶ ἐκ τοῦ βασιλικοῦ ἀργυρίου δραχμὰς
29. δισχιλίας, καὶ τῆς ἐλευθερίας τεύξεται καὶ στεφανωθήσεται. Πᾶς δὲ τόπος οὗ ἐὰν φωραθῇ τὸ σύν-
ολον σκεπαζόμενος Ἰουδαῖος, ἄβατος καὶ πυριφλεγὴς γινέσθω, καὶ πάσῃ θνητῇ φύσει κατὰ πάντα
30. ἄχρηστος φανήσεται εἰς τὸν ἀεὶ χρόνον. Καὶ ὁ μὲν τῆς ἐπιστολῆς τύπος οὕτως ἐγέγραπτο.

ΚΕΦ. IV.

1. ΠΑΝΤΗ δὲ ὅπου προσέπιπτε τοῦτο τὸ πρόσαγμα, δημοτελὴς συνίστατο τοῖς ἔθνεσιν εὐωχία μετὰ
ἀλαλαγμῶν καὶ χαρᾶς, ὡς ἂν τῆς προκατεσκιῤῥωμένης αὐτοῖς πάλαι κατὰ διάνοιαν, μετὰ παῤ-
2. ῥησίας συνεκφαινομένης ἀπεχθείας. Τοῖς δὲ Ἰουδαίοις ἀνήκεστον πένθος ἦν καὶ πανόδυρτος μετὰ
δακρύων βοὴ, στεναγμοῖς πεπυρωμένης τῆς αὐτῶν πάντοθεν καρδίας, ὀλοφυρομένων τὴν ἀπροσδό-
3. κητον ἐξαίφνης ἐπικριθεῖσαν αὐτοῖς ὀλεθρίαν. Τίς νομὸς ἢ πόλις, ἢ τίς τὸ σύνολον οἰκητὸς τό-

64, 93. Ald. μύρια πράγματα] μύρια πράγμασι Ald. τολμήσαντες ἐξαλλ.] τολμησαντας εξαλλ. 62. habet τολμήσαντες in char. minore Alex. ἐβουλήθημεν] εβουλευθημεν 23. ἐβουλήθημεν—καταξιῶσαι] ponit post καταστησαι 44, 71, 74. Compl. καὶ πολιτείας] και πολιτας 93. καὶ μετόχους] ∧ 23, 55, 62. ∧ και 71. τῶν ἀεὶ ἱερέων καταστῆσαι] των αρχιερεων καταστησαι 19. ∧ 23, 55, 62. των δε ιερεων καταστησαι 93.

XXII. Οἱ δὲ τοὐναντίον] οἱ δε ουδε τουναντιον 71. κακοηθείᾳ] κακια 62, 64, 93. εἰς τὸ φαῦλον] εις τον φαυλον 62. ἐκνεύοντες] εκ νεοτητος 23. εννευοντες 74.

XXIII. ἀπεστρέψαντο] επεστρεψαντο 44. απεστρεψαν 64. Ald. τὴν ἀτίμητον] την ατιμον 44. λόγῳ τε καὶ σιγῇ] λογω τε και εργω 19, 62, 64, 93. Ald. λογω τε και τιμη 55. τοὺς ἐν αὐτοῖς] τους εν αυταις 71. παρέκαστα ὑφορώμενοι] παρ᾽ εκαστον υφορωμενοι 19, 62. παρεκαστον ορωμενοι 64. παρεκαστον διορώμενοι 93. διὰ τῆς δυσκλεεστάτης] μετα της δυσκλεεστατης III, 19, 23, 62, 64, 93. τὰ κατορθώματα] τα πραγματα III, 23, 55, 62, 64, 93. τα δογματα 19.

XXIV. Διὸ καὶ τεκμηρίοις] διο και τεκμηριων 93. τοὺς δυσσεβεῖς] τους ασεβεις 44. κατὰ νώτου] κατα νοτου 44. ἔχωμεν πολεμίους] εχομεν πολεμιους 44. Ald. σχωμεν πολεμιους 55.

XXV. ἅμα τῷ προσπεσεῖν] præmitt. ουν 19, 62, 64, 93. Ald. αὐθωρὶ τοὺς] αυθωρι τους δε 62. αὐθημερὸν τοὺς Ald. αὐθωρὶ τοὺς ἐννεμομένους] αφθωρει τους δε ενσημαινομενους 19. αυθωρι αυτους 71. ἐννεμομένους] ἐνσημαινομένους 62, 64, 93. Ald. μετὰ ὕβρεων] μετα υβρεως 44, 74, 93. Compl. Alex. καὶ σκυλμῶν] και σκυλων 55. ἐνδεσμοῖς] δεσμοις 62, 64. δεσμιους 93. πάντοθεν &c. ad fin. com.] ∧ 71. εἰς ἀνήκεστον &c. ad fin. com.] εις ανηκεστον συμφοραν και δυσκλεη και πρεποντα δυσμενεσι φοβον 19, 62, 64, 93. Ald. καὶ δυσκλεῆ πρέποντα] και δυσκλεα πρεποντα 44, 74. Compl. δυσμενέσι φόνον] δυσμενεσι φοβον 23.

XXVI. τὰ πράγματα] præmitt. εις 62. καὶ βελτίστῃ διαθέσει] και τη βελτιστη διαθεσει 19, 23, 62, 64, 93. Alex. ∧ 71.

XXVII. μέχρι νηπίου] ∧ 55. ∧ μέχρι Alex. μέχρι τῶν ὑπομασθίων] ∧ 44, 71. ὑπομαστιῶν αἰων (sic) 93. καὶ μέχρι τῶν ὑπομαστιαίων Alex. τῶν ὑπομασθίων] των υπομαστιαιων 62, 64. Ald. αἰσχίστοις βασάνοις] αισχισταις βασανοις 62, 74. αισχιστοις οργανοις 64. ἐχθίσταις βασάνοις Alex. ἀποτυμπανισθ. πανοικί] αποτυμπανισθ. πανοικια 19, 23, 44, 55, 62, 71, 74. Compl. Alex. αποτυμπανισθ. πανοικιω 93.

XXVIII. Totum comma deest 71. Μηνύειν δὲ] μηνυσειν δε 74. ἐκ τοῦ βασιλικοῦ ἀργυρίου] ἐκ τοῦ βασιλείου ἀργυρίου (cum ἀργυρίου in charact. minore) Alex. δραχμὰς δισχιλίας] δραχμας τρισχιλιας 19, 64, 93. τεύξεται καὶ στεφανωθήσεται] στεφανωθησεται tantum 23, 55, 74. Compl. Ald. + εις τον αει χρονον 64. habet τεύξεται καὶ in charact. minore Alex.

XXIX. οὗ ἐὰν] ου αν 44. σκεπαζόμενος Ἰουδαῖος] ∧ Ιουδαιος 23. σκεπαζομενος Ιουδαιοις 62. ponit σκεπαζομενος statim post οὗ ἐὰν 64. καὶ πυριφλεγὴς] καὶ περιφλεγὴς Alex. κατὰ πάντα ἄχρηστος] κατα παν αχρηστος 44, 55, 62, 64, 71, 74, 93. Compl. Ald. καθάπαν ἄχρηστος Alex. εἰς τὸν ἀεὶ χρόνον] εις τον αιωνα χρονον 55. εις τον απαντα χρονον 64.

XXX. Totum comma deest 71. οὕτως ἐγέγραπτο] ∧ ουτως 93.

I. τοῦτο τὸ πρόσαγμα] τουτο το πραγμα του προσαγματος 44. ∧ τὸ Ald. δημοτελὴς] δημοτελεις 93. τοῖς ἔθνεσιν εὐωχία] τοῖς ἔθνεσιν ουν εὐωχία Alex. προκατεσκιῤῥωμένης] προκατεσκηρωμενης 23, 71. Compl. προκατεσχειρωμενης 44, 74. αὐταῖς πάλαι] αυτης παλαι 62, 93. συνεκφαινομένης ἀπεχθείαις] συν εκφαινομενης απεχθειας 19, 23, 55, 62, 71, 74, 93. Compl. Alex. νυν εκφερομενης απεχθειας 44.

II. ἀνήκεστον πένθος] αληκτον πενθος (23. ex corr. sec. m.) 44, 55, 74. Compl. Alex. αλεκτον πενθος 71. καὶ πανόδυρτος] και πανοδυρκτος III. καὶ πανόδυρτος—καρδίας] ∧ cum intermed. 71. μετὰ δακρύων βοὴ] μετα δακρυων βοης 93. στεναγμοῖς] στεναγμου (64. jungit cum βοη) 93. στεναγμοῖς πεπυρωμένης] στεναγμοις πεπυρωμενοις 62. τῆς αὐτῶν πάντοθεν καρδίας] παντοθεν αυτων της καρδιας 19, 23, 44, 55, 62, 93. Compl. Alex. αυτων παντοθεν της καρδιας 64. ἐπικριθεῖσαν αὐτοῖς] tr. 44, 55. Compl. Alex. ὀλεθρίαν] + κρισιν 19, 62, 64, 93.

III. Τίς νομὸς ἢ πόλις] τις γαρ νομος 19. τις γαρ νομος ἢ πο-

ΚΕΦ. IV.

πος, ἢ τίνες ἀγυιαὶ κοπετοῦ καὶ γόων ἐπ' αὐτοῖς οὐκ ἐμπιπλῶντο; Οὕτω γὰρ μετὰ πικρᾶς καὶ 4.
ἀνοίκτου ψυχῆς ὑπὸ τῶν κατὰ πόλιν στρατηγῶν ὁμοθυμαδὸν ἐξαπεστέλλοντο, ὥστε ἐπὶ ταῖς ἐξάλ-
λοις τιμωρίαις καί τινας τῶν ἐχθρῶν, λαμβάνοντας πρὸ τῶν ὀφθαλμῶν τὸν κοινὸν ἔλεον, καὶ λο-
γιζομένους τὴν ἄδηλον τοῦ βίου καταστροφὴν, δακρύειν αὐτῶν τρισάθλιον ἐξαποστολήν. Ἤγετο γὰρ 5.
γεραιῶν πλῆθος πολιᾷ πεπυκασμένων, τὴν ἐκ τοῦ γήρως νωθρότητα ποδῶν ἐπικύφων, ἀνατροπῆς
ὁρμῇ βιαίας, ἀπάσης αἰδοῦς ἄνευ πρὸς ὀξεῖαν καταχρωμένων πορείαν. Αἱ δὲ ἄρτι πρὸς βίου κοι- 6.
νωνίαν γαμικὸν ὑπεληλυθυῖαι παστὸν νεάνιδες, ἀντὶ τέρψεως μεταλαβοῦσαι γόους, καὶ κόνει τὴν
μυροβραχῆ πεφυρμέναι κόμην, ἀκαλύπτως δὲ ἀγόμεναι, θρῆνον ἀνθ' Ὑμεναίων ὁμοθυμαδὸν ἐξῆρ-
χον, ὡς ἐσπαραγμέναι σκυλμοῖς ἀλλοεθνέσι. Δέσμιαι δὲ δημόσιαι μέχρι τῆς εἰς τὸ πλοῖον ἐμ- 7.
βολῆς εἵλκοντο μετὰ βίας. Οἵ τε τούτων συζυγεῖς βρόχοις ἀντὶ στεφέων τοὺς αὐχένας περι- 8.
πεπλεγμένοι μετὰ ἀκμαίας καὶ νεανικῆς ἡλικίας, ἀντὶ εὐωχίας καὶ νεωτερικῆς ῥαθυμίας τὰς
ἐπιλοίπους τῶν γάμων ἡμέρας ἐν θρήνοις διῆγον, παρὰ πόδας ἤδη τὸν ᾅδην ὁρῶντες κείμενον.
Κατήχθησαν δὲ θηρίων τρόπον ἀγόμενοι σιδηροδέσμοις ἀνάγκαις· οἱ μὲν τοῖς ζυγοῖς τῶν πλοίων 9.
προσηλωμένοι τοὺς τραχήλους, οἱ δὲ τοὺς πόδας ἀῤῥήκτοις κατησφαλισμένοι πέδαις, Ἔτι καὶ τῷ 10.
καθύπερθε πυκνῷ σανιδώματι διακειμένῳ τὸ φέγγος ἀποκλειόμενοι, ὅπως πάντοθεν ἐσκοτισμένοι
τοὺς ὀφθαλμοὺς, ἀγωγὴν ἐπιβούλων ἐν παντὶ τῷ κατάπλῳ λαμβάνωσι. Τούτων δὲ ἐπὶ τὴν λεγο- 11.
μένην σχεδίαν ἀχθέντων, καὶ τοῦ παράπλου περανθέντος, καθὼς ἦν δεδογματισμένον τῷ βασιλεῖ,
προσέταξεν αὐτοὺς ἐν τῷ πρὸ τῆς πόλεως ἱπποδρόμῳ παρεμβαλεῖν ἀπλέτῳ καθεστῶτι περιμέτρῳ,
καὶ πρὸς παραδειγματισμὸν ἄγαν εὐκαιροτάτῳ καθεστῶτι πᾶσι τοῖς καταπορευομένοις εἰς τὴν πό-
λιν, καὶ τοῖς ἐκ τούτων εἰς τὴν χώραν στελλομένοις πρὸς ἐκδημίαν· πρὸς τὸ μηδὲ ταῖς δυνάμεσιν
αὐτοῦ κοινωνεῖν, μηδὲ τὸ σύνολον καταξιῶσαι περιβόλων. Ὡς δὲ τοῦτο ἐγενήθη, ἀκούσας τοὺς ἐκ 12.
τῆς πόλεως ὁμοεθνεῖς κρυβῇ ἐκπορευομένους πυκνότερον ἀποδύρεσθαι τὴν ἀκλεᾶ τῶν ἀδελφῶν τα-
λαιπωρίαν, Διοργισθεὶς προσέταξε καὶ τούτοις ὁμοῦ τὸν αὐτὸν τρόπον ἐπιμελῶς ὡς ἐκείνοις ποι- 13.

λις 64, 93. ἢ τίς τὸ] ∧ τις 74. οἰκητὸς τόπος] οικτιστος τοπος 23. ἐπ' αὐτοῖς] επ' αυτους 74, 93. οὐκ ἐμπιπλῶντο] ουκ ενεπλησθησαν 19, 62, 64, 93. ουκ ενεπιπλωντο (corr. ενεπιμπλωντο sec. m.) 23. ουκ επινπλαντο (sic) 74. habet in charact. minore Alex.

IV. μετὰ πικρᾶς] μετα πικριας III, 19, 55, 64, 71, 74, 93. Ald. καὶ ἀνοίκτου ψυχῆς] ∧ 71. ∧ και 74. Ald. habet καὶ in char. min. Alex. ὁμοθυμαδὸν ἐξαπεστέλλοντο] + ως επι μεγιστοις και ανεκεστοις και ανηκοοις τιμωριαις υποβληθησομενοι 64. ἐξάλλοις τιμωρίαις] εξαλληλοις τιμωριαις 23. αλλαις τιμωριαις 44. εξαλλαις τιμωριαις 71. λαμβάνοντας] λαμβανοντες 62. πρὸ τῶν ὀφθαλμῶν] προς των οφθαλμων 62. δακρύειν &c. ad fin. com.] ∧ 71. τρισάθλιον] præmitt. την 44, 74. Compl. Ald. τρισάθλιον ἐξαποστολήν] δυσαθλιον εξαποστολην 19. την δυσαθλιον εξαποστολην 23, 55. Alex. την δυσαθλιαν εξαποστολην 62, 64. την δυσαθλιαν ψυχην 93.

V. Ἤγετο γὰρ] ηγετο δε 64. γεραιῶν πλῆθος] γηραιων πληθος, και ανδρων και γυναικων πληθος 71. πολιᾷ πεπυκασμένων] πολια πεπυκασμενον 64, 93. præmitt. και 74. πολιᾷ πεπυκασμένων &c. ad fin. com.] ∧ 71. τὴν ἐκ τοῦ γήρως] τη εκ του γηρως 19, 62, 64, 93. την εκ του γηρους 74. νωθρότητα] νωθροτητι 19, 62, 64, 93. ποδῶν ἐπικύφων] ποδων επικουφον III, 19, 62, 64, 93. ποδων επικυφον 44. Ald. ἀνατροπῆς ὁρμῇ] ανατροπην και ορμη 19, 62. ανατροφην· και ορμη 64. ανατροπην και ορμημα 93. βιαίας] βιας 19, 62, 64, 93. ἀπάσης αἰδοῦς] απασης και αιδους 62, 64. πασης και αιδους 93. ἀπειλῆς αἰδοῦς Ald. ἄνευ πρὸς ὀξεῖαν] ανευ και προσεχειας· ως προς οξειαν 19, 62. sic, nisi ως και προς, 64. ανευ και προς εχειας (sic) ως προς οξειαν 93. καταχρωμένων πορείαν] καταχρωμενου πορειαν 55.

VI. Αἱ δὲ ἄρτι—Ὑμεναίων] ∧ cum intermed. 71. πρὸς βίου κοινωνίαν] προς βιαν κοινωνιαν 19. προς βιων κοινωνιαν 62. μεταλαβοῦσαι γόους] μεταλαβουσαι γοου 62. μεταβαλουσαι γοους 64. καὶ κόνει] κονει τε 62, 64, 93. μυροβραχῆ πεφυρμέναι] μυροβρεχη πεφρυγμεναι 23. μυροβρεχη πεφυρμεναι 44, 64. ἀκαλύπτως δὲ] ∧ δε 62, 64, 93. Ὑμεναίων] υμνον 93. ὡς ἐσπαραγμέναι] ∧ ως 19, 62, 64, 93. ως εσπαραγμεναις 23. σκυλμοῖς ἀλλοεθνέσι] σκυμνοις αλλοεθνεσι III, 62. ∧ αλλοεθνεσι 71.

VII. Δέσμιαι—ἐμβολῆς] ∧ cum intermed. 71. Δέσμιαι δὲ] δεσμιοι δε 55, 62, 64, 93. δημόσιαι] δημοσια III, 55, 62, 93. εἵλκοντο] præmitt. και 71.

VIII. Οἵ τε τούτων] οἱ δὲ τούτων Alex. Οἵ τε τούτων—διῆγον] ∧ cum intermed. 71. συζυγεῖς βρόχοις] συζυγεις βροχους III. συζυγεις βρομους 55. ζυγαις 64. ἀντὶ στεφέων] αντι στεφανων 19, 55, 62, 74, 93. περιπεπλεγμένοι] περιπεπλιγμενη 62. πεπληγμένοι Ald. καὶ νεανικῆς ἡλικίας] ∧ και 55, 74. Compl. Ald. habet καὶ in charact. minore Alex. καὶ νεωτερικῆς ῥαθυμίας] και νεωτερικης ευωχιας 93. ἤδη τὸν ᾅδην] ηδη τον θανατον 64.

IX. θηρίων τρόπον] θηριων τοπον 55. θηριων τροπων 62. ἀγόμενοι σιδηροδέσμοις] αγομενοι σιδηροδεσμιοι 23. απαγομενοι σειροδεσμοις 64. ἀνάγκαις] ∧ 64.

X. Ἔτι καὶ—ἀποκλειόμενοι] ∧ cum intermed. 71. τῷ καθύπερθε] τω καθυπερ 74. πυκνῷ σανιδώματι] επικνω σανιδωματι 62. τὸ φέγγος ἀποκλειόμενοι] ∧ 19, 23, 55, 62, 74, 93. Compl. Ald. habet in charact. minore Alex. ἐσκοτισμένοι] εσκορπισμενοι 62. ἐν παντὶ] ∧ εν 55. λαμβάνωσι] λαμβανουσιν 93.

XI. ἐπὶ τὴν λεγομένην] ∧ επι 19. ἀχθέντων] αναχθεντων 23. καὶ τοῦ παράπλου] ∧ του 44. και του κατaπλου 55, 74. περανθέντος] συγγραφθεντος 19. συστραφεντος 62, 64, 93. ἐν τῷ] εν τοπω 64. πρὸ τῆς πόλεως] ∧ προ 19, 62, 93. ἱπποδρόμῳ] ιπποδρομιω 71, 74. Ald. παρεμβαλεῖν] περιβαλειν 74. ἀπλέτῳ καθεστῶτι] απλατω καθεστηκοτι 19. απλα τω καθεστωτι (sic) 44, 71, 74. Ald. αμα τω καθεστὼτι 55. απλετω καθεστηκοτι 62. απλαστω καθεστωτι 64. απλατω καθεστωτι 93. Alex. καὶ πρὸς παραδειγματισμὸν] και προς παραδειγματισμω 93. εὐκαιροτάτῳ καθεστῶτι] ∧ καθεστωτι 44. ευκαιροτατων καθεστωτι 62. ευκαιρωτατη 71. πᾶσι τοῖς καταπορευομένοις] τοις καταπορευομενοις πασι 19, 62, 93. εἰς τὴν χώραν] ∧ 93. πρὸς τὸ μηδὲ] προς δε μηδε 19. κοινωνεῖν, μηδὲ] επικοινωνειν 19, 62, 64, 93. habet μηδὲ in charact. minore Alex. μηδὲ τὸ σύνολον] το συνολον μηδε 55. τὸ σύνολον] ∧ 93. καταξιῶσαι] κατηξιωσε 19, 62, 64. ∧ 93. περιβόλων] περιβολω III. περιβολου 19, 62, 64. το περιβολου 93.

XII. Ὡς δὲ τοῦτο ἐγενήθη] ως δε τουτο εγενετο 19, 62, 64, 93. ὁμοεθνεῖς κρυβῇ] ομοεθνους κρυφη 62, 93. ομοεθνους κρυβη 64. πυκνότερον ἀποδύρεσθαι] πικροτερον αποδυρεσθαι 74. τὴν ἀκλεᾶ] την ακλεη 23, 64. την ακλεει 62. ∧ 71. την ακλαιει 93.

XIII. καὶ τούτοις ὁμοῦ] και τουτους ομου 23. τὸν αὐτὸν τρόπον] τον τροπον αυτον 62. ἐπιμελῶς] ∧ 74. ὡς ἐκείνοις ποιῆσαι] ∧ ως εκεινοις 23. ∧ 74.

ΚΕΦ. IV.

14. ἧσαι, μὴ λειπομένοις κατὰ μηδένα τρόπον τῆς ἐκείνων τιμωρίας, Ἀπογραφῆναι δὲ πᾶν τὸ φῦλον
ἐξ ὀνόματος, οὐ γὰρ τὴν ἔμπροσθε βραχεῖ προδεδηλωμένην τῶν ἔργων κατάπονον λατρείαν, στρε-
15. βλωθέντας δὲ ταῖς παρηγγελμέναις αἰκίαις τὸ τέλος ἀφανίσαι μιᾶς ὑπὸ καιρὸν ἡμέρας. Ἐγίνετο
μὲν οὖν ἡ τούτων ἀπογραφὴ μετὰ πικρᾶς σπουδῆς καὶ φιλοτίμου προσεδρίας ἀπὸ ἀνατολῶν ἡλίου
16. μέχρι δυσμῶν, ἀνήνυτον λαμβάνουσα τὸ τέλος ἐπὶ ἡμέρας τεσσαράκοντα. Μεγάλως δὲ καὶ δι-
ηνεκῶς ὁ βασιλεὺς χαρᾷ πεπληρωμένος, συμπόσια ἐπὶ πάντων τῶν εἰδώλων συνιστάμενος, πεπλα-
νημένῃ πόῤῥω τῆς ἀληθείας φρενὶ καὶ βεβήλῳ στόματι, τὰ μὲν κωφὰ καὶ μὴ δυνάμενα αὐτοῖς λα-
17. λεῖν ἢ ἀρήγειν, ἐπαινῶν, εἰς δὲ τὸν μέγιστον Θεὸν τὰ μὴ καθήκοντα λαλῶν. Μετὰ δὲ τὸ προει-
ρημένον τοῦ χρόνου διάστημα προσηνέγκαντο οἱ γραμματεῖς τῷ βασιλεῖ, μηκέτι ἰσχύειν τὴν τῶν
18. Ἰουδαίων ἀπογραφὴν ποιεῖσθαι διὰ τὴν ἀμέτρητον αὐτῶν πληθὺν, Καί περ ὄντων κατὰ τὴν χώ-
ραν ἔτι τῶν πλειόνων, τῶν μὲν κατὰ τὰς οἰκίας ἔτι συνεστηκότων, τῶν δὲ καὶ κατὰ τόπον, ὡς
19. ἀδυνάτου καθεστῶτος πᾶσι τοῖς ἐπ' Αἴγυπτον στρατηγοῖς. Ἀπειλήσαντος δὲ αὐτοῖς σκληρότερον
20. ὡς δεδωροκοπημένοις εἰς μηχανὴν τῆς ἐκφυγῆς, συνέβη σαφῶς αὐτὸν περὶ τούτου πεισθῆναι, Λε-
γόντων μετὰ ἀποδείξεως, καὶ τὴν χαρτηρίαν ἤδη καὶ τοὺς γραφικοὺς καλάμους ἐν οἷς ἐχρῶντο ἐκλε-
21. λοιπέναι. Τοῦτο δὲ ἦν ἐνέργεια τῆς τοῦ βοηθοῦντος τοῖς Ἰουδαίοις ἐξ οὐρανοῦ προνοίας ἀνικήτου.

ΚΕΦ. V.

1. ΤΟΤΕ προσκαλεσάμενος Ἕρμωνα τὸν πρὸς τῇ τῶν ἐλεφάντων ἐπιμελείᾳ, βαρείᾳ μεμεστωμένος
2. ὀργῇ καὶ χόλῳ, κατὰ πᾶν ἀμετάθετος, Ἐκέλευσεν ὑπὸ τὴν ἐπερχομένην ἡμέραν δαψιλέσι δρά-
κεσι λιβανωτοῦ καὶ οἴνῳ πλείονι ἀκράτῳ ἅπαντας τοὺς ἐλέφαντας ποτίσαι, ὄντας τὸν ἀριθμὸν πεν-
τακοσίους, καὶ ἀγριωθέντας τῇ τοῦ πόματος ἀφθόνῳ χορηγίᾳ, εἰσαγαγεῖν πρὸς συνάντησιν τοῦ μόρου
3. τῶν Ἰουδαίων. Ὁ μὲν τάδε προστάσσων, ἐτρέπετο πρὸς τὴν εὐωχίαν, συναγαγὼν τοὺς μάλιστα
4. τῶν φίλων καὶ τῆς στρατιᾶς ἀπεχθῶς ἔχοντας πρὸς τοὺς Ἰουδαίους. Ὁ δὲ ἐλεφαντάρχης τὸ προσ-
5. ταγὲν ἀραρότως Ἕρμων συνετέλει. Οἵ τε πρὸς τούτοις λειτουργοὶ κατὰ τὴν ἑσπέραν ἐξιόντες τὰς
τῶν ταλαιπώρων ἐδέσμευον χεῖρας, τήν τε λοιπὴν ἐμηχανῶντο περὶ αὐτοὺς ἀσφάλειαν, ἔννυχον
6. δόξαντες ὁμοῦ λήψεσθαι τὸ φῦλον πέρας τῆς ὀλεθρίας. Οἱ δὲ πάσης σκέπης ἔρημοι δοκοῦντες εἶ-

XIV. οὐ γὰρ τὴν ἔμπροσθε] εις γαρ την εμπροσθε 19, 23. ουκ εις την εμπροσθε 55. Alex. εις την εμπροσθε 62, 64, (74. ut videtur) 93. βραχεῖ] βραχὺ Compl. κατάπονον] κατατροπον III. κατα τοπον 55. στρεβλωθέντας &c. ad fin. com.] ‸ 71. στρεβλωθέντας δὲ] στρεβλωθεντα δε III. στρεβλωσαντας δε 19. στρεβλωθεντες δε 23. ‸ δε 55. στρεβλωσαντες δε 62, 64, 93. ταῖς παρηγγελ.] ‸ ταις 55, 62, 64, 74, 93. Compl. Ald. Alex.

XV. Ἐγίνετο μὲν οὖν] εγενετο μεν ουν 62. εγενετο μεν 64. ἡ τούτων ἀπογ.] η γη τουτων απογ. 23. προσεδρίας] προεδριας 19. προς ανδρειαν 23.

XVI. χαρᾷ πεπληρωμένος] ‸ χαρα 23. ἐπὶ πάντων] απο παντων 19, 23, 62, 64. ‸ 71. επι απαντων 93. συνιστάμενος] παριστάμενος 19. πεπλανημένῃ] πεπληρωμενη III. πεπλανημενος 23, 44. πεπλανημένοι Ald. πεπλανημένῃ—στόματι] ‸ cum intermed. 71. τὰ μὲν κωφὰ] ‸ τὰ μὲν Alex. καὶ μὴ—ἀρήγειν] ‸ cum intermed. 71. καὶ μὴ δυνάμενα] και μηδεν δυναμενα 55. αὐτοῖς λαλεῖν] ‸ λαλειν 64. ἢ ἀρήγειν] παρηγειν 23. εἰς δὲ τὸν μέγιστον &c. ad fin. com.] ‸ 23. εις τα μηδε καθηκοντα λαλων 55. εις δε τα καθηκοντα λαλων τα ουκ οντα 64, 93. εἰς δὲ τὸν μέγ. Θεὸν] habet τὸν μέγ. Θεὸν in charact. min. Alex. λαλῶν] + τα ουκ οντα 19, 62.

XVII. προσηνέγκαντο] προηνεγκαντο III. προσηνεγκαν 23, 62, 64, 93. μηκέτι ἰσχύειν] μηκετι ισχυν 93. ποιεῖσθαι] ποιησασθαι 74. διὰ τὸν ἀμέτρητον] δια τον αμετρον 64. αὐτῶν πληθὺν] ‸ αυτων 44.

XVIII. Καί περ—κατὰ τόπον] ‸ cum intermed. 71. Καί περ ὄντων] + αυτων 19. + αυτων ετι 62, 93. καιπερ ετι οντων αυτων 64. κατὰ τὴν χώραν ἔτι] ετι κατα την χωραν 23. Alex. ἔτι τῶν πλειόνων] ‸ ετι των 62, 64, 93. τῶν πλειόνων ἔτι Compl. τῶν πλειόνων] ‸ τῶν Alex. ἔτι συνεστηκότων] ετι νυν εστηκοτων 19, 62, 93. καὶ κατὰ τόπον] κατα τον πορον 19, 62, 64, 93. και κατα τροπον 23. ‸ και 44. Compl. Ald. καὶ κατὰ τὸν τόπον Alex. ἐπ' Αἴγυπτον] κατ' Αιγυπτον 19, 55, 62, 64, 93. υπο Αιγυπτον 23. επ' Αιγυπτου 74.

XIX. ὡς δεδωροκοπημένοις] ως δεδωροδοκημενοις 19, 74. ως δεδωροδοκειμενοις 62. σαφῶς αὐτὸν] σαφως αυτων 93. περὶ τούτου] περι τουτων 64, 93. πεισθῆναι] πιστωθηναι 19, 62, 64, 93. Alex.

XX. καὶ τὴν χαρτηρίαν] και τον χαρτην 19, 62. και την χαρτηραν 23, 93. ‸ 71. ἤδη καὶ τοὺς] ‸ τους 55. ‸ ηδη 71. ἐν οἷς ἐχρῶντο ἐκλελοιπέναι] εκλελοιπεναι εν οἷς εχρωντο 19, 62, 64, 93.

XXI. ἐξ οὐρανοῦ &c. ad fin. com.] Θεου 71.

I. Τότε προσκαλεσάμενος] + ὁ βασιλευς 62, 64, 93. τὸν πρὸς τῇ] τοι προστατην 19, 62. τον προς τη 23. τον πρωτοστατην 64. των (sic) προστατην 93. ἐπιμελείᾳ] επιμελειαν 23. conjungit cum βαρεια 64. μεμεστωμένος] μεμαστιγωμενος (scr. μεμαστηγωμενος) 64. (93. scr. cum o) ὀργῇ καὶ χόλῳ] οργην και χολον 62. κατὰ πᾶν ἀμετάθετος] κατα παν αμεταθετον 23, 62, 93. κατα παν αμεταθετω 64.

II. Ἐκέλευσεν] ‸ 64. δαψιλέσι δράκεσι λιβανωτοῦ] δαψιλει βασανω 19, 93. δαψιλει βασανων 62. δαψιλει λιβανω 64. ‸ 71. δράκεσι] ‸ 23. καὶ οἴνῳ πλείονι] οινῳ 71. ‸ και οινῳ 93. ὄντας τὸν ἀριθμὸν] οντως τον αριθμον 62. ‸ 71. καὶ ἀγριωθέντας] και αγριωσαντας 19, 23, 62, 64, 93. τῇ τοῦ πόματος] ‸ τῃ 19. ἀφθόνῳ χορηγίᾳ] αφθονως χορηγιᾳ III. πρὸς συνάντησιν] εις συναντησιν 93.

III. Ὁ μὲν τάδε προστάσσων] ὁ μεν ταδε προσταξας 19. ὁ μεν ουν ταδε προσταξας 62, 64, 93. ‸ ταδε 71. ἐτρέπετο] ετραπετο 55. συναγαγὼν] + δε 93. τοὺς μάλιστα] ‸ τους 23, 62, 64, 93. ἀπεχθῶς ἔχοντας] απεχθως εχουσης 23. præmitt. τους 62, 64, 93.

IV. Integrum comm. deest 71. Ὁ δὲ ἐλεφαντάρχης &c. ad fin. com.] ὁ δε ελεφαντοταρχης αρορωτ τω (sic) προσταγεν τω Ερμωνι συνετελει 19. τὸ προσταγὲν ἀραρότως] αραροτως το προσταγεν 23, 64. το προσταχθεν αραροτως 55, 74. αρορωτος το προσταγεν 62. ἀρορωτ, τῶ προσταγὲν (sic) 93. ἀραρότως Ἕρμων] ‸ 44. Ἕρμων] τῳ Ερμωνι 62, 93. Ερμωνι 64. συνετέλει] επετελει 74.

V. Deest integrum comma 71. τὰς τῶν ταλαιπώρων] τας των ταλαιπωρουντων 19, 23, 62, 93. Alex. ἔννυχον] εννυχιον 93. πέρας τῆς ὀλεθρίας] περας της ολεθρευσεως 19, 62, 93. παρα της ολοθρευσεως 64.

VI. Οἱ δὲ] οἱ τε 62, 64, 93. ἔρημοι δοκοῦντες] tr. 62. Ἰουδαῖοι] + προς Κυριον ανεβοησαν 71. διὰ τὴν πάντοθεν &c. ad

ναι τοῖς ἔθνεσιν Ἰουδαῖοι, διὰ τὴν πάντοθεν περιέχουσαν αὐτοὺς μετὰ δεσμῶν ἀνάγκην, Τὸν παν- 7.
τοκράτορα Κύριον καὶ πάσης δυνάμεως δυναστεύοντα, ἐλεήμονα Θεὸν αὐτῶν καὶ πατέρα, δυσκα-
ταπαύστῳ βοῇ πάντες μετὰ δακρύων ἐπεκαλέσαντο δεόμενοι, Τὴν κατ᾽ αὐτῶν μεταστρέψαι βουλὴν 8.
ἀνοσίαν, καὶ ῥύσασθαι αὐτοὺς μετὰ μεγαλομεροῦς ἐπιφανείας ἐκ τοῦ παρὰ πόδας ἐν ἑτοίμῳ μόρου.
Τούτων μὲν οὖν ἐκτενῶς ἡ λιτανεία ἀνέβαινεν εἰς οὐρανόν. Ὁ δὲ Ἕρμων τοὺς ἀνηλεεῖς ἐλέφαντας 9. 10.
ποτίσας πεπληρωμένους τῆς τοῦ οἴνου πολλῆς χορηγίας, καὶ τοῦ λιβάνου μεμεστωμένους, ὄρθριος
ἐπὶ τὴν αὐλὴν παρῆν περὶ τούτων προσαγγεῖλαι τῷ βασιλεῖ. Τοῦτο δ᾽ ἀπ᾽ αἰῶνος χρόνου κτίσμα 11.
καλὸν ἐν νυκτὶ καὶ ἡμέρᾳ ἐπιβαλλόμενον ὑπὸ τοῦ χαριζομένου πᾶσιν οἷς ἂν αὐτὸς θελήσῃ, ὕπνου
μέρος ἀπέστειλε πρὸς τὸν βασιλέα. Καὶ ἡδίστῳ καὶ βαθεῖ κατεσχέθη τῇ ἐνεργείᾳ τοῦ Δεσπότου 12.
τῆς ἀθέσμου μὲν προθέσεως πολὺ διεσφαλμένος, τοῦ δὲ ἀμεταθέτου λογισμοῦ μεγάλως διεψευ-
σμένος. Οἱ δὲ Ἰουδαῖοι τὴν προσημανθεῖσαν ὥραν διαφυγόντες, τὸν ἅγιον ᾔνουν Θεὸν αὐτῶν· 13.
καὶ πάλιν ἠξίουν τὴν εὐκατάλλακτον, δεῖξαι τῆς μεγαλοσθενοῦς αὐτοῦ χειρὸς κράτος ἔθνεσιν ὑπερ-
ηφάνοις. Μεσούσης δὲ ἤδη τῆς δεκάτης ὥρας σχεδὸν, ὁ πρὸς ταῖς κλήσεσι τεταγμένος, ἀθρόους 14.
τοὺς κλητοὺς ἰδὼν, ἔνυξε προσελθὼν τὸν βασιλέα. Καὶ μόλις διεγείρας, ὑπέδειξε τὸν τῆς συμ- 15.
ποσίας καιρὸν ἤδη παρατρέχοντα, τὸν περὶ τούτων λόγον ποιούμενος. Ὃν ὁ βασιλεὺς λογισά- 16.
μενος, καὶ τραπεὶς εἰς τὸν πότον, ἐκέλευσε τοὺς παραγεγονότας εἰς τὴν συμποσίαν ἄντικρυς ἀνα-
κλιθῆναι αὐτοῦ. Οὗ καὶ γενομένου, παρῄνει εἰς εὐωχίαν δόντας ἑαυτοὺς, τὸ παρὸν τῆς συμπο- 17.
σίας ἐπὶ πολὺ γεραιρομένους εἰς εὐφροσύνην καταθέσθαι μέρος. Ἐπὶ πλεῖον δὲ προβαινούσης τῆς ὁμι- 18.
λίας, τὸν Ἕρμωνα μεταπεμψάμενος ὁ βασιλεὺς, μετὰ πικρᾶς ἀπειλῆς ἐπυνθάνετο, τίνος ἕνεκεν
αἰτίας εἰάθησαν οἱ Ἰουδαῖοι τὴν παροῦσαν ἡμέραν περιβεβιωκότες. Τοῦ δὲ ὑποδείξαντος νυκτὸς τὸ 19.
προσαγὲν ἐπὶ τέλος ἠγηοχέναι, καὶ τῶν φίλων αὐτῷ προσμαρτυρησάντων, Τὴν ὠμότητα χείρονα 20.
Φαλάριδος ἐσχηκὼς ἔφη, Τῷ τῆς σήμερον ὕπνῳ χάριν ἔχειν αὐτούς· ἀνυπερθέτως δὲ εἰς τὴν ἐπι-
τέλλουσαν ἡμέραν κατὰ τὸ ὅμοιον ἑτοίμασον τοὺς ἐλέφαντας ἐπὶ τὸν τῶν ἀθεμίτων Ἰουδαίων ἀφα-
νισμόν. Εἰπόντος δὲ τοῦ βασιλέως, ἀσμένως πάντες μετὰ χαρᾶς οἱ παρόντες ὁμοῦ συναινέσαντες, 21.

fin. com. 9.] ∧ 71. περιέχουσαν αὐτοὺς] εχουσαν αυτους 19. μετὰ δεσμῶν] ∧ μετα 64.

VII. Τὸν παντοκράτορα] præmitt. και 44. καὶ πατέρα] ∧ και 62 64, 93. δυσκαταπαύστῳ βοῇ] δυσκαταπαυστως βοη 62. δυσκαταπαυστον βοην 93.

VIII. μεταστρέψαι] επιστρεψαι 44. ἐν ἑτοίμῳ μόρου] ετοιμου μορου 55, 64. ἀν ἑτοίμου μόρου (sic) 74.

IX. Totum comma deest 44. μὲν οὖν] ∧ ουν 23, 62, 74. Compl. Ald. ἡ λιτανεία] εν λιτανεια 55. ponit ante ἐκτενῶς Alex. εἰς οὐρανόν] εις τον ουρανον 23. Alex.

X. Ὁ δὲ—οἴνου] ὁ Ερμων δε τους ελεφαντας ποτισας οινου 44. τοὺς ἀνηλεεῖς] ∧ ανηλεεις 71. ἐλέφαντας ποτίσας] ελεφαντας τους 62. πεπληρωμένους] præmitt. τους 64, 93. πεπληρωμένους—μεμεστωμένους] ∧ cum intermed. 71. περὶ τούτων] præmitt. τὰ Compl. περὶ τούτων &c. ad fin. com.] ∧ 71. προσαγγεῖλαι] προσαναγγειλαι 55. τῷ βασιλεῖ] αυτω τω βασιλει 44.

XI. Commata 11, 12, 13. desunt in Codice 71. Τοῦτο δὲ ἀπ᾽ αἰῶνος] το δε απ᾽ αιωνος 19, 23, 44, 55, 62, 64, 74, 93. Compl. Alex. χρόνου κτίσμα] tr. Alex. ἐπιβαλλόμενον] ὑποβαλλόμενον Ald. ἀπέστειλε] απεσταλη 19, 62, 64, 93. πρὸς τὸν βασιλέα] εις τον βασιλεα III, 19. 23, 55, 62, 93.

XII. κατεσχέθη τῇ ἐνεργείᾳ] κατασχεθεις υπνω απο εσπερας εως εννατης τη ενεργεια 19, 62, 64, 93. ∧ τῇ 44. προθέσεως] προαιρεσεως 64. πολὺ διεσφαλμένος] πολυ διεσφαλη 19, 62, 64, 93. μεγάλως διεψευσμένος] μεγαλως διεψευσθη 19, 62, 64, 93.

XIII. Οἱ δὲ Ἰουδαῖοι] οἱ τε Ιουδαιοι III, 23, 64, 93. ὥραν] præmitt. αυτοις 62, 64, 93. διαφυγόντες, τὸν ἅγιον] δια τον αγιον 55. ἅγιον—αὐτῶν] ἅγιον αυτων ηνουν Θεον 62, 64, 93. τῆς μεγαλοσθενοῦς] ∧ της 55, 74. Compl. Ald. Alex. αὐτοῦ] ἑαυτοῦ Alex. χειρὸς κράτος] χειρος το κρατος 62, 93. ἔθνεσιν ὑπερηφάνοις] præmitt. εν 62, 64, 93.

XIV. Μεσούσης δὲ] ∧ δε 93. τῆς δεκάτης ὥρας] και της ωρας 23. ∧ δεκατης 44. ∧ της 55, 64, 74, 93. Compl. Ald. Alex. δεκατη ωρας 62. σχεδὸν—τεταγμένος] ∧ cum intermed. 71. πρὸς ταῖς κλήσεσι] προς ταις κλεισι 74. ἀθρόους] αθωους 71. αθροως 74. τοὺς κλητοὺς ἰδὼν] τους κλητους ειδον 71. ἔνυξε] ηνοιξε 74.

XV. Καὶ μόλις] και μογις 23, (62. scr. μογοις) 64, 93. ὑπέδειξε—παρατρέχοντα] ∧ cum intermed. 71. καιρὸν ἤδη] tr. 62, 64, 93. τὸν περὶ τούτων λόγον] και τον περι παντων λογον 19, (62. scr. και των) 64. και τον περι παντων λογων 93.

XVI. Ὃν ὁ βασιλ.] ὧν ὁ βασιλ. 62, 64, 93. λογισάμενος, καὶ τραπεὶς] ελογισατο ὁ δε προτραπεις 19. ελογισατο ὁ δε τραπεις 62, 64, 93. εἰς τὸν πότον] εἰς τὸν τόπον Ald. εἰς τὴν συμποσίαν] επι την συμποσιαν III, 19, 23, 62, 64. ἀνακλιθῆναι αὐτοῦ] ανακλιναι αυτου III, 64. ανακλιναι αυτους 19, 23, 93. ανακλιναι αυτους αυτων 62.

XVII. Comma integrum deest 71. Οὗ καὶ γενομένου] και γενομενος 23. ∧ οὗ 19, 55, 62, 93. και γενομενου τουτου 64. παρῄνει] παρην 55. παρηνη 62. τὸ παρὸν] το παρωρον 23, 62, 64, 93. τὸν παρόντα Ald. εἰς εὐφροσύνην] εις ευφροσυνης 62, 64, 74.

XVIII. προβαινούσης] προσκοπτουσης III. προκοπτουσης 19. Alex. μεταπεμψάμενος] προσκαλεσαμενος III, 19, 23, 62, 64, 93. αἰτίας εἰάθησαν] αιτιας ιασθησαν III. αιτιας ειησαν 19, 62. αιτιας ιαθησαν (23. corr. m. sec. ut in Ed.) 71. αιτιας ησαν 64. λιτανιας ειησαν 93. τὴν παροῦσαν ἡμέραν] την περιουσαν ημεραν III, 23. 55, 74. Compl. Ald. σημερον 71. περιβεβιωκότες] ∧ 71.

XIX. νυκτὸς] præmitt. ετι 19, 62, 64, 93. præmitt. οτι 23, 55. (Alex. inter uncos.) τὸ προσαγὲν] τα προσαγεντα 23. ἐπὶ τέλος] εις τελος 74. ἠγηοχέναι] ηγιοχεναι (corr. m. sec. ηγηοχεναι) 23. αγηοχεν 55. ηγιοχειναι 93. ἡγειοχέναι Ald. φίλων αὐτῷ] φιλων αυτων III. Ald. φιλων αυτου 23, 93. Compl. αὐτῷ προσμαρτυρησάντων—ἐσχηκὼς in com. seq.] ∧ cum intermed. 55.

XX. Τὴν ὠμότητα—ἐσχηκὼς] ∧ cum intermed. 71. χείρονα] + θυμον 19, 62. + οὐ μονον 64. + οὐ μονην 93. Φαλάριδος] Φαιλαριδος III. ἐσχηκὼς ἔφη] εσχηκως φησι 71. Τῷ τῆς σήμερον] το της σημερον 23, 55. ὕπνῳ] υπνου ex corr. 23. ἐπιτέλλουσαν ἡμέραν] υποστελλουσαν ημεραν III. επιτελουσαν ημεραν 55. επιουσαν ημεραν 64. τη επιουση ημερα 71. κατὰ τὸ ὅμοιον] ∧ 71. ἐπὶ τὸν τῶν] επι το των 93. ἐπὶ τὸν τῶν—ἀφανισμόν] αφανισαι τους Ιουδαιους 71.

XXI. ἀσμένως πάντες] ασμενην παντες 62. εἰς τὸν ἴδιον] ∧ ιδιον 62. ἀνέλυσε] ανελυσαν 55.

22. εἰς τὸν ἴδιον οἶκον ἕκαστος ἀνέλυσε. Καὶ οὐχ οὕτως εἰς ὕπνον κατεχρήσαντο τὸν χρόνον τῆς νυκτὸς,
23. ὡς εἰς τὸ παντοίους μηχανᾶσθαι τοῖς ταλαιπώροις δοκοῦσιν ἐμπαιγμούς. Ἄρτι δὲ ἀλεκτρυὼν ἐκε-
24. κράγει ὄρθριος, καὶ τὰ θηρία καθωπλικὼς ὁ Ἕρμων ἐν τῷ μεγάλῳ περιστύλῳ διεκίνει. Τὰ δὲ
κατὰ τὴν πόλιν πλήθη συνήθροιστο πρὸς τὴν οἰκτροτάτην θεωρίαν, προσδοκῶντα τὴν πρωΐαν
25. μετὰ σπουδῆς. Οἱ δὲ Ἰουδαῖοι κατὰ τὸν ἀμερῆ ψυχουλκούμενοι χρόνον, πολυδάκρυον ἱκετείαν ἐν
μέλεσι γοεροῖς τείνοντες τὰς χεῖρας εἰς τὸν οὐρανὸν, ἐδέοντο τοῦ μεγίστου Θεοῦ, πάλιν αὐτοῖς βοηθῆ-
26. σαι συντόμως. Οὔπω δὲ ἡλίου βολαὶ κατεσπείροντο, καὶ τοῦ βασιλέως τοὺς φίλους ἐκδεχομένου, ὁ
Ἕρμων παραστὰς, ἐκάλει πρὸς τὴν ἔξοδον, ὑποδεικνύων τὸ πρόθυμον τοῦ βασιλέως ἐν ἑτοίμῳ κεῖ-
27. σθαι. Τοῦ δὲ ἀποδεξαμένου καὶ καταπλαγέντος ἐπὶ τῇ παρανόμῳ ἐξόδῳ, κατὰ πᾶν ἀγνωσίᾳ
28. κεκρατημένος ἐπυνθάνετο, τί τὸ πρᾶγμα ἐφ' ὃ τοῦτο αὐτῷ μετὰ σπουδῆς τετέλεσται. Τοῦτο δὲ ἦν
ἡ ἐνέργεια τοῦ πάντα δεσποτεύοντος Θεοῦ, τῶν πρὶν αὐτῷ μεμηχανημένων λήθην κατὰ διάνοιαν
29. ἐντεθεικότος. Ὁ δὲ Ἕρμων ὑπεδείκνυε καὶ πάντες οἱ φίλοι, τὰ θηρία καὶ τὰς δυνάμεις ἡτοι-
30. μάσθαι, βασιλεῦ, κατὰ τὴν σὴν ἐκτενῆ πρόθεσιν. Ὁ δὲ ἐπὶ τοῖς ῥηθεῖσι πληρωθεὶς βαρεῖ χό-
λῳ, διὰ τὸ περὶ τούτων προνοίᾳ Θεοῦ διεσκεδάσθαι πᾶν αὐτοῦ τὸ νόημα, κατενίσας μετὰ ἀπει-
31. λῆς εἶπεν, Εἴ σοι γονεῖς παρῆσαν ἢ παίδων γοναὶ, τήνδε θηρσὶν ἀγρίοις ἐσκεύασαν ἂν δαψιλῆ
θοίναν, ἀντὶ τῶν ἀνεγκλήτων ἐμοὶ καὶ προγόνοις ἐμοῖς ἀποδεδειγμένων ὁλοσχερῆ βεβαίαν πίστιν
32. ἐξόχως, Ἰουδαίων. Καί περ εἰ μὴ διὰ τὴν τῆς συντροφίας στοργὴν καὶ τῆς χρείας, τὸ ζῆν ἀντὶ
33. τούτων ἐστερήθης. Οὕτως ὁ Ἕρμων ἀπροσδόκητον καὶ ἐπικίνδυνον ὑπήνεγκεν ἀπειλὴν, καὶ τῇ ὁρά-
34. σει καὶ τῷ προσώπῳ συνεστάλη. Ὁ καθεὶς δὲ τῶν φίλων σκυθρωπῶς ὑπεκρέων, τοὺς συνηθροισμέ-
35. νους ἀπέλυσαν ἕκαστον ἐπὶ τὴν ἰδίαν ἀσχολίαν. Οἵ τε Ἰουδαῖοι τὰ παρὰ τοῦ βασιλέως ἀκούσαντες,
τὸν ἐπιφανῆ Θεὸν καὶ βασιλέα τῶν βασιλέων ᾔνουν, καὶ τῆσδε τῆς βοηθείας αὐτοῦ τετευχότες.

XXII. τὸν χρόνον] ∧ 71. ὡς εἰς τὸ &c. ad fin. com.] ∧ 71. ὡς εἰς τὸ παντοίους] ωστε παντοιους 19, 23, 62, 64, 93. δοκοῦσιν] præmitt. ειναι 19, 62, 93. ∧ 74.

XXIII. Ἄρτι—ὄρθριος] ∧ cum intermed. 71. Ἄρτι δὲ] ηνικα δε 19, 62. ἐκεκράγει] εκεκραγεν 23, 55, 74. Alex. ενεκραγεν 44. διεκίνει] διεκινειτο 19.

XXIV. οἰκτροτάτην] ∧ 74. προσδοκοῦντα &c. ad fin. com.] ∧ 71.

XXV. Οἱ δὲ Ἰουδαῖοι] οἱ τε Ιουδαιοι 62, 64. οἱ τε οἱ Ιουδαιοι 93. κατὰ τὸν—γοεροῖς] ∧ cum intermed. 71. κατὰ τὸν ἀμερῆ ψυχουλκούμενοι] κατα τινα μερη ψυχολκουμενοι 23. ψυχουλκούμενοι] ψυχαποιούμενοι (forſ. πονουμενοι) 93. πολυδάκρυον] πολυδακρυν 44, 55, 64, 74, 93. Alex. πολυδάκρεω Ald. εἰς τὸν οὐρανὸν] ∧ τον 64. τοῦ μεγίστου Θεοῦ] ∧ μεγιστου 44, 71. πάλιν] ∧ 44, 71. αὐτοῖς βοηθῆσαι] tr. 19, 62, 64, 71, 93. συντόμως] ∧ 71.

XXVI. Οὔπω δὲ] ουπω δε III. κατεσπείροντο] κατεπειροντο III. ἐκδεχομένου] εκδεχομενος 23. ὁ Ἕρμων] ∧ ὁ 74. ἐκάλει] επικαλει III. ὑποδεικνύων] ὑποδεικνὺς Alex. ἐν ἑτοίμῳ κεῖσθαι] ∧ εν 19. εν ετοιμη κεισθαι (ex corr. ſec. m.) 23.

XXVII. Τοῦ δὲ ἀποδεξαμένου—κεκρατημένος] ∧ cum intermed. 71. παρανόμῳ ἐξόδῳ] ἀνόμῳ ἐξόδῳ Alex. κατὰ πᾶν] κατὰ πάντα Alex. κεκρατημένος] κεκρατημενου 74. ἐπυνθάνετο] ὁ δε πυνθανομενος 71. τί τὸ πρᾶγμα ἐφ' ὃ τοῦτο] οτι το διασαφουμενον ετι III, 19, (62. ſcr. ετει) 93. οτι το δειμαφου (corr. δημαφου) ετι 23. ἐφ' ὃ τοῦτο] εφ' ᾧ τουτο 44. μετὰ σπουδῆς] præmitt. εἰ 19, 93. κατὰ σπουδῆς Ald. Alex. τετέλεσται] τετελεσθαι 23.

XXVIII. ἡ ἐνέργεια] ∧ ἡ 62, 64, 71, 93. τοῦ πάντα δεσποτ.] του τα παντα διερποτος (ſic) 19. του τα παντα διεποντος 62, 64, 93. ∧ 71. τοῦ πάντα δεσποτ. Θεοῦ] ∧ 74. δεσποτεύοντος Θεοῦ] δυναστευοντος Θεου 23. αὐτῷ μεμηχανημένων] αυτου μεμηχανευμενων 23. κατὰ διάνοιαν] ∧ 71.

XXIX. Ὁ δὲ Ἕρμων ὑπεδείκνυε] υπεδεικνυεν ὁ Ερμων III, 19, 23, 44, 55, 62, 74, 93. Compl. Ald. ~~Alex.~~ υπεδεικνυεν Ιερμων 71. καὶ τὰς δυνάμεις] + λεγοντες 55. ἐκτενῆ πρόθεσιν] + ηδη δε του βασιλεως Πτολεμαιου, κατα θειας προνοιας εγκεντρισμον, ελεειν το εθνος των Ιουδαιων εγνωκοτος, και αφειναι λοιπον αυτους σπευδοντος, τοις τε περι αυτον ενδοξοις συμβουλευομενον (corr. συμβουλευομενου), οἱ περι αυτον φιλοι και μεγιστανες αυτου ηγανακτουν και σφοδρα εχαλεπαινον. εἷς δε τις των εντιμων εν αυτοις, ὃς και συντροφος ην του βασιλεως, Ερμων τοὔνομα, τολμησας ειπεν· ουκ επι τουτοις ὦ βασιλευ την κατ' αυτων εξ αρχης επιχειρησιν εποιησω; λαβων δε αναγνωθι τα πρωην περι αυτων υπο σου γραφεντα· υπερ γαρ του μη γενεσθαι αυτους ημιν φυσει δυσμενεις και κατανωτους αντιφωνησαντας τοις αντιπαλοις ημων καθ' ἡμων γενεσθαι προνουμενος, ταυτα περι αυτων εδογματισας εν αρχη, ἃ νυν ουκ οιδας, και ανατρεπειν επιχειρεις. μηδαμως ω βασιλευ· εκφερωμεν δε δια ταχεων την καλως επ' αυτοις εξενεχθεισαν ψηφον· και τους ελεφαντας επαγοντες πληρωμεν την επ' αυτοις εξ αρχης υπο σου γενομενην προθεσιν 64. ∧ εκτενη 71.

XXX. ἐπὶ τοῖς ῥηθεῖσι—νόημα] ∧ cum intermed. 71. πληρωθεὶς] ∧ 64 βαρεῖ χόλῳ] tr. 44. βαρειν (ſic) χολω 62. διὰ τὸ περὶ] δια την περι 55. προνοίᾳ Θεοῦ διεσκεδ.] προνοια ου διεσκεδ. 93. διεσκεδάσθαι] διεσκεδασεν III. τὸ νόημα] ∧ τὸ Alex. μετὰ ἀπειλῆς εἶπεν] μετα απειλης εις τον Ερμωνα και δυσμενεσι λογοις λοιδωρησας ειπεν 19, 62, 93. ſic, cum απειλησας pro λοιδωρησας, et προς τον pro εις τον, 64. μετα απειλης εφη 71.

XXXI. Εἴ σοι γονεῖς] οσοι γονεις III, 23, 44, 71, 74. Compl. Ald. παίδων γοναὶ] παιδων γονοι 44, 71, 74. Compl. Ald. Alex. παιδων γονεων 93. τήνδε θηρσὶν] τὴν θηρσιν 93. ἀγρίοις] αγριοι 74. ἐσκεύασαν ἂν] ∧ αν III, 23, 44, 55, 71, 74. Compl. Ald. εσκευασαν αν 62, 64. εκερασαν (ſic) 93. ἀντὶ τῶν ἀνεγκλ.] αντι των Ιουδαιων τουτων οντων ανεγκλ. 64. ὁλοσχερῆ] ολοσχερως 62. ὁλοσχερῆ βεβαίαν πίστιν] ολοσχερη πιστιν βεβαιαν πιστιν 44.

XXXII. Καί περ] διοπερ 64. Καί περ εἰ μὴ—συντροφίας] και περι μηδενα την της συντροφιας 93. τῆς συντροφίας] της συστροφιας III. της τροφιας 19. καὶ τῆς χρείας] + αναγκαιον 64. και της ιδιας ζωης χρειας 93. ἀντὶ τούτων] αντι τουτου 23. ἐστερήθης] præmitt. αν 19, 62. præmitt. αν συ 64. ἀνεστερήθης (ſic) 93. ἐστερήθη Ald.

XXXIII. Οὕτως ὁ Ἕρμων] ουτος ὁ Ερμων 19. ουτως μεν ουν ὁ Ερμων 64. καὶ ἐπικίνδυνον] ∧ και 55, 62, 74, 93. Compl. Ald. ∧ 71. habet καὶ in char. min. Alex. ὑπήνεγκεν] ἐπήνεγκεν Ald. καὶ τῇ ὁράσει] και τω θρασει 23. και τω θρασει δε 62, 64. (93. ut videtur.) καὶ τῇ ὁράσει &c. ad fin. com.] ∧ 71.

XXXIV. Ὁ καθεὶς—ὑπεκρέων] ∧ cum intermed. 71. ὑπεκρέων] υποχναιων 19. τοὺς συνηθροισμένους] + οχλους 64. ∧ 93. ἀπέλυσαν] απελυεν 19, 23, 55, 62, 64. απελυσεν 93. ἕκαστον] præmitt. οχλους 62, 93. ἐπὶ τὴν] εις την 55. ἰδίαν ἀσχολίαν] ιδιαν σχολιαν 19, 62.

XXXV. τὰ παρὰ] ∧ τα 93. τὸν ἐπιφανῆ] ∧ επιφανη 71. Θεὸν] præmitt. Κυριον 62. καὶ βασιλέα] Κυριον βασιλεα III, 44, 93. Compl. Ald. præmitt. Κυριον 23. ∧ 71. και Κυριον βασιλεα 74. τῶν βασιλέων] ∧ 71. των βασιλευοντων 74. ᾔνουν] εδοξαζον 71. καὶ τῆσδε &c. ad fin. com.] ∧ 71. τῆς βοηθείας] της βασιλειας 64.

Κατὰ δὲ τούτους τοὺς νόμους ὁ βασιλεὺς συστησάμενος πάλιν τὸ συμπόσιον, εἰς εὐφροσύνην τραπῆ- 36.
ναι παρεκάλει. Τὸν δὲ Ἕρμωνα προσκαλεσάμενος μετὰ ἀπειλῆς εἶπε, Ποσάκις σοι δεῖ περὶ τού- 37.
των αὐτῶν προστάττειν, ἀθλιώτατε; Τοὺς ἐλέφαντας ἔτι καὶ νῦν καθόπλισον εἰς τὴν αὔριον ἐπὶ 38.
τὸν τῶν Ἰουδαίων ἀφανισμόν. Οἱ δὲ συνανακείμενοι συγγενεῖς τὴν ἄστατον διάνοιαν αὐτοῦ θαυμά- 39.
ζοντες, προεφέροντο τάδε, Βασιλεῦ, μέχρι τίνος ὡς ἀλόγους ἡμᾶς διαπειράζεις, προστάσσων ἤδη 40.
τρίτον αὐτοὺς ἀφανίσαι, καὶ πάλιν ἐπὶ τῶν πραγμάτων ἐκ μεταβολῆς ἀναλύων τὰ σοὶ δεδογμένα;
Ὧν χάριν ἡ πόλις διὰ τὴν προσδοκίαν ὀχλεῖ· καὶ πληθύουσα συστροφαῖς, ἤδη καὶ κινδυνεύει 41.
πολλάκις διαρπασθῆναι. Ὅθεν ὁ κατὰ πάντα Φάλαρις βασιλεὺς ἐμπληθυνθεὶς ἀλογιστίας, 42.
καὶ τὰς γινομένας πρὸς ἐπισκοπὴν τῶν Ἰουδαίων ἐν αὐτῷ μεταβολὰς τῆς ψυχῆς παρ' οὐδὲν ἡγού-
μενος, ἀτελέστατον ἐβεβαίωσεν ὅρκον, ὁρισάμενος τούτους μὲν ἀνυπερθέτως πέμψειν εἰς ᾅδην, ἐν
γόνασι καὶ ποσὶ θηρίων ᾐκισμένους, Ἐπιστρατεύσαντα δὲ ἐπὶ τὴν Ἰουδαίαν, ἰσόπεδον πυρὶ καὶ 43.
δόρατι θήσεσθαι διατάχους, καὶ τὸν ἄβατον αὐτῶν ἡμῖν ναὸν πυρὶ πρηνέα ἐν τάχει, καὶ τῶν
συντελούντων ἐκεῖ θυσίας ἔρημον τὸν ἅπαντα χρόνον καταστήσειν. Τότε περιχαρεῖς ἀναλύσαντες 44.
οἱ φίλοι καὶ συγγενεῖς, μετὰ πίστεως διέτασσον τὰς δυνάμεις ἐπὶ τοὺς εὐκαιροτάτους τόπους τῆς πό-
λεως πρὸς τήρησιν. Ὁ δὲ ἐλεφαντάρχης, τὰ θηρία σχεδὸν εἰπεῖν εἰς κατάστημα μανιῶδες ἀγη- 45.
οχὼς, εὐωδεστάτοις πόμασιν οἴνου λελιβανωμένου φοβεραῖς κατεσκευασμένα σκευαῖς, Περὶ τὴν ἕω, 46.
τῆς πόλεως ἤδη πλήθεσιν ἀναριθμήτοις κατὰ τοῦ ἱπποδρόμου καταμεμεστωμένης, εἰσελθὼν εἰς τὴν
αὐλὴν, ἐπὶ τὸ προκείμενον ὤτρυνε τὸν βασιλέα. Ὁ δὲ ὀργῇ βαρείᾳ γεμίσας δυσσεβῆ φρένα, 47.
παντὶ τῷ βάρει σὺν τοῖς θηρίοις ἐξώρμησε, βουλόμενος ἀτρώτῳ καρδίᾳ καὶ κόραις ὀφθαλμῶν θεά-
σασθαι τὴν ἐπίπονον καὶ ταλαίπωρον τῶν προσεσημαμμένων καταστροφήν. Ὡς δὲ τῶν ἐλεφάντων 48.
ἐξιόντων περὶ πύλην, καὶ τῆς συνεπομένης ἐνόπλου δυνάμεως, τῆς τε τοῦ πλήθους πορείας κονι-
ορτὸν ἰδόντες, καὶ βαρυηχῆ θόρυβον ἀκούσαντες οἱ Ἰουδαῖοι, Ὑστάτην βίου ῥοπὴν αὐτοῖς ἐκείνην 49.
δόξαντες εἶναι τὸ τέλος τῆς ἀθλιωτάτης προσδοκίας, εἰς οἶκτον καὶ γόους τραπέντες, κατεφίλουν
ἀλλήλους περιπλεκόμενοι τοῖς συγγενέσιν ἐπὶ τοὺς τραχήλους ἐπιπίπτοντες, γονεῖς παισὶ καὶ μη-

XXXVI. Κατὰ δὲ—νόμους] κατα δε τους αυτους νομους 19, 55. Alex. τοὺς νόμους] μονους 23, 64. συστησάμενος πάλιν] συστησαμενος παν III, 19, 62, 64, 93. τραπῆναι παρεκάλει] tr. 19, 62.

XXXVII. Τὸν δὲ Ἕρμ.] τον τε Ερμ. 62, 64, 93. προσκαλεσάμενος μετὰ ἀπειλῆς] ∧ 71. εἶπε] εφη 71. σοι δεῖ] tr. 19, 55, 62. Alex. δε σοι 23, 64, 93. σοι δοκεῖ Ald. προστάττειν] + εστιν 64, 93. ἀθλιώτατε] ∧ 71.

XXXVIII. Τοὺς ἐλέφαντας] τους γουν ελεφαντας 64. ἔτι καὶ νῦν] ∧ 71. εἰς τὴν αὔριον] ∧ εις την 71. ἐπὶ τὸν τῶν Ἰουδ. ἀφανισμόν] επι τον αφανισμον των Ιουδαιων 71.

XXXIX. Οἱ δὲ συνανακείμενοι] οἱ συγκειμενοι ειπον 71. οἱ δε συγκαθημενοι 74. συγγενεῖς &c. ad fin. com.] ∧ 71. τὴν ἄστατον] την αστατη 55. την ασταθει 93. τὴν ἄστατον διάνοιαν] εις την ασταθη διανοιαν 19. την ασταθη διανοιαν 44, 62, 64, (74. ut videtur.) Compl. Ald. Alex. αὐτοῦ θαυμάζοντες] πρωτον θαυμαζοντες 19. προεφέροντο τάδε] προεφερον ταδε 55, 64. προσεφεροντο ταδε 93.

XL. Βασιλεῦ] ∧ 71. ὡς ἀλόγους ἡμᾶς] ∧ 19, 93. ∧ αλογους 55. υμας 62. ημας 64. habet ἀλόγους in charact. minore Alex. διαπειράζεις] διαπειραζης 93. ἀφανίσαι] αφανισθηναι 93. ἐπὶ τῶν πραγμάτων] ponit post μεταβολης 19, 62. τὰ σοὶ δεδογμένα] τα σοι δεδομενα 62.

XLI. καὶ πληθύουσα] καὶ πληθύνουσα Compl. πληθύουσα συστροφαῖς] πληθυουσας συστροφας 93. ἤδη καὶ] ∧ και 62, 64, 93. διαρπασθῆναι] διασπασθῆναι Ald.

XLII. ὁ κατὰ πάντα Φάλαρις] ∧ 71. Φάλαρις] Φαδερει 93. βασιλεὺς ἐμπληθυνθεὶς] βασιλευς εμπλατυνθεις 19, 62, 64, 93. βασιλευς εμπλησθεις 55. βασιλευ 71. ἀλογιστίας] αλογιστια 62, 93. αλογιστια, ὁ δε παλιν 64. ἀλογιστίας—ἡγούμενος] ∧ cum intermed. 71. γινομένας πρὸς] tr. 93. παρ' οὐδὲν] παρ' ουθεν 93. ἐβεβαίωσεν ὅρκον] βεβαιως ορκον III, 23, 44, 55, 74. Compl. Ald. ∧ εβεβαιωσεν 71. πέμψειν] εκπεμψειν 64. εἰς ᾅδην] εις τον αδην 62, 64, 93. ἐν γόνασι] ∧ 71. καὶ ποσὶ] ∧ και 71.

XLIII. πυρὶ καὶ δόρατι—διατάχους] πυρι ταχους 55. θήσεσθαι] στησεσθαι III. θεσθαι 64. καὶ τὸν ἄβατον &c. ad fin. com.] ∧ 71. αὐτῶν ἡμῖν] ∧ αυτων 19, 55. ∧ ημιν 93. πυρὶ πρηνέα] πυρὶ πρὴν III, 23. πυρι πριανε (sic) 93. ἐν τάχει] ∧ εν 44, 55, 74. Compl. Ald. καὶ τῶν συντελ.] ∧ και 23, 44, 55, 74. Compl. Ald. habet καὶ in charact. minore Alex. θυσίας] θυσίαν Alex. ἔρημον] ερημα 19. ∧ 55, 74. habet in charact. minore Alex. τὸν ἅπαντα χρόνον] præmitt. εις 19, 62, 64, 74, 93. Compl. Ald. Alex.

XLIV. Comma integrum deest 71. πρὸς τήρησιν] προς την τηρησιν αυτων 19, 62, 64, 93. προς την τηρησιν 23, 55. Alex.

XLV. σχεδὸν εἰπεῖν—λελιβανωμένου] ∧ cum intermed 71. εἰπεῖν] ως ειπεν III. ως ειπειν 19, 23, 44, 55, 62, 64, 74, 93. Compl. Ald. Alex. ἀγηοχὼς] ἀγειοχῶς Ald. οἴνου λελιβανωμένου] οινω λελιβανωμενω III, 23, 44, 55. οινω και λιβανω κεκραμενοις 74. λελιβανωμένου] δε λιβανωμενου 93. φοβεραῖς] φοβερως 44, 71, 74. (93. ut videtur.) Compl. Ald. Alex. φοβεραῖς &c. ad fin. com.] κατασκευασας 23. φοβερως κατεσκευασμενα κατασκευαις 55. κατεσκευασμένα σκευαῖς] κεκοσμημενα κατασκευαις 19, 44, 62. Compl. Ald. Alex. κεκοσμημενα 71. κατακεκοσμημενα κατασκευαις 74.

XLVI. Περὶ τὴν ἕω—καταμεμεστωμένης] ∧ cum intermed. 71. τὴν ἕω] την νεω (sic) 19. ἐπὶ τὸ προκείμενον] ∧ 71.

XLVII. δυσσεβῆ φρένα &c. ad fin. com.] ∧ 71. ἐξώρμησε] εξορμησαι 62. ἀτρώτῳ καρδίᾳ] ατρωτων καρδια 62. καταστροφήν] κατασυστροφην 64.

XLVIII. Ὡς δὲ τῶν—πύλην] ∧ cum intermed. 71. περὶ πύλην] επι πυλην III. περι την πυλην 55, 62, 64, 93. καὶ τῆς συνεπομένης] και της επομενης 19, 62, 64, 93. ∧ τῆς τε τοῦ] præmitt. εκ 19. εκ της του 62, 64, 93. καὶ βαρυηχῆ θόρυβον] και βραχυ ηχη (sic) θορυβον 55. ἀκούσαντες οἱ Ἰουδ.] ∧ 55.

XLIX. Ὑστάτην—προσδοκίας] ∧ cum intermed. 71. Ὑστάτην βίου] ∧ υστατην 55. ἐκείνην δόξαντες] εκεινην δοξαν 55. τῆς ἀθλιωτάτης] της αθεωτατης 64. καὶ γόους τραπέντες] ∧ και γοους 71. περιπλεκόμενοι] περιπεπλαγμενοι 74. τοῖς συγγενέσιν—γονεῖς] ∧ cum intermed. 71. ἐπιπίπτοντες] + τε 62, 93. γονεῖς παισὶ] οἱ τε γονεις τοις εαυτων παισι 64. καὶ μητέρες] ∧ μητερες 23, 55. μητερες δε 62. ∧ 64, 93. καὶ μητέρες—ἔχουσαι] μητερες νεογνα προς μαστοις εχουσαι 19. νεάνισιν] ∧ 64, 93. νεάνισιν &c. ad fin. com.] ∧ 71. ἕτεραι—ἔχουσαι] ετεροι δε νεογνα προς μαστοις εχοντες 93. πρὸς μαστοὺς] προς τοις μαστοις 64. ἕλκοντα γάλα] + ωδυροντο 19, 62, 93. + εμινυροντο (ut videtur, scr. μιδυροντο) 64.

ΚΕΦ. V.

50. τέρες νεάνισιν, ἕτεραι δὲ νεογνὰ πρὸς μαςὲς ἔχουσαι βρέφη τελευταῖον ἕλκοντα γάλα. Οὐ μὴν
δὲ ἀλλὰ καὶ τὰς ἔμπροσθεν αὐτῶν γεγενημένας ἀντιλήψεις ἐξ ἐρανȣ̃ συνιδόντες, πρηνεῖς ὁμοθυ-
51. μαδὸν ῥίψαντες ἑαυτὲς καὶ τὰ νήπια χωρίσαντες τῶν μαςῶν, Ἀνεβόησαν φωνῇ μεγάλῃ σφόδρα,
τὸν τῆς ἁπάσης δυνάμεως δυνάςην ἱκετεύοντες, οἰκτεῖραι μετὰ ἐπιφανείας αὐτὲς ἤδη πρὸς πύλαις
ᾅδȣ καθεςῶτας.

ΚΕΦ. VI.

1. ΕΛΕΑΖΑΡΟΣ δέ τις ἀνὴρ ἐπίσημος τῶν ἀπὸ τῆς χώρας ἱερέων, ἐν πρεσβείῳ τὴν ἡλικίαν ἤδη
λελογχὼς, καὶ πάσῃ τῇ κατὰ τὸν βίον ἀρετῇ κεκοσμημένος, τὲς περὶ αὐτὸν καταςείλας πρεσβυ-
2. τέρους ἐπικαλεῖσθαι τὸν ἅγιον Θεὸν προσηύξατο τάδε· Βασιλεῦ μεγαλοκράτωρ, ὕψιςε, παντο-
3. κράτωρ Θεὲ, τὴν πᾶσαν διακυβερνῶν ἐν οἰκτιρμοῖς κτίσιν, Ἔπιδε ἐπὶ Ἀβραὰμ σπέρμα, ἐπὶ ἡγι-
ασμένȣ τέκνα Ἰακὼβ, μερίδος ἡγιασμένης σȣ λαὸν ἐν ξένῃ γῇ ξένον ἀδίκως ἀπολλύμενον, Πάτερ.
4. Σὺ Φαραὼ πληθύνοντα ἅρμασι, τὸ πρὶν Αἰγύπτου ταύτης δυνάςην, ἐπαρθέντα ἀνόμῳ θράσει
καὶ γλώσσῃ μεγαλοῤῥήμονι, σὺν τῇ ὑπερηφάνῳ ςρατιᾷ παντοβρόχους ἀπώλεσας, φέγγος ἐπιφάνας
5. ἐλέȣς Ἰσραὴλ γένει. Σὺ τὸν ἀναριθμήτοις δυνάμεσι γαυρωθέντα Σενναχηρεὶμ βαρὺν Ἀσσυρίων
βασιλέα, δόρατι τὴν πᾶσαν ὑποχείριον ἤδη λαβόντα γῆν, καὶ μετεωρισθέντα ἐπὶ τὴν ἁγίαν σου
πόλιν, βαρέα λαλȣ̃ντα κόμπῳ καὶ θράσει, Δέσποτα, ἔθραυσας, ἔκδηλον δεικνὺς ἔθνεσι πολλοῖς
6. τὸ σὸν κράτος. Σὺ τὲς κατὰ τὴν Βαβυλωνίαν τρεῖς ἑταίρους πυρὶ τὴν ψυχὴν αὐθαιρέτως δεδω-
κότας εἰς τὸ μὴ λατρεῦσαι τοῖς κενοῖς, διάπυρον δροσίσας κάμινον, ἐῤῥύσω μέχρι τριχὸς ἀπημάν-
7. τȣς, φλόγα πᾶσιν ἐπιπέμψας τοῖς ὑπεναντίοις. Σὺ τὸν διαβολαῖς φθόνου λέουσι κατὰ γῆς ῥι-
8. φέντα θηρσὶ βορὰν Δανιὴλ εἰς φῶς ἀνήγαγες ἀσινῆ. Τόν τε βυθοτρεφȣ̃ς ἐν γαςρὶ κήτȣς Ἰωνὰν
9. τηκόμενον ἀφειδῶς, ἀπήμαντον πᾶσιν οἰκείοις ἀνέδειξας, Πάτερ. Καὶ νῦν μισύβρι, πολυέλεε,
τῶν ὅλων σκεπαςὰ, τὸ τάχος ἐπιφάνηθι τοῖς ἀπὸ Ἰσραὴλ γένους, ὑπὸ δὲ ἐβδελυγμένων ἀνόμων
10. ἐθνῶν ὑβριζομένοις. Εἰ δὲ ἀσεβείαις κατὰ τὴν ἀποικίαν ὁ βίος ἡμῶν ἐνέσχηται, ῥυσάμενος ἡμᾶς
11. ἀπὸ ἐχθρῶν χειρὸς, ὡς προαιρῇ, Δέσποτα, ἀπόλεσον ἡμᾶς μόρῳ. Μὴ τοῖς ματαίοις οἱ μαται-
όφρονες εὐλογησάτωσαν ἐπὶ τῇ τῶν ἠγαπημένων σȣ ἀπωλείᾳ, λέγοντες, Οὐδὲ ὁ Θεὸς αὐτῶν ἐῤῥύ-

L. Οὐ μὴν δὲ—ἑαυτὲς] ‸ cum intermed. 71. Οὐ μὴν δὲ ἀλλὰ] ‸ 55. αὐτῶν γεγενημένας] αυτων γενομενας 55. συνιδόντες] συνειδοτες 64. χωρίσαντες τῶν μαςῶν] ριψαντες 71.

LI. Ἀνεβόησαν] ανεφωνησαν 62. φωνῇ μεγάλῃ] + προς Κυριον 71. σφόδρα &c. ad fin. com.] ‸ 71. τὸν τῆς—ἱκετεύοντες] τον παντων δυναςην ικετευοντες 19, sic, nisi των παντων, 62. τῆς ἁπάσης δυνάμεως] της απασης κτησεως 55. παντων 64, 93. ‸ δυναμεως 74. Compl. Ald. Alex. οἰκτεῖραι] οικτειρησαι 62. αὐτὲς ἤδη] τȣς ηδη 62, 64, 93. πρὸς πύλαις ᾅδȣ] προς πυλας αδȣ 44. προς ταις πυλαις τȣ αδȣ 62, 64, 93.

I. Deest com. integr. 71. ἱερέων] Ιȣδαιων III. ἤδη λελογχὼς] ηδη λελαχως 19. τὲς περὶ—πρεσβυτέρους] μόγις τι πρεσβυτέρους πόσον τρόπον οἱ περὶ αὐτὸν ἦσαν κατέςειλε 3 Codices Sergii. sic, cum καὶ πάντας pro τρόπον τίνα, 12 Codices Sergii, cum Veneta. τοὺς περὶ αὐτὸν] τȣς περι εαυτον 62. ἐπικαλεῖσθαι] επικαλεσασθαι 64. τὸν ἅγιον] ‸ 44. προσηύξ. τάδε] tr. 44. præmitt. καὶ Alex.

II. Βασιλεῦ μεγαλοκρ.] βασιλευ μεγαλοκρατορ 44, 74. Compl. Ald. ‸ μεγαλοκρατωρ 71. ὕψιςε] υψιςα III. παντοκράτωρ Θεὲ] παντοκρατορ Θεε 44, 74. Compl. Ald. ‸ 71. τὴν πᾶσαν] præmitt. ὁ 62, 64, 71, 93. ἐν οἰκτιρμοῖς] ‸ εν 62. ‸ 71. ἐν οἰκτιρμ. κτίσιν] κτισιν εν οικτιρμ. 64.

III. ἐπὶ Ἀβραὰμ] ‸ επι 23. επι το Αβρααμ 62, 64, 93. + Ισαακ και Ιακωβ 71. ἐπὶ ἡγιασμένȣ] απο ηγιασμενȣ 19, 23, 62, 93. ἐπὶ ἡγιασμ. τέκνα Ἰακὼβ] ‸ 71. ἡγιασμένης σου] ηγιασμενης σοι 62, 64, 93. ἐν ξένῃ γῇ] ‸ ξενη 71. ξένον ἀδίκως] præmitt. λαον 19, 62, 64, 93. ξενων αδικως 23. Πάτερ] ‸ 44, 71.

IV. Ab hoc commate usque ad com. 15. incl. desunt omnia 71. πληθύνοντα] πληθυοντα 44, 62, 64, 74. Compl. Ald. ἅρμασι] + πατερ 62. τὸ πρὶν] ‸ το 64. τὸν πρὶν Alex. ταύτης δυνάςην] θρασειν και δυναςην 19. ἐπαρθέντα] ἐπαρθῶντα (sic) 93. ἀνόμῳ—μεγαλοῤῥήμονι] ανομω γλωσση μεγαλορημονι 19. ἀνόμῳ θράσει] τω θρασει 23. ἀνοίκτω θράσει Compl. σὺν τῇ ὑπερηφάνῳ] ‸ τη 62. συν υπερηφανως 93. παντοβρόχους] ποντοβρυχους 23. ποντοβρυχιους 64. ποντοβροχιους 93. ποντοβρόχους Compl. Ald. φέγγος &c. ad fin. com.] φεγγος ελεου επιφανας γενει Ισραηλ 19, 62, 93. sic, nisi ελεους, 64.

V. Deest totum comma 44. γαυρωθέντα] γαυριωθεντα 64. γαυρωθέντα—βασιλέα] τὸν γαυρωθέντα τὸν ἀρθέντα Σενεχερὶμ Σανατρὲκ βασιλέα Ἀσυρίων 6 Codices Sergii. sic, sine Σανατρὲκ, 2 Codices Sergii. Σενναχηρεὶμ] Σεναχηριμ 74. Ἀσσυρ. βασιλέα] tr. 64. δόρατι] δορα 62. ἐπὶ τὴν ἁγίαν] υπο την αγιαν 93. βαρέα—ἔθραυσας] και βαρεα λαλησαντα κοπω και θρασει εθραυσας δεσποτα 19. βαρέα λαλȣ̃ντα] και βαρεα λαλησαντα 62, 64, 93. Δέσποτα, ἔθραυσας] συ δεσποτα θραυσας 23. præmitt. συ 55, 74. Compl. Ald. (Alex. inter uncos.) tr. 62, 64, 93. δεικνὺς] δεικνυεις 23.

VI. κατὰ τὴν Βαβυλωνίαν] κατα την Βαβυλωνα 23. τρεῖς ἑταίρους] τρεις ετερους 93. Ald. πυρὶ τὴν ψυχὴν] ψυχην τω πυρι 74. αὐθαιρέτως—λατρεῦσαι] αυθαιρετως γεγονοτας εις το μη λατρευειν 19. τὸ μὴ λατρεῦσαι] το μη λατρευειν 62, 64, 93. τοῖς κενοῖς] τοις κοινοις 74. διάπυρον] διαπειρον 93. διάπυρον δροσίσας κάμινον] διαπύρου χρονίας καμίνου 23. δροσίσας] δροσιας 74. μέχρι τριχὸς] μεχρι πυρος 93.

VII. κατὰ γῆς] κατω γης 62, 64, 93. ῥιφέντα θηρσὶ] ριφεντας θηρσι 19. ριφθεντα θηρσι 93. βορὰν] præmitt. εις 64. βορρὰ (sic) 93.

VIII. ἀφειδῶς] αφιδων III. επιδων 19, 62, 64. (93. scr. εφιδων.) αφειδων 55. ἀνέδειξας] αναδειξας III.

IX. μισύβρι] μισȣβρι III. ‸ 44. μη εισυβρει (sic) 55. μὴ συμβῇ 93. μὴ σύβρει Ald. τῶν ὅλων σκεπαςὰ] των ολων δικαςα III. ‸ 44. præmitt. και 55, 64. τὸ τάχος] habet τὸ in charact. minore Alex. τοῖς ἀπὸ Ἰσραὴλ] τοις αγιοις Ισραηλ III. γένους] ‸ 93. ὑπὸ δὲ ἐβδελυγμένων] υποβδεληγμενω 55. ‸ δε 64, 93, Alex. ἀνόμων ἐθνῶν] tr. 19.

X. Εἰ δὲ] ιδε 64. ἀσεβείαις] ἀσεβείας Ald. κατὰ τὴν ἀποικίαν] + ημων 64. ὁ βίος ἡμῶν] ημων ὁ βιος 19, 93. ἐνέσχηται] ἐνήσχηται (sic) 55. ὡς προαιρῇ] ὧ προαιρη 19, 55, 64. ὧ προαιρει 93.

XI. Μὴ τοῖς] μηποτε τοις 19, 62, 64, 93. εὐλογησάτωσαν] αινεσωσιν 19, 62, 64, 93.

σατο αὐτούς. Σὺ δὲ ὁ πᾶσαν ἀλκὴν καὶ δυναστείαν ἔχων ἅπασαν, αἰώνιε, νῦν ἔπιδε· ἐλέησον 12.
ἡμᾶς τοὺς καθ᾽ ὕβριν ἀνόμων ἀλόγιστον ἐκ τοῦ ζῆν μεθιστανομένους ἐν ἐπιβούλων τρόπῳ. Πτηξάτω 13.
δὲ ἔθνη σὴν δύναμιν ἀνίκητον σήμερον, ἔντιμε, δύναμιν ἔχων, ἐπὶ σωτηρίᾳ Ἰακὼβ γένους. Ἱκε- 14.
τεύει σε τὸ πᾶν πλῆθος τῶν νηπίων καὶ οἱ τούτων γονεῖς μετὰ δακρύων. Δειχθήτω πᾶσιν ἔθνε- 15.
σιν ὅτι μεθ᾽ ἡμῶν εἶ Κύριε, καὶ οὐκ ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ᾽ ἡμῶν· ἀλλὰ καθὼς εἶπας,
ὅτι οὐδ᾽ ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν ὄντων ὑπερεῖδες αὐτούς, οὕτως ἐπιτέλεσον, Κύριε. Τοῦ δὲ Ἐλε- 16.
αζάρου λήγοντος ἄρτι τῆς προσευχῆς, ὁ βασιλεὺς σὺν τοῖς θηρίοις καὶ παντὶ τῷ τῆς δυνάμεως
φρυάγματι κατὰ τὸν ἱππόδρομον παρῆγε. Καὶ θεωρήσαντες οἱ Ἰουδαῖοι, μέγα εἰς οὐρανὸν ἀνέ- 17.
κραξαν, ὥστε καὶ τοὺς παρακειμένους αὐλῶνας συνηχήσαντας, ἀκατάσχετον οἰμωγὴν ποιῆσαι παντὶ
τῷ στρατοπέδῳ. Τότε ὁ μεγαλόδοξος παντοκράτωρ καὶ ἀληθινὸς Θεός, ἐπιφάνας τὸ ἅγιον αὐτοῦ 18.
πρόσωπον; ἠνέῳξε τὰς οὐρανίους πύλας, ἐξ ὧν δεδοξασμένοι δύο φοβεροειδεῖς ἄγγελοι κατέβησαν
φανεροὶ πᾶσι πλὴν τοῖς Ἰουδαίοις, Καὶ ἀντέστησαν, καὶ τὴν δύναμιν τῶν ὑπεναντίων ἐπλήρωσαν 19.
ταραχῆς καὶ δειλίας, καὶ ἀκινήτοις ἔδησαν πέδαις. Καὶ ὑπόφρικον καὶ τὸ τοῦ βασιλέως σῶμα 20.
ἐγενήθη, καὶ λήθη τὸ θράσος αὐτοῦ τὸ βαρύθυμον ἔλαβε. Καὶ ἀπέστρεψαν τὰ θηρία ἐπὶ τὰς 21.
συνεπομένας ἐνόπλους δυνάμεις, καὶ κατεπάτουν αὐτὰς καὶ ὠλόθρευον· Καὶ μετεστράφη τοῦ βασι- 22.
λέως ἡ ὀργὴ εἰς οἶκτον καὶ δάκρυα ὑπὲρ τῶν ἔμπροσθεν αὐτῷ μεμηχανημένων. Ἀκούσας γὰρ τῆς 23.
κραυγῆς, καὶ συνιδὼν πρηνεῖς ἅπαντας εἰς τὴν ἀπώλειαν, δακρύσας μετὰ ὀργῆς τοῖς φίλοις δι-
ηπειλεῖτο, λέγων, Παραβασιλεύετε, καὶ τυράννους ὑπερβεβήκατε ὠμότητι· καὶ ἐμὲ αὐτὸν τὸν ὑμῶν 24.
εὐεργέτην ἐπιχειρεῖτε τῆς ἀρχῆς ἤδη καὶ τοῦ πνεύματος μεθιστᾶν, λάθρα μηχανώμενοι τὰ μὴ συμ-
φέροντα τῇ βασιλείᾳ. Τίς τοὺς κρατήσαντας ἡμῶν ἐν πίστει τὰ τῆς χώρας ὀχυρώματα, τῆς οἰκίας 25.
ἀποστήσας ἕκαστον ἀλόγως ἤθροισεν ἐνθάδε; Τίς τοὺς ἐξαρχῆς εὐνοίᾳ πρὸς ἡμᾶς κατὰ πάντα δια- 26.
φέροντας πάντων ἐθνῶν, καὶ τοὺς χειρίστους πλεονάκις ἀνθρώπων ἐπιδεδεγμένους κινδύνους, οὕτως
ἀθέσμοις περιέβαλεν αἰκίαις; Λύσατε, ἐκλύσατε ἄδικα δεσμά· εἰς τὰ ἴδια μετ᾽ εἰρήνης ἐξαπο- 27.
στείλατε, τὰ προπεπραγμένα παραιτησάμενοι. Ἀπολύσατε τοὺς υἱοὺς τοῦ παντοκράτορος ἐπουρανίου 28.
Θεοῦ ζῶντος, ὃς ἀφ᾽ ἡμετέρων μέχρι τοῦ νῦν προγόνων ἀπαραπόδιστον μετὰ δόξης εὐστάθειαν παρ-
έχει τοῖς ἡμετέροις πράγμασιν. Ὁ μὲν οὖν ταῦτα ἔλεξεν· οἱ δὲ ἐν ἀμερεῖ χρόνῳ λυθέντες, τὸν 29.
ἅγιον σωτῆρα Θεὸν αὐτῶν εὐλόγουν, ἄρτι τὸν θάνατον ἐκπεφευγότες. Εἶτα ὁ βασιλεὺς εἰς τὴν 30.

XII. πᾶσαν ἀλκὴν] πασαν αρχην 19. ἔχων ἅπασαν] ∧ απασαν 19, 44. πασαν εχων 62, 64, 93. αἰώνιε, νῦν ἔπιδε] ∧ 44. ἐλέησον] præmitt. και 62, 93. ἀνόμων] ανομον 93. ἀλόγιστον] αλογιστων 62. μεθιστανομένους] μεθισταμενους 19, 44, 55, 62, 64, 74, 93. Compl. Ald. Alex. ἐν ἐπιβούλων τρόπῳ] ∧ εν 44.

XIII. Πτηξάτω δὲ—δύναμιν] ∧ cum intermed. 62. Πτηξάτω δὲ—σήμερον] τηξατω δε εθνη ἡ ση δυναμις ανικητος σημερον 19, 64. sic, sine articulo, 93. σὴν δύναμιν ἀνίκητον] σην ανικητον δυναμιν 55. ἀνίκητον] νικητος 62. ἔντιμε] ἐν τιμῇ 19. ἔντεινε Ald. δύναμιν ἔχων] δυναμεις εχων 19, 62. (93. scr. δυναμις.) ἐπὶ σωτηρίᾳ] επι σωτηριαν III. επι σωτηρι 62. Ἰακὼβ γένους] tr. 19, 62, 64, 93.

XIV. τὸ πᾶν πλῆθος] ∧ παν 55.

XV. πᾶσιν ἔθνεσιν] απασιν εθνεσιν 55. πασιν τοις εθνεσιν 62. τὸ πρόσωπόν σου] ∧ το 93. ὅτι οὐδ᾽ ἐν] ὅτι ὁ δ᾽ ἐν (sic) 55. ∧ ὅτι Alex. ὑπερεῖδες αὐτούς] υπερειδον αυτους 19, 23, 55, 62, 93. υπερειδεν αυτους 74. Ald. ὑπέριδον αὐτοὺς Alex.

XVI. τῆς δυνάμεως] ∧ της 93. κατὰ τὸν ἱππόδρομον] εἰς τόπον ἐπισκέψεως 6 Codices Sergii. παρῆγε] παρηγαγεν 55.

XVII. Καὶ θεωρήσαντες] ∧ καὶ Ald. ἀνέκραξαν] εκραξαν 62, 93. συνηχήσαντας] συνηχθησαντας (III. scr. συνεχθησαντας) 55. συνηχησαντες 62. ἀκατάσχ. οἰμωγὴν] ακατασχ. πτοην III, 19, 93. ∧ οιμωγην 23, 55. ἀκατάσχ. ποιὴν (sic) 62.

XVIII. παντοκρ. καὶ ἀληθ.] ∧ 71. præmitt. καὶ Alex. τὰς οὐρανίους] τὰς οὐρανοῦ Compl. φοβεροειδεῖς] ∧ 71. ἄγγελοι] præmitt. ἀοράτως 6 Codices Sergii. φανεροὶ πᾶσιν] φανεροι οὐ πασιν 19, 62, 93. οὐ φανεροι πασιν 55. πᾶσι πλὴν τοῖς Ἰουδ.] ∧ 71.

XIX. Καὶ ἀντέστησαν] + τοις υπεναντιοις 19, 62, 93. και ανεστησαν 55. τῶν ὑπεναντίων] αυτων 19, 62, 93. ἐπλήρωσαν &c. ad fin. com.] ∧ 71. ἔδησαν] + αυτους 62, 93.

XX. Deest totum comma 71. Καὶ ὑπόφρικον] και υποφρικτον 62, 93. σῶμα ἐγενήθη] σωμα εγενετο 19, 62, 93.

XXI. Καὶ ἀπέστρεψαν] και απεστραφη 62, 93. συνεπομένας] ∧ 19, 62, 93. καὶ κατεπάτουν] και κατεπατει 62. (93. scr. κατεπατη.) αὐτὰς] αυτους III. Compl. Ald. καὶ ὠλόθρευον] και ωλοθρευε 62, 93.

XXII. εἰς οἶκτον] ∧ οικτον 71. καὶ δάκρυα] καδακρὺ (sic) 55. ∧ και 71. ὑπὲρ τῶν &c. ad fin. com.] ∧ 71. αὐτῷ] αυτων 93. μεμηχανημένων] μεμηχανευμενων 23. Alex.

XXIII. Ἀκούσας—δακρύσας] ∧ cum intermed. 71. ἅπαντας] παντας 62, 93. μετὰ ὀργῆς &c. ad fin. com.] και μετ᾽ οργης τοις φιλοις εφη 71. διηπειλεῖτο] ηπειλειτο 23.

XXIV. Παραβασιλεύετε] ∧ 71. καὶ τύραννους] τυραννων 71. ὑπερβεβήκατε] υπερβεβηκοτες III. ὠμότητι] ωμοτητα 71. præmitt. τη 74. αὐτὸν τὸν ὑμῶν εὐεργ.] ∧ τον 62. ∧ 71. ἐπιχειρεῖτε] επιχειρητε 74. ἤδη] ∧ 71. μηχανώμενοι] λανθανομενοι 71.

XXV. Com. 25. et 26. integra desunt 71. τοὺς κρατήσαντας] τους διακρατησαντας 19, 62, 93. τῆς οἰκίας ἀποστήσας] της οικιας αποδησας 19, 23, 62. (93. scr. οικειας.)

XXVI. τοὺς ἐξαρχῆς] του εξαρχης 62. τοὺς χειρίστους] του χειριστου 74. πλεονάκις] πολλακις 55. ἀνθρώπων] ανθρωπους 62. ἐπιδεδεγμένους] επιδεδειγμενους III, 55, 93. ἀθέσμοις] αθεσμως III, 55, 62. περιέβαλεν] περιεβαλον 93.

XXVII. Λύσατε—δεσμά] ∧ cum intermed. 71. ἐκλύσατε] ∧ 44. τὰ προπεπραγμένα] τα προστεταγμενα III. τα πεπραγμενα 44, 71. παραιτησάμενοι] παραστησαμενοι 93.

XXVIII. ἐπουρ. Θεοῦ ζῶντος] Θεου tantum 71. ἀφ᾽ ἡμετέρων] αφ᾽ ημερων 93. μετὰ δόξης εὐστάθειαν] εὐστάθειαν μετὰ δόξης Alex. παρέχει] προφερει III. παρειχε 19, 62, 93. τοῖς ἡμετέροις] τοις υμετεροις 93.

XXIX. ἔλεξεν] ἐξέλεξεν Alex. οἱ δὲ ἐν] ∧ εν 93. ἀμερεῖ χρόνῳ] ἀμεχρῆ (sic) χρονον 62. τὸν ἅγιον σωτῆρα] ∧ αγιον σωτηρα 71. Θεὸν αὐτῶν] ∧ αυτων 71. Θεον αυτον 93. ἄρτι τὸν θάνατον ἐκπεφευγότες] ἐκ πυλῶν θανάτου ἀπίστως διασωθέντες 6 Codices Sergii. sic, nisi διασωθέντες ἐγένοντο, 9 Codices Sergii, cum Veneta.

πόλιν ἀπαλλαγεὶς, τὸν ἐπὶ τῶν προσόδων προσκαλεσάμενος, ἐκέλευσεν οἴους τε καὶ τὰ λοιπὰ
πρὸς εὐωχίαν ἐπιτήδεια τοῖς Ἰουδαίοις χορηγεῖν ἐπὶ ἡμέρας ἑπτὰ, κρίνας αὐτοὺς ἐν ᾧ τόπῳ ἔδοξαν
31. τὸν ὄλεθρον ἀναλαμβάνειν, ἐν τούτῳ ἐν εὐφροσύνῃ πάσῃ σωτήρια ἄγειν. Τότε οἱ πρὶν ἐπονείδι-
στοι καὶ πλησίον τοῦ ᾅδου, μᾶλλον δ' ἐπ' αὐτῷ βεβηκότες, ἀντὶ πικροῦ καὶ δυσαιάκτου μόρου, κώ-
θωνα σωτήριον συστησάμενοι, τὸν εἰς πτῶσιν αὐτοῖς καὶ τάφον ἡτοιμασμένον τόπον κλισίαις κατ-
32. εμέρισαν πλήρεις χαρμονῆς. Καταλήξαντες δὲ θρήνου πανόδυρτον μέλος, ἀνέλαβον ᾠδὴν πά-
τριον, τὸν σωτῆρα καὶ τερατοποιὸν αἰνοῦντες Θεόν· οἰμωγήν τε πᾶσαν καὶ κωκυτὸν ἀπωσάμενοι,
33. χοροὺς συνίσταντο εὐφροσύνης εἰρηνικῆς σημεῖον. Ὡσαύτως δὲ καὶ ὁ βασιλεὺς περὶ τούτων συμ-
πόσιον βαρὺ συναγαγὼν, ἀδιαλείπτως εἰς οὐρανὸν ἀνθωμολογεῖτο μεγαλομερῶς ἐπὶ τῇ παραδόξῳ
34. γενηθείσῃ αὐτῷ σωτηρίᾳ. Οἵ τε πρὶν εἰς ὄλεθρον καὶ οἰωνοβρώτους αὐτοὺς ἔσεσθαι τιθέμενοι,
μετὰ χαρᾶς ἀπογραψάμενοι, κατεστέναξαν, αἰσχύνην ἐφ' ἑαυτοῖς περιβαλλόμενοι, καὶ τὴν πυρί-
35. πνουν τόλμαν ἀκλεῶς ἐσβεσμένοι. Οἵ τε Ἰουδαῖοι, καθὼς προειρήκαμεν, συστησάμενοι τὸν προει-
36. ρημένον χορὸν, μετ' εὐωχίας ἐν ἐξομολογήσεσιν ἱλαραῖς καὶ ψαλμοῖς διῆγον, Καὶ κοινὸν ὁρισά-
μενοι περὶ τούτων θεσμὸν ἐπὶ πᾶσαν τὴν παροικίαν αὐτῶν εἰς γενεὰς, τὰς προειρημένας ἡμέρας
ἄγειν ἔστησαν εὐφροσύνους, οὐ πότου χάριν καὶ λιχνείας, σωτηρίας δὲ τῆς διὰ Θεὸν γενομένης αὐ-
37. 38. τοῖς. Ἐνέτυχον δὲ τῷ βασιλεῖ, τὴν ἀπόλυσιν αὐτῶν εἰς τὰ ἴδια αἰτούμενοι. Ἀπογράφονται δὲ
αὐτοὺς ἀπὸ πέμπτης καὶ εἰκάδος τοῦ Παχὼν ἕως τῆς τετάρτης τοῦ Ἐπιφὶ, ἐπὶ ἡμέρας τεσσαράκον-
τα· συνίστανται δὲ αὐτῶν τὴν ἀπώλειαν ἀπὸ πέμπτης τοῦ Ἐπιφὶ ἕως ἑβδόμης, ἡμέραις τρισίν.
39. Ἐν αἷς καὶ μεγαλοδόξως ἐπιφάνας τὸ ἔλεος αὐτοῦ ὁ τῶν ὅλων δυνάστης, ἀπταίστους αὐτοὺς ἐρρύσατο
40. ὁμοθυμαδόν. Εὐωχοῦντο δὲ πάνθ' ὑπὸ τοῦ βασιλέως χορηγούμενοι μέχρι τῆς τεσσαρεσκαιδεκάτης,
41. ἐν ᾗ καὶ τὴν ἐντυχίαν ἐποιήσαντο περὶ τῆς ἀπολύσεως αὐτῶν. Συναινέσας τε αὐτοὺς ὁ βασιλεὺς,
ἔγραψεν αὐτοῖς τὴν ὑπογεγραμμένην ἐπιστολὴν πρὸς τοὺς κατὰ πόλιν στρατηγοὺς μεγαλοψύχως
τὴν ἐκτενίαν ἔχουσαν.

ΚΕΦ. VII.

1. ΒΑΣΙΛΕΥΣ Πτολεμαῖος ὁ Φιλοπάτωρ τοῖς κατ' Αἴγυπτον στρατηγοῖς καὶ πᾶσι τοῖς τεταγμένοις
2. ἐπὶ πραγμάτων, χαίρειν καὶ ἐρρῶσθαι. Ἐρρώμεθα δὲ καὶ αὐτοὶ καὶ τὰ τέκνα ἡμῶν, κατευθύ-
3. ναντος ἡμῖν τοῦ μεγάλου Θεοῦ τὰ πράγματα καθὼς προαιρούμεθα. Τῶν φίλων τινὲς κακοηθείᾳ

XXX. ἀπαλλαγεὶς] habet in charact. minore Alex. τὰ λοιπὰ πρὸς εὐωχ. ἐπιτηδ.] τα λοιπα παντα επιτηδεια 19, 62, 93. ἀναλαμβάνειν] απολαμβανειν 19, 62, 93. λαμβανειν 44. σωτήρια] σωτηριαν 23, 74. præmitt. και 62. ἄγειν] αγαγειν 93. Alex.

XXXI. οἱ πρὶν] οἱ το πριν 55, 93. Alex. καὶ πλησίον &c. ad fin. com.] ∧ 71. πλησίον τοῦ ᾅδου] ∧ τοῦ Compl. ἐπ' αὐτῷ] ∧ 93. δυσαιάκτου μόρου] δυσατακτου μορου III, 23. δυσαχθους μορου 19, 62, 93. δυσαλωτου μορου 55. σωτήριον] και σωτηριον 55. καὶ τάφον] και ταφω 62. κλισίαις] κλισιας III, 23. εις κλισιας 19, 62, 93. κατεμέρισαν] κατεμερισαντο 19, 23, 62, 74, 93. Compl. Alex. χαρμονῆς] χαρμοσυνης 55.

XXXII. Καταλήξαντες—μέλος] ∧ cum intermed. 71. θρήνου πανοδυρ.] θρηνον και πανοδυρ. 23. θρηνον πανοδυρ. 62, 93. θρήνων πανόδυρ. Alex. ἀνέλαβον] απελαβον 19. τὸν σωτῆρα] τον Ισραηλ σωτηρα 19, 62. Alex. + Ισραηλ 55. καὶ τερατοποιὸν] ∧ 71. αἰνοῦντες Θεὸν] tr. 71. οἰμωγήν τε] οἰμωγὴν δὲ Alex. οἰμωγήν τε &c. ad fin. com.] ∧ 71. καὶ κωκυτὸν] και κωτον (sic) 55. εἰρηνικῆς] ειρηνης 23.

XXXIII. καὶ ὁ βασιλεὺς—συναγάγων] καὶ ὁ βασιλεὺς δι' αὐτῶν ἐν τῷ μεγάλῳ οἴκῳ συμπόσιον δοὺς 7 Codices Sergii. sic, nisi τοῦ μεγάλου οἴκου, 8 Codices Sergii, cum Veneta. βαρὺ] βαρυν 62. συναγαγὼν] συνάγων Alex. μεγαλομερῶς] μεγαλοπρεπως 44, 74. Compl. Ald. μεγαλομερῶς &c. ad fin. com.] ∧ 71. ἐπὶ τῇ &c. ad fin. com.] ἐπὶ τῇ παραδόξῳ θαυμαστῷ σωτηρίᾳ. 6 Codices Sergii. γενηθείσῃ] γενομενη 19, 62, 93. αὐτῷ σωτηρίᾳ] αυτων σωτηρια 55, 93. Alex. ∧ αὐτῷ Ald.

XXXIV. Com. 34, 35, et 36. integra desunt 71. μετὰ χαρᾶς] præmitt. και 55, 62, 74. Compl. Ald. Alex. μετὰ χαρᾶς ἀπογραψ.] ∧ 93. ἀπογραψάμενοι] αποτρεψαμενοι 23. ἐφ' ἑαυτοῖς περιβαλ.] εφ' εαυτας περιβαλ. 19. περιβαλλόμενοι] περιβαλομενοι 74. Ald. Alex. καὶ τὴν πυρίπνουν &c. ad fin. com.] ∧ 74. τὴν πυρίπνουν] πυρόπνουν Alex. ἀκλεῶς] ακμαιως III. αναπλεως 93.

XXXV. προειρημ. χορὸν] προειρημ. χρονον III, 19, 74, 93. μετ' εὐωχίας] μετα ευωδιας 62. καὶ ψαλμοῖς] και ψαλμικαις 44.

XXXVI. ὁρισάμενοι] ορισμενοι 74. τὰς προειρ. ἡμέρας] ∧ ημερας 62. οὐ πότου χάριν] οὐ τυφου χαριν 19, 62, 93. λιχνείας] αἰχνίας (sic) 93.

XXXVII. Ἐνέτυχον δὲ] οἱ δε Ιουδαιοι ενετυχον 71.

XXXVIII. Com. 38, 39, et 40. desunt 71. Ἀπογράφονται δὲ] απεγραψαντο δε 19, 62, 93. καὶ εἰκάδος] ∧ 93. τοῦ Ἐπιφὶ 1°] του Επιφ (sic infra) 44, 74. Compl. Ald. του Επειφ (62. sic infra) 93. ἐπὶ ἡμέρας τεσσαράκ.] ∧ επι 23, 93. επι σαρακοντα ημερας 44. τοῦ Ἐπιφὶ 2°] του Επιφ 93.

XXXIX. τὸ ἔλεος] τον ελεον 62, 93. ὁ τῶν ὅλων] ὁ των παντων 19, 23, 62, 93. Alex.

XL. Εὐωχοῦντο δὲ—χορηγούμενοι] καὶ ὡσαύτως περιχαρεῖς ἐγένοντο ἀπὸ τοῦ ἐντάλματος τοῦ βασιλέως 10 Codices Sergii. πάνθ' ὑπὸ] παν υπο 93. ἐποιήσαντο] εποιησατο 19.

XLI. Συναιν. τε αὐτοὺς] συναιν. τε αυτοις 19, 93. και συνέστας (sic) αυτους 71. συναιν. δὲ αὐτοῖς Alex. ἔγραψεν αὐτοῖς] ∧ αυτοις 71. μεγαλοψύχως] præmitt. και 93.

I. Βασιλεὺς] + Θεο sic, punctis notat. 62. ὁ Φιλοπάτωρ] ∧ ὁ 44, 55, 62, 74, 93. Compl. καὶ πᾶσι—πραγμάτων] ∧ cum intermed. 71. τοῖς τεταγμένοις] τοις υποτεταγμενοις 44. καὶ ἐρρῶσθαι] και ερρωσθε 55. ∧ 71.

II. Deest com. integr. 71. Ἐρρώμεθα δὲ] ∧ δε 93. κατευθύναντος] κατευθυνοντος 55. και τα πραγματα ημων κατευθυνοντος 62. præmitt. και τα πραγματα ημων 93. τὰ πράγματα] τα προσαγματα III. καθὼς προαιρούμεθα] καθως περ αιρουμεθα 23. καθως προηρουμεθα 55.

III. Τῶν φίλων] præmitt. και 23. κακοηθείᾳ] κατα κακοηθειαν

πυκνότερον ἡμῖν παρακείμενοι, συνέπεισαν ἡμᾶς εἰς τὸ τοὺς ὑπὸ τὴν βασιλείαν Ἰουδαίους συν-
αθροίσαντας σύστημα, κολάσασθαι ξενιζούσαις ἀποστατῶν τιμωρίαις, Προσφερόμενοι μήποτε εὐ- 4.
σταθήσειν τὰ πράγματα ἡμῶν, δι' ἣν ἔχουσιν οὗτοι πρὸς πάντα τὰ ἔθνη δυσμένειαν, μέχρις ἂν
συντελεσθῇ τοῦτο. Οἳ καὶ δεσμίους καταγαγόντες αὐτοὺς μετὰ σκυλμῶν ὡς ἀνδράποδα, μᾶλλον 5.
δὲ ὡς ἐπιβούλους, ἄνευ πάσης ἀνακρίσεως καὶ ἐξετάσεως ἐπεχείρησαν ἀνελεῖν, νόμου Σκυθῶν ἀγριω-
τέραν ἐμπεπορπημένοι ὠμότητα. Ἡμεῖς δὲ ἐπὶ τούτοις σκληρότερον διαπειλησάμενοι, καθ' ἣν ἔχο- 6.
μεν πρὸς ἅπαντας ἀνθρώπους ἐπιείκειαν, μόγις τὸ ζῆν αὐτοῖς χαρισάμενοι, καὶ τὸν ἐπουράνιον
Θεὸν ἐγνωκότες ἀσφαλῶς ὑπερησπικότα τῶν Ἰουδαίων, ὡς πατέρα ὑπὲρ υἱῶν διαπαντὸς ὑπερμα-
χοῦντα, Τήν τε τοῦ φίλου ἣν ἔχουσι πρὸς ἡμᾶς βεβαίαν καὶ τοὺς προγόνους ἡμῶν εὔνοιαν ἀναλογι- 7.
σάμενοι, δικαίως ἀπολελύκαμεν πάσης καθ' ὁντινοῦν αἰτίας τρόπον· Καὶ προστετάχαμεν ἑκάστῳ 8.
πάντας εἰς τὰ ἴδια ἐπιστρέφειν, ἐν παντὶ τόπῳ μηθενὸς αὐτοὺς τὸ σύνολον καταβλάπτοντος, μήτε
ὀνειδίζειν περὶ τῶν γεγενημένων παρὰ λόγον. Γινώσκετε γὰρ ὅτι κατὰ τούτων ἐάν τι κακοτεχνή- 9.
σωμεν (πονηρὸν, ἢ ἐπιλυπήσωμεν) αὐτοὺς τὸ σύνολον, οὐκ ἄνθρωπον, ἀλλὰ τὸν πάσης δεσπόζοντα
δυνάμεως Θεὸν ὕψιστον ἀντικείμενον ἡμῖν ἐπ' ἐκδικήσει τῶν πραγμάτων κατὰ πᾶν ἀφεύκτως δια-
παντὸς ἕξομεν· ἔῤῥωσθε. Λαβόντες δὲ τὴν ἐπιστολὴν ταύτην, οὐκ ἐσπούδασαν εὐθέως γενέσθαι 10.
περὶ τὴν ἄφοδον, ἀλλὰ τὸν βασιλέα προσηξίωσαν τοὺς ἐκ τοῦ γένους τῶν Ἰουδαίων τὸν ἅγιον Θεὸν
αὐθαιρέτως παραβεβηκότας καὶ τοῦ Θεοῦ τὸν νόμον, τυχεῖν δι' αὐτῶν τῆς ὀφειλομένης κολάσεως,
Προφερόμενοι τοὺς γαστρὸς ἕνεκεν τὰ θεῖα παραβεβηκότας προστάγματα, μηδέποτε εὐνοήσειν μηδὲ 11.
τοῖς τοῦ βασιλέως πράγμασιν. Ὁ δὲ τ' ἀληθὲς αὐτοὺς λέγειν παραδεξάμενος καὶ συναινέσας, 12.
ἔδωκεν αὐτοῖς ἄδειαν πάντων, ὅπως τοὺς παραβεβηκότας τοῦ Θεοῦ τὸν νόμον ἐξολοθρεύσωσι κατὰ
πάντα τὸν ὑπὸ τὴν βασιλείαν αὐτοῦ τόπον μετὰ παῤῥησίας ἄνευ πάσης βασιλικῆς ἐξουσίας ἢ
ἐπισκέψεως. Τότε κατευφημήσαντες αὐτὸν, ὡς πρέπον ἦν, οἱ τούτων ἱερεῖς, καὶ πᾶν τὸ πλῆθος 13.
